НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

XENOPHONTIS CYROPAEDIA.

EDITIO STEREOTYPA
EX NOVA TABULARUM IMPRESSIONE
EMENDATISSIMA
CURANTE
C. H. WEISE.

XENOPHONTIS OPERUM
TOMUS I.

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1828.

Ladenpreis 6 Groschen.

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

Зр. и Рит.
Акт.
Опис. 138.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Α.

CAPVT I.

Ἔννοια ποθ' ἡμῖν ἐγένετο, ὅσαι δημοκρατίαι κατελύθησαν ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι μᾶλλον, ἢ ἐν δημοκρατίᾳ· ὅσαι τ' αὖ μοναρχίαι, ὅσαι τε ὀλιγαρχίαι ἀνῄρηνται ἤδη ὑπὸ δήμων· καὶ ὅσοι τυραννεῖν ἐπιχειρήσαντες, οἱ μὲν αὐτῶν καὶ σχὺ πάμπαν κατελύθησαν, οἱ δὲ, κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται, θαυμάζονται, ὡς σοφοί τε καὶ εὐτυχεῖς ἄνδρες γεγενημένοι. Πολλοὺς δ' ἐδοκοῦμεν καταμεμαθηκέναι καὶ ἐν ἰδίοις οἴκοις τοὺς μὲν ἔχοντας καὶ πλείονας οἰκέτας, τοὺς δὲ καὶ πάνυ ὀλίγους, καὶ ὅμως οὐδὲ τοῖς ὀλίγοις τούτοις πάνυ τι δυναμένους χρῆσθαι πειθομένοις τοὺς δεσπότας. 2. Ἔτι δὲ πρὸς τούτοις ἐνενοοῦμεν, ὅτι ἄρχοντες μέν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν, καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς, ὧν ἂν ἐπιστατῶσι ζώων, εἰκότως ἂν ἄρχοντες τούτων νομίζοιντο· πάσας τοίνυν ταύτας τὰς ἀγέλας ἐδοκοῦμεν ὁρᾷν μᾶλλον ἐθελούσας πείθεσθαι τοῖς νομεῦσιν, ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσι. Πορεύον-

ταί τε γὰρ αἱ ἀγέλαι, οἷ ἂν αὐτὰς εὐθύνωσιν οἱ νομεῖς, νέμονταί τε χωρία, ἐφ' ὁποῖα ἂν αὐτὰς ἐφιῶσιν, ἀπέχονταί τε, ὧν ἂν αὐτὰς ἀπείργωσι· καὶ τοῖς καρποῖς τοίνυν, τοῖς γιγνομένοις ἐξ αὐτῶν, ἐῶσι τοὺς νομέας χρῆσθαι οὕτως, ὅπως ἂν αὐτοὶ βούλωνται. Ἐτι τοίνυν οὐδεμίαν πώποτε ἀγέλην ἠσθόμεθα συστᾶσαν ἐπὶ τὸν νομέα, οὔτε ὡς μὴ πείθεσθαι, οὔτε ὡς μὴ ἐπιτρέπειν τῷ καρπῷ χρῆσθαι· ἀλλὰ καὶ χαλεπώτεραί εἰσιν αἱ ἀγέλαι πᾶσι τοῖς ἄλλοις, ἢ τοῖς ἄρχουσί τε αὐτῶν, καὶ ὠφελουμένοις ὑπ' αὐτῶν· ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται, ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. 3. Ὅτε μὲν δὴ ταῦτα ἐνεθυμούμεθα, οὕτως ἐγιγνώσκομεν περὶ αὐτῶν, ὡς ἀνθρώπῳ πεφυκότι πάντων τῶν ἄλλων ζώων εἴη ῥᾷον, ἢ ἀνθρώπων, ἄρχειν. Ἐπειδὴ δὲ ἐνενοήσαμεν, ὅτι Κῦρος ἐγένετο Πέρσης, ὃς παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο πειθομένους αὐτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη, ἐκ τούτου δὴ ἠναγκαζόμεθα μετανοεῖν, μὴ οὔτε τῶν ἀδυνάτων οὔτε τῶν χαλεπῶν ἔργων ᾖ τὸ ἀνθρώπων ἄρχειν, ἤν τις ἐπισταμένως τοῦτο πράττῃ. Κύρῳ γοῦν ἴσμεν ἐθελήσαντας πείθεσθαι, τοὺς μὲν ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδὸν, τοὺς δὲ καὶ μηνῶν, τοὺς δὲ οὐδ' ἑωρακότας πώποτε αὐτὸν, τοὺς δὲ καὶ εὖ εἰδότας, ὅτι οὐδ' ἂν ἴδοιεν· καὶ ὅμως ἤθελον αὐτῷ ὑπακούειν. 4. Καὶ γάρ τοι τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλέων, καὶ τῶν πατρίους ἀρχὰς παρειληφότων, καὶ τῶν δι' ἑαυτῶν κτησαμένων, ὥστε δ

μὲν Σκύθης, καίπερ παμπόλλων ὄντων Σκυθῶν, ἄλλου μὲν οὐδενὸς δύναιτ' ἂν ἔθνους ἐπάρξαι, ἀγαπῴη δ' ἄν, εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο· καὶ ὁ Θρᾷξ Θρᾳκῶν, καὶ ὁ Ἰλλυριὸς Ἰλλυριῶν· καὶ τἆλλα δὲ ὡσαύτως ἔθνη ἀκούομεν· τὰ γοῦν ἐν τῇ Εὐρώπῃ ἔτι καὶ νῦν αὐτόνομα εἶναι λέγεται, καὶ λελύσθαι ἀπ' ἀλλήλων· Κῦρος δὲ, παραλαβὼν ὡσαύτως οὕτω καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη αὐτόνομα ὄντα, ὁρμηθεὶς σὺν ὀλίγῃ Περσῶν στρατιᾷ, ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Τρκανίων· κατέστρέψατο δὲ Σύρους, Ἀσσυρίους, Ἄραβας, Καππαδόκας, Φρύγας ἀμφοτέρους, Λυδοὺς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους· ἦρξε δὲ καὶ Βακτρίων καὶ Ἰνδῶν, καὶ Κιλίκων· ὡσαύτως δὲ Σακῶν καὶ Παφλαγόνων, καὶ Μαριανδυνῶν, καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν, ὧν οὐδ' ἂν τὰ ὀνόματα ἔχοι τις εἰπεῖν· ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ, καταβὰς δὲ ἐπὶ θάλατταν, καὶ Κυπρίων καὶ Αἰγυπτίων. 5. Καὶ τοίνυν τούτων τῶν ἐθνῶν ἦρξεν, οὔθ' ἑαυτῷ ὁμογλώττων ὄντων, οὔτε ἀλλήλοις· καὶ ὅμως ἠδυνήθη ἐφικέσθαι μὲν ἐπὶ τοσαύτην γῆν τῷ ἀφ' ἑαυτοῦ φόβῳ, ὥστε καταπλῆξαι πάντας, καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ· ἐδυνήθη δὲ ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας αὐτῷ χαρίζεσθαι, ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι. Ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν ἔργον ἐστὶν, ὅποι ἂν ἄρξηταί τις πορεύεσθαι ἀπὸ τῶν βασιλείων, ἐάν τε πρὸς ἕω, ἐάν τε πρὸς ἑσπέραν, ἤν τε πρὸς ἄρκτον, ἤν τε πρὸς μεσημ-

βρίαν. 6. Ἡμεῖς μὲν δὴ, ὡς ἄξιον ὄντα θαυμάζεσθαι τοῦτον τὸν ἄνδρα, ἐσκεψάμεθα, τίς ποτε ὢν γενεὰν, καὶ ποίαν τινὰ φύσιν ἔχων, καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς, τοσοῦτο διήνεγκεν εἰς τὸ ἄρχειν ἀνθρώπων. Ὅσα οὖν καὶ ἐπυθόμεθα, καὶ ἠσθήσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι.

CAPVT II.

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κληΐζονται· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὖτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. 2. Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἐνθεν, ὅθενπερ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις, ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι, διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν,

ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν. 3. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται, ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι. Ἐπιμέλονται δὲ ὧδε. Ἐστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. 4. Διῄρηται δὲ αὐτη ἡ ἀγορα ἡ περὶ τὰ ἀρχεῖα εἰς τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προῤῥηθῇ παρεῖναι· οὔτε πολλάκις ἀπεῖναι καλόν. 5. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα· (δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διῄρηνται) καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ἥρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων

ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ἡρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκάστῃ τῇ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, ἢ ἐπιμέλονται, ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. 6. Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων, οἷον δὴ εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. 7. Κολάζουσι δὲ καί, οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ, τοὺς ἀχαρίστους καὶ περὶ Θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ

αἰσχρὰ ἡγεμών. 8. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι καὶ ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτον, ὄψον δὲ, κάρδαμον· πιεῖν δὲ, ἢν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται. 9. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· (δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι) παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός· ἔχει

δὲ δεῖ τοὺς ἐξιόντας τόξα, καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν· ἔτι δὲ γέρρον, καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. 10. Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς, ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. Καὶ γὰρ πρῶϊ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι· γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεύσαι θηρίον, καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν ἐν τῇ θήρᾳ τι ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων. 11. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχοντες πλεῖον μέν, ὡς εἰκὸς, τῶν παίδων, τἆλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρίψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ, ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μὴ, τὸ κάρδαμον. Εἰ δέ

ἵις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μάζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. 12. Αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες, καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δεήσῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. 13. Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. Πρῶτον μὲν, ὥςπερ οἱ ἔφηβοι, παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ που δεήσῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, (οἷόν περ γράφονται οἱ Πέρσαι ἔχοντες,)

ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἰῆσαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. 14. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἶκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δέ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος· οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

15. Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. Οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. Οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες,

ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἱ δ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους. Οἱ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία ἐστὶν ἡ Περσῶν, καὶ ἡ ἐπιμέλεια αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. 16. Καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης αὐτῶν, καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι καὶ τὸ ἰόντα που φανερὸν γενέσθαι, ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. Ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δὲ ἕνεκα ὅδε ὁ λόγος ὥρμηθη, νῦν λέξομεν τὰς Κύρου πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

CAPVT III.

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο, καὶ εἰς τὸ ταχὺ μανθάνειν, ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ

ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. 2. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλύστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ καὶ χρώματος ἐντρίψει καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ οἱ περὶ τῇ δορῇ, καὶ τὰ ψέλια περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος. Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ, ἢ οὗτος· ἀπεκρίνατο ὅρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. 3. Ἀντασπαζόμενος δὲ αὐτὸν ὁ Ἀστυάγης καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, διὰ

τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. 4. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον τὰ οἰκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ; φάναι τὸν Ἀστυάγην, Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται, Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει· ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν. 5. Ἀλλ' ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δ', ἔφη, καὶ σὺ γνώσῃ, ὅτι ἡδέα ταῦτά ἐστιν. Ἀλλὰ καὶ σὲ, φάναι τὸν Κῦρον, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, ταῦτα λέγεις; Ὅτε σὲ, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρῃ τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς

πάνυ ἀχθόμενος, ὅτι καταπλέα σοι ἀπ' αὐτῶν ἐγένετο. 6. Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν· Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἰκάδε ἀπέλθῃς. Ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡμέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἐώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, ὅ τι ἂν βούλωμαι, αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι, ἐγώ γε σοι, ὦ παῖ. 7. Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ· Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις· Σοὶ δὲ, ὅτι μοι παλτὸν ἔδωκας· (τοῦτο γὰρ νῦν ἔχω·) Σοὶ δὲ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις· Σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς· τοιαῦτα ἐπειπεῖν, ἕως διέδω πάντα, ἃ ἔλαβε, κρέα. 8. Σάκα δὲ, φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ Σάκας ἆρα καλός τε ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ ἀποκωλύειν, οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς, ὡς ἂν παῖς, μηδέπω ὑποπτήσσων, Διὰ τί δὴ, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως ἐγχέουσι, καὶ διδόασι, τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν, ὡς ἂν

ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν. 9. Κέλευσον δή, φάναι, ὦ πάππε, τῷ Σάκᾳ καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον, οὕτω μὲν εὖ κλῦσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημόνως προενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐγκελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. (Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι· τοῦ δὴ, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς.) 10. Ἐκ τούτων δὴ ὁ Ἀστυάγης ἐπισκώπτων, Καὶ τί δὴ, ἔφη, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπερῥόφησας τοῦ οἴνου; Ὅτι, νὴ Δί', ἔφη, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ, ὅτι εἰστίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δὴ, ἔφη, σὺ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι, νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποι-

ОБЩЕСТВО ИСТОРИЧЕСКОГО ОБРАЗОВАНИЯ
УНИВЕРСИТЕТ
Инв. № 1.1. МЕЧНИКОВА

εἶτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ἤδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. 11. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Λιψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν· Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φέναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἄν, ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα, ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον ὃς

περ οὗτος ἐμὲ πυρατείνει, ἀπὸ σοῦ κωλύων. 12. Τοιαῦτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

13. Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης, καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζοι εἶναι καταλιπεῖν. 14. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοὶ, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ', ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμὲ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ μετρίως σοὶ δοκοῦν ἔχειν ὁποίαν ἂν βούλῃ ὁδὸν πορεύσῃ. Ἔπειτα τά τε νῦν ὄντα ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ὅ σὺ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίστορας παρέξω· καὶ ἄλλα, ὅσα ἂν βούλῃ, λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. 15. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερο

βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν; ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, διὰ τί, εἰπεῖν λέγεται· Ὅτι οἶκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω, ἐνθάδε πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμαχεῖν αὐτῷ. 16. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοὶ τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. Πῶς σὺ οἶσθα; εἰπεῖν τὴν Μανδάνην. Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστησι δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ δή ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. 17. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας, μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ δ' οὖν τούτοις δικάζων, ἔγνων, βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον χιτῶνα ἔχειν. Ἐν δὲ τούτῳ με ἔπαυσεν ὁ διδάσκαλος, λέγων, ὅτι, ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτὴς, οὕτω δέοι ποιεῖν·

ὁπότε δὲ κρῖναι δέοι, ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη, τὸ μὲν νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ νόμῳ οὖν ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τάγε δίκαια παντάπασιν ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. 18. Ἀλλ' οὐ ταὐτὰ, ἔφη, ὦ παῖ, παιδί τε τῷ πάππῳ δίκαια καὶ ἐν Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ τῇ πόλει τεταγμένα· δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ, ἀλλ' ὁ νόμος ἐστίν. Ὅπως οὖν μὴ ἀπολῇ μαστιγούμενος, ἐπειδὰν οἴκοι εἴῃς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικὸν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ' ὅγε σὸς πατὴρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν, μεῖον ἢ πλεῖον ἔχειν. Ἦ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; Ὥστε θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα οὔτ' ἐμὲ διδάξας πλεονεκτεῖν ἀποπέμψεται.

CAPVT IV.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ, ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις

συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρητο, προσιών, καὶ ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ, εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι, διαπράξασθαι σφίσιν. Ὁ δὲ Κῦρος, ὅ τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. 2. Καὶ ὁ Ἀστυάγης δὲ, ὅ τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ, ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν, ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ἠσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων, ὅ τι οἴοιτο χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

3. Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον, ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ'

ἁπλότης τις καὶ φιλοστοργία· ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

4. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, οὐκέθ' ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ, ἃ κρείττων ἤδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ', ἅπερ εὖ ἤδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν· καὶ κατῆρχεν ἢ διαναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διακοντιούμενος ἢ διατοξευσόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡττώμενος δὲ, αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα. 5. Ὡς δ' οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν, ἃ ἡττᾶτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις· ταχὺ δὲ παρῆλθε, διὰ τὸ ἐρᾶν τοῦ ἔργου· ταχὺ δὲ καὶ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος, αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτὸν, Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; Ἀλλ' ἦν ἐμὲ

ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι. 6. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προϊδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

7. Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτὸν, καὶ εἴ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαῤῥοῦντα διώκειν. Οἱ δ' ἔλεγον, ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες καὶ οἱ ἄγριοι ὄϊες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον, ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. 8. Καὶ ὁ Κῦρος ταῦτα πάντα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουσεν, ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. Καί πως

διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες, ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον, εἰς οἷον κίνδυνον ἦλθοι, καὶ ἔφασαν, κατερεῖν αὐτοῦ τῷ πάππῳ. Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκώς, καὶ ἀκούων ταῦτα ἡνιᾶτο. Ὡς δ' ἤσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδον ἐκ τοῦ ἐναντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ διατεινάμενος εὐστόχως βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον. 9. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ Θεῖος αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδορουμένου ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι εἰσκομίσαντα τῷ πάππῳ. Τὸν δὲ Θεῖον εἰπεῖν φασὶν, Ἀλλ' ἤν αἴσθηται, ὅτι ἐδίωκες, οὐ σοὶ μόνον λοιδορήσεται, ἀλλὰ καὶ ἐμοὶ, ὅτι σε εἴων. Κἂν βούληται, φάναι αὐτὸν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ γε, εἰ βούλει, ἔφη, ὦ Θεῖε, τιμωρησάμενος, ὅ τι βούλει, τοῦτο ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι τελευτῶν εἶπε, Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. 10. Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν, ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ μὲν ἀκόντια ἐδείκνυε μὲν οὗ, κατέθηκε δὲ ῥαπτωμένα, ὅπου ᾤετο τὸν πάπ-

πον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἆρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα σὺ δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενός, ὥστε σὲ κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη· Εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτά, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδίδου, ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. 11. Καὶ ὁ Κῦρος λαβὼν, ἐδίδου τε ἆρα τοῖς παισὶ, καὶ ἅμα ἔλεγεν·

Ὦ παῖδες, ὡς ἆρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόνπερ εἴ τις δεδεμένα ζῶα θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν· ἔπειτα καὶ μικρὰ καὶ λεπτὰ καὶ ψωραλέα· καὶ τὸ μὲν αὐτῶν, χωλὸν ἦν, τὸ δὲ, κολοβόν. Τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία ὡς μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο! Καὶ αἱ μὲν ἔλαφοι, ὥσπερ πτηναὶ, ἤλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κάπροι, ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν. Καλλίω δὴ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα εἶναι, ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα. Ἀλλὰ ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν, 12. Καὶ ῥᾳδίως γ' ἄν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. Καὶ ὁ Κῦρος εἶπε· Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη; Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι; Ἀλλὰ μὰ τὴν Ἥραν, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ οἷός τ' εἰμὶ λό

γειν ἔγωγε, οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. Ἦν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὤν, δεινότατος λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσει πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς τὸ ἐπὶ σοὶ ἀνάγκη ἔσται δεῖσθαι. 13. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη· καὶ σιγῇ ἀπελθὼν, διακελευσάμενος ἑαυτῷ τολμᾶν, εἰσῆλθεν, ἐπιβουλεύσας, ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν, ὧν ἐδέοντο. Ἦρξατο οὖν ὧδε·

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν σε, καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρῇ; Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας αὐτὸν ἐργάζεσθαι ἀναγκάζω; Ἦν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιεῖς; Τί δὲ, ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρῶμαι; Ὥρα ἄν, ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἴη, ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε, ὅπως σὲ ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γάρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. 14. Ἀκούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὤν, σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίσασθαι, ἐξάγει ἐπὶ θήραν

καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δὲ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν. Ἀλλ', εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες πάντας τοὺς κατ' ἐμὲ διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος κράτιστα δύναιτο. 15. Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο τοὺς ἀμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ ἤδετο, οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥςπερ σκύλακι γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἠσθάνετο οὐδ' ὁπωστιοῦν φθονερῶς. Τέλος δ' οὖν, πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης, ἀπῆει. Καὶ τολοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥστε ἀεί, ὁπότε οἷόν τε εἴη, συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί.

16. Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη αὐτοῦ γενομένου, ὁ υἱὸς τοῦ τῶν Ἀσσυρίων βασιλέως, γαμεῖν μέλλων, ἐπεθύμησε καὶ αὐτὸς θηρῶσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν, ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε αὐτ-

ρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστὰς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα. Ἀφικόμενος δὲ, ὅπου ἦν αὐτῷ τὰ φρούρια καὶ ἡ φυλακὴ, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστεραίᾳ θηράσων. 17. Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως, καὶ πεζοὶ καὶ ἱππεῖς. Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι. δύο γὰρ ὁμοῦ ἦσαν φυλακαὶ καὶ πολλοὺς αὐτὸς ἔχων ἦκεν ἱππέας καὶ πεζούς. Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς· καὶ λαμπρότερόν τε ἂν φανῆναι τὸ ἔργον τῆς θήρας, καὶ ἱερεῖον πολλὴν ἀφθονίαν ἐνόμιζε γενήσεσθαι. Οὕτω δὴ πρωῒ ἀναστὰς, ἦγε τὸν στρατόν· καὶ τοὺς μὲν πεζοὺς καταλείπει ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ, ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν· καὶ ἐκέλευε, περιβαλλομένους ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

18. Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν, καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε

πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδὶ, ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι. Καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ οἱ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὴ ἐξοπλισάμενος, προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἰδὼν, ἐθαύμασε μὲν, τίνος κελεύσαντος ἥκοι· ὅμως δ' εἶπεν αὐτῷ μένειν παρ' ἑαυτῷ. 19. Ὁ δὲ Κῦρος, ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἳ ἐλαύνοντες; Καὶ ἐκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στίφος τῶν ἱππέων ἵστηκε συντεταγμένον; οἳ, ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται πάλιν ἡμᾶς ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας, φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται· οἱ δ' ἄγοντες ἀφήσουσιν εὐθὺς τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

20. Ταῦτ' εἰπὼν, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. Καὶ ἅμα θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει

τὸν νεών, λαβόντα τάξιν ἱππέων ἐλάσαι ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε, ἢν ἐπὶ σὲ κινῶνται, ἐλῶ· ὥστε ἀναγκασθήσονται ἡμῖν προσέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης, λαβὼν τῶν ἐρρωμένων ἵππων τε καὶ ἀνδρῶν, προσελαύνει. Καὶ ὁ Κῦρος, ὡς εἶδεν ὁρμωμένους, συνεξορμᾷ εὐθύς, καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ ληλατοῦντες, εὐθὺς ἀφέντες τὰ χρήματα ἔφυγον. 21. Οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, καὶ οὓς μὲν κατελάμβανον, εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ Κῦρος· ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίωκον, καὶ οὐκ ἀνίεσαν, ἀλλ' ἦρουν τινὰς αὐτῶν. Ὥσπερ δὲ κύων γενναῖος, ἄπειρος, ἀπρονοήτως φέρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι, ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προυκίνησαν τὸ στίφος, ὡς παυσομένους τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προορμήσαντας. 22. Ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον, ἐδίωκε· καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις κατέχων ἐποίει. Καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, ἴσως μὲν καὶ αἰσχυνόμενος τὸν πατέρα· καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι ὄντες. Ὁ δὲ Ἀστυάγης, ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτως διώκοντας

τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους ἁπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πάθοιέν τι, ἦγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. 23. Οἱ δ' αὖ πολέμιοι, ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, διατεινάμενοι οἱ μὲν τὰ παλτὰ οἱ δὲ τὰ τόξα ἔστησαν, ὡς ἄν, ἐπειδὴ εἰς τόξευμά γε ἀφίκοιντο, στησομένους, ὥσπερ τὰ πλεῖστα εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσούτου, ὁπότε ἐγγύτατα γίγνοιντο, προσήλαυνον ἀλλήλοις, καὶ ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας. Ἐπεὶ δὲ ἑώρων τοὺς μὲν σφετέρους φυγῇ εἰς αὐτοὺς φερομένους, τοὺς δ' ἀμφὶ Κῦρον ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν. Οἱ δέ, ἅτε ὁμόθεν διώκοντες, ᾔρουν πολλοὺς ἀνὰ κράτος· καὶ τοὺς μὲν ἁλισκομένους ἔπαιον, καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν, πρὶν ἢ πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. Ἐνταῦθα μέντοι δείσαντες, μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον. 24. Ἐκ τούτου δὴ ἀνήγαγεν ὁ Ἀστυάγης, μάλα χαίρων τῇ ἱπποκρατίᾳ, καὶ τὸν Κῦρον οὐκ ἔχων ὅ τι χρὴ λέγειν· αἴτιον μὲν εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε, μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσά-

γοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.

25. Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο· καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς· ὅ τε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτὸν, τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δὲ, ὁ τοῦ Κύρου πατὴρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπεὶ δ' ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει δὴ, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο αὐτῷ. Τῷ οὖν Ἀστυάγει ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς, οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας παντοδαπὰ, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτὸν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾶν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες, καὶ ἥλικες, καὶ ἄνδρες, καὶ γέροντες, ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτός· καὶ οὐδένα ἔφασαν ὕστιν οὐ δακρύοντ' ἀποστρέφεσθαι. 26. Καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναί φασιν αὐτὸν τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ, καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλονότι τούτῳ, ὃν μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει ἀπενεγ-

κεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους, καὶ εἰπεῖν, Ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν, εἰ τῳ τι ἐγὼ δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι, ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.

27. Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου ἐπιμνησθῆναι, λέγεται, ὅτε Κῦρος ἀπῄει, καὶ ἀπηλλάττοντο ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τὸν Κῦρον τῷ υτόματι ἀποπέμπεσθαι αὐτὸν νόμῳ Περσικῷ· (καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι) ἄνδρα δή τινα τῶν Μήδων, μάλα καλὸν κἀγαθὸν ὄντα, ἐκπεπλῆχθαι πολὺν δή τινα χρόνον ἐπὶ τῷ κάλλει τοῦ Κύρου· ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτὸν, ὑπολειφθῆναι· ἐπεὶ δὲ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ Κύρῳ, καὶ εἰπεῖν· Ἐμὲ μόνον οὐ γινώσκεις, ὦ Κῦρε, τῶν συγγενῶν; Τί δέ; εἰπεῖν τὸν Κῦρον, ἢ καὶ σὺ συγγενὴς εἶ; Μάλιστα, φάναι. Ταῦτ' ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι· πολλάκις γὰρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προσελθεῖν γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, νὴ τοὺς θεούς, ἠσχυνόμην. Ἀλλ' οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα· ἅμα δὲ προσελθόντα φιλῆσαι αὐτόν. 28. Καὶ τὸν Μῆδον φιληθέντα, ἐρέσθαι, Ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. Ὥρα ἂν, ἔφη, εἴη σοι, ὁ Μῆδος, πάλιν φιλεῖν ἐμέ· ἀπέρχομαι γάρ, ὡς ὁρᾷς.

ἤδη. Οὕτω καὶ τὸν Κῦρον πάλιν φιλήσαντα, ἀποπέμπειν καὶ ἀπιέναι. Καὶ ὁδόν τε οὕπω πολλὴν διηνύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδρῶντι τῷ ἵππῳ. Καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ' ἤ, φάναι, ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; Μὰ Δία, φάναι· ἀλλ' ἥκω διὰ χρόνου. Καὶ τὸν Κῦρον εἰπεῖν, Νὴ Δί', ὦ συγγενές, δι' ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον. Οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε, τοιοῦτον ὄντα; Ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν πρόσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ ἀπιόντα θαρρεῖν, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου· ὥστε ὁρᾷν σοι ἔξεστι κἂν βούλῃ ἀσκαρδαμυκτεί.

CAPVT V.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν λέγεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν, ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοὶ, ἡδέως καὶ πίνοντα καὶ εἴποτ' ἐν ἑορτῇ εὐωχία προς γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ἠσθάνοντο ἢ προσδεόμενον, καὶ πρὸς τούτοις δὲ καὶ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων [περὶ ἅπαντα ἑαυτῶν]· ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ. Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην, ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ με-

λετῶν ἃ χρῆν, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι. 2. Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κυαξάρης, ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφός, τὴν ἀρχὴν ἔλαβε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς, καταστρεψάμενος μὲν πάντας Σύρους, φῦλον οὐ μικρὸν, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Τρωγλοδύτας, πολιορκῶν δὲ καὶ Βακτρίους, ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε ἂν τῶν πέριξ ῥᾳδίως ἄρξειν· (ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει εἶναι·) 3. οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδοκῶν, καὶ πρὸς Φρύγας ἀμφοτέρους, καὶ πρὸς Κᾶρας, καὶ Παφλαγόνας, καὶ Ἰνδοὺς δὲ, καὶ πρὸς Κίλικας, τὰ μὲν διαβάλλων [πρὸς αὐτοὺς] τοὺς Μήδους καὶ Πέρσας, λέγων, ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτὸ, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, [καὶ συνεστήκοιεν εἰς ἕν,] καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσει, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι. Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται· οἱ δὲ, καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ ταῦτα ἦν αὐτῷ. 4. Κυαξάρης δὲ, ὁ τοῦ Ἀστυάγους παῖς, ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων ἐφ' ἑαυτὸν, αὐτός τε εὖ

θεὸς ὅσα ἐδύνατο ἀντιπαρεσκευάζετο, καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινὸν, καὶ πρὸς Καμβύσην, τὸν τὴν ἀδελφὴν ἔχοντα καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ Κῦρος, διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς τελείοις ἀνδράσιν ἦν. 5. Οὕτω δὴ δεξαμένου τοῦ Κύρου, οἱ βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους βοηθείας. Ἔδοσαν δὲ αὐτῷ διακοσίους τῶν ὁμοτίμων προσελέσθαι· τῶν δ' αὖ διακοσίων ἑκάστῳ, τέτταρας ἄνδρας ἐκ τῶν ὁμοίων ἔδοσαν προσελέσθαι· γίγνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων ἔδοσαν προσελέσθαι ἑκάστῳ ἐκ τοῦ δήμου τῶν Περσῶν δέκα μὲν πελταστὰς, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας. Καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ πελτασταὶ, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον. Τοσαύτη μὲν δὴ στρατιὰ τῷ Κύρῳ ἐδόθη. 6. Ἐπειδὴ δὲ ἠρέθη τάχιστα, ἦρξατο μὲν πρῶτον ἀπὸ τῶν θεῶν· καλλιερησάμενος δὲ, τότε προσῃρεῖτο τοὺς διακοσίους. Ἔπει δὲ προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέτταρας ἕκαστοι, συνέλεξεν αὐτούς· καὶ ἔλεξεν ὁ Κῦρος ἐν αὐτοῖς τότε πρῶτον τάδε·

7. „Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ „νῦν πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς, „ἃ μὲν καλὰ ἡ πόλις νομίζει, προθύμως ταῦτα „ἐκπονοῦντας, ἃ δὲ αἰσχρὰ ἡγεῖται εἶναι, παντε-

„λῶς τούτων ἀπεχομένους. Ὧν δ' ἕνεκα αὐτός τε „οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς „παρεκάλεσα, δηλῶσαι ὑμῖν βούλομαι. 8. „Ἐγὼ γὰρ „κατενόησα, ὅτι οἱ πρόγονοι χείρους μὲν ἡμῶν οὐδὲν „ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέλεσαν, ἅπερ „ἔργα ἀρετῆς νομίζεται· ὅ τι μέντοι προσεκτήσαν- „το τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν „ἢ αὐτοῖς, τοῦτο οὐκέτι δύναμαι κατιδεῖν. 9. Καίτοι „ἔγωγε οἶμαι, οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀν- „θρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἐσθλοὶ γενόμενοι „τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν „ἀπεχόμενοι, οὐχ, ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο „πράττουσιν, ἀλλ' ὡς διὰ ταύτην τὴν ἐγκράτειαν „πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφρανούμενοι, „οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμε- „νοι δεινοὶ γενέσθαι, οὐχ, ἵνα εὖ λέγοντες μηδέποτε „παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ „λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους πολλὰ καὶ „μεγάλα ἀγαθὰ διαπράξεσθαι· οἵ τε αὖ τὰ πολε- „μικὰ ἀσκοῦντες, οὐχ, ὡς μαχόμενοι μηδέποτε παύ- „σωνται, τοῦτ' ἐπονοῦσιν, ἀλλὰ νομίζοντες καὶ „οὗτοι, τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν „ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς „καὶ αὐτοῖς καὶ τῇ πόλει περιάψειν. 10. Εἰ δέ τινες „ταῦτα ἐκπονήσαντες, πρίν τινα καρπὸν ἀπ' αὐτῶν „κομίσασθαι, περιεῖδον αὐτοὺς γήρᾳ ἀδυνάτους γε- „νομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον „εἴ τις, γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ

„εὖ σπείρων, καὶ εὖ φυτεύων, ὁπότε αὐτὸν καρποῦ-
„σθαι ταῦτα δέοι, ἐφ' ᾧ τὸν καρπὸν ἀσυγκόμιστον
„εἰς τὴν γῆν πάλιν καταῤῥεῖν. Καὶ εἴ τις ἀθλητὴς,
„πολλὰ πονήσας καὶ ἄξιόνικος γενόμενος, ἀναγώ-
„νιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δι-
„καίως ἀναίτιος εἶναι ἀφροσύνης. 11. Ἀλλ' ἡμεῖς, ὦ
„ἄνδρες, μὴ πάθωμεν ταῦτα· ἀλλ', ἐπείπερ σύνι-
„σμεν ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ
„ὄντες τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς
„πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι, αὐτὸς ἰδὼν,
„ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Οὐ γὰρ
„τί πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταὶ, οἳ ἂν τοξεύσωσιν,
„ἢ ἀκοντίζωσιν, ἢ ἱππεύσωσιν ἐπιστημόνως, ἢν δέ που
„πονῆσαι δέῃ, τούτῳ λείπωνται· ἀλλ' οὗτοι ἰδιῶταί
„εἰσι κατὰ τοὺς πόνους· οὐδέ γε οἵτινες, ἀγρυπνῆ-
„σαι δέον, ἡττῶνται τούτου· ἀλλὰ καὶ οὗτοι ἰδιῶ
„ταί εἰσι κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ ταῖτα μὲν ἱκα-
„νοί, ἀπαίδευτοι δὲ, ὡς χρὴ καὶ συμμάχοις καὶ πο-
„λεμίοις χρῆσθαι· ἀλλὰ καὶ οὗτοι δῆλον ὅτι τῶν με-
„γίστων παιδευμάτων ἀπείρως ἔχουσιν. 12. Ἡμεῖς δὲ
„νυκτὶ μὲν δήπου, ὥσαπερ οἱ ἄλλοι ἡμέρᾳ, δύνασθε
„χρῆσθαι· πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομί-
„ζετε· λιμῷ δὲ ὥσαπερ ὄψῳ διαχρῆσθε· ὑδροποσίαν
„δὲ ῥᾷον τῶν λεόντων φέρετε· κάλλιστον δὲ πάντων
„καὶ πολιτικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκό-
„μισθε· ἐπαινούμενοι γὰρ μᾶλλον, ἢ τοῖς ἄλλοις
„ἅπασι, χαίρετε. Τοὺς δ' ἐπαίνου ἐραστὰς ἀνάγκη
„κτᾶσθαι τὰ αἴτια, καὶ διὰ τοῦτο πάντα μὲν πόνον,

„πάντα δὲ κίνδυνον ἡδέως ὑποδύεσθαι. 13. Εἰ δὲ ταῦ-
„τα ἐγὼ λέγω περὶ ὑμῶν, ἄλλως γιγνώσκων, ἐμαυτὸν
„ἐξαπατῶ· ὅ τι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ'
„ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. Ἀλλὰ πιστεύω
„τοι τῇ πείρᾳ τῇ ἡμετέρᾳ, καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐ-
„νοίᾳ, καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ, μὴ ψεύσειν με
„ταύτας τὰς ἀγαθὰς ἐλπίδας. Ἀλλὰ θαῤῥοῦντες
„ὁρμώμεθα, ἐπειδὴ καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ
„δόξαι τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι. Νῦν γὰρ
„ἔρχονται μὲν οἱ πολέμιοι, ἄρχοντες ἀδίκων χειρῶν·
„καλοῦσι δὲ ἡμᾶς ἐπικούρους οἱ φίλοι. Τί οὖν ἐστιν
„ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ τοῦ τοῖς φίλοις
„ἀρήγειν κάλλιον; 14. Ἀλλὰ μὴν καὶ ἐκεῖνο ὑμᾶς οὐχ
„ἥκιστα οἶμαι θαῤῥεῖν, τὸ μὴ παρημεληκότα με τῶν
„θεῶν τὴν ἔξοδον ποιεῖσθαι. Πολλὰ γάρ μοι συνόν-
„τες ἐπίστασθε, οὐ μόνον τὰ μεγάλα, ἀλλὰ καὶ
„τὰ μικρὰ πειρώμενον [ἐμὲ] ἀεὶ ἀπὸ θεῶν ὁρμᾶσθαι.
„Τέλος, ἔφη, τί δεῖ λέγειν ἔτι; Ἀλλ' ὑμεῖς μὲν τοὺς
„ἄνδρας ἑλόμενοι καὶ ἀναλαβόντες, καὶ τἆλλα πα-
„ρασκευασάμενοι, ἴτε εἰς Μήδους· ἐγὼ δ' ἐπανελθὼν
„πρὸς τὸν πατέρα, πρόειμι δή, ὅπως τὰ τῶν πολε-
„μίων ὡς τάχιστα μαθών, οἷά ἐστι, παρασκευάσω
„ὑμῖν, ὅ τι ἂν δύνωμαι, ὅπως ὡς κάλλιστα, σὺν θεῷ,
„ἀγωνιζώμεθα." Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

CAPVT VI.

Κῦρος δὲ ἐλθὼν οἴκαδε, καὶ προσευξάμενος Ἑστίᾳ
πατρῴᾳ, καὶ Διὶ πατρῴῳ, καὶ τοῖς ἄλλοις θεοῖς,

ὥρμᾶτο ἐπὶ τὴν στρατείαν· συμπροῦπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. Ἐπεὶ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. Τούτων δὲ φανέντων, οὐδὲν ἔτι ἄλλο οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδένα ἂν λήσαντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα.

2. Προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἦρχετο λόγου τοιοῦδε· Ὅτι μέν, ὦ παῖ, οἱ θεοὶ ἵλεώ τε καὶ εὐμενεῖς πέμπουσί σε, καὶ ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις· γιγνώσκεις δὲ καὶ αὐτός. Ἐγὼ γάρ σε ταῦτα ἐπίτηδες ἐδιδαξάμην, ὅπως μὴ δι' ἄλλων ἑρμηνέων τὰς τῶν θεῶν συμβουλίας συνείης, ἀλλὰ αὐτὸς καὶ ὁρῶν τὰ ὁρατὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκοις, καὶ μὴ ἐπὶ μάντεσιν εἴης, εἰ βούλοιντό σε ἐξαπατᾶν, ἕτερα λέγοντες ἢ τὰ παρὰ τῶν θεῶν σημαινόμενα· μηδ' αὖ, εἴ ποτε ἄρα ἄνευ μάντεως γένοιο, ἀποροῖς, θείοις σημείοις ὅ τι χρῷο· ἀλλὰ διὰ τῆς μαντικῆς γιγνώσκων τὰ παρὰ τῶν θεῶν συμβουλευόμενα, τούτοις πείθοιο. 3. Καὶ μὲν δή, ὦ πάτερ, ἔφη ὁ Κῦρος, ὅτως ἂν ἵλεῳ οἱ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελῶ ἐπιμελούμενος. Μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη, ὥσπερ καὶ παρὰ ἀνθρώπων, ὅστις μὴ, ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῆτο· καὶ τῶν φίλων δὲ ἔφησθα χρῆναι ὡσαύτως οὕτως ἐπιμελεῖσθαι. 4. Οὐκοῦν νῦν, ἔφη, ὦ παῖ, διά γε

ἐκείνας τὰς ἐπιμελείας ἥδιον μὲν ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμενος, ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι, ὧν ἂν δέῃ, ὅτι συνειδέναι σαυτῷ δοκεῖς οὐ πώποτ' ἀμελήσας αὐτῶν; Πάνυ μὲν οὖν, ἔφη, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας οὕτω διάκειμαι. 5. Τί γὰρ, ἔφη, ὦ παῖ; μέμνησαι ἐκεῖνα, ἃ ποτε ἐδόκει ἡμῖν, ὡς, ἅπερ δεδώκασιν οἱ θεοὶ μαθόντας ἀνθρώπους βέλτιον πράττειν, ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας, καὶ ἐργαζομένους μᾶλλον ἀνύτειν, ἢ ἀργοῦντας, καὶ ἐπιμελουμένους ἀσφαλέστερον ἂν διάγειν, ἢ ἀφυλακτοῦντας τούτων· παρέχοντας οὖν ἑαυτοὺς, οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τὰ ἀγαθὰ παρὰ τῶν θεῶν; 6. Ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, μέμνημαι μέντοι ταῦτα ἀκούσας σου· καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ· καὶ οἶδά σε ἐπιτιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε ἱππεύειν μὴ μαθόντας, ἱππομαχοῦντας νικᾶν· οὔτε μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων· οὔτε μὴ ἐπισταμένους κυβερνᾶν, σώζειν εὔχεσθαι ναῦς κυβερνῶντας· οὐδὲ μὴ σπείροντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι· οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ, σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς πάντα τὰ τοιαῦτα εἶναι· τοὺς δὲ ἀθέμιστα εὐχομένους ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρὰ ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους.

7. Ἐκείνων δὲ, ἔφη, ὦ παῖ, ἐπελάθου, ἃ ποτε

ἐγὼ καὶ σὺ ἐλογιζόμεθα, ὡς ἱκανὸν εἴη καὶ καλὸν ἀνδρὶ ἔργον, εἴ τις δύναιτο ἐπιμεληθῆναι, ὅπως αὐτός τε καλὸς κἀγαθὸς δοκίμως γένοιτο, καὶ τὰ ἐπιτήδεια ὅπως αὐτός τε καὶ οἱ οἰκέται ἱκανῶς ἔχοιεν. Τὸ δὲ, τούτου μεγάλου ἔργου οὕτως ὄντος, ἐπίστασθαι ἀνθρώπων ἄλλων προστατεύειν, ὅπως ἕξουσιν ἅπαντα τὰ ἐπιτήδεια ἔκπλεω, καὶ ὅπως ἔσονται πάντες, οἵους δεῖ, τοῦτο θαυμαστὸν δήπου ἐφαίνετο ἡμῖν εἶναι. 8. Ναὶ μὰ Δί', ἔφη, ὦ πάτερ, μέμνημαι καὶ τοῦτο, ὅτε σου λέγοντος συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες εἶναι ἔργον τὸ καλῶς ἄρχειν· καὶ νῦν, ἔφη, ταὐτά μοι δοκεῖ ταῦτα, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. Ὅταν μέντοιγε πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω, οἷοί τε ὄντες διαγίγνονται ἄρχοντες, καὶ οἷοι ὄντες ἀνταγωνισταὶ ἡμῖν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι, τὸ τοιούτους αὐτοὺς ὄντας ὑποπτῆξαι, καὶ μὴ ἐθέλειν εἶναι αὐτοῖς ἀνταγωνιουμένους· οὓς, ἔφη, ἐγὼ αἰσθάνομαι, ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων, ἡγουμένους, δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ καὶ πολυτελέστερον δειπνεῖν, καὶ πλέον ἔνδον ἔχειν χρυσίον, καὶ πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. Ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν τε καὶ φιλοπονεῖν προθυμούμενον. 9. Ἀλλά τοι, ἔφη, ὦ παῖ, ἔνιά ἐστιν, ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι.

Αὐτίκα δήπου οἶσθα, ἔφη, ὅτι, εἰ μὴ ἕξει ἡ στρατιὰ τὰ ἐπιτήδεια, καταλύσεταί σου εὐθὺς ἡ ἀρχή. Οὐκοῦν ταῦτα μέν, ἔφη, ὦ πάτερ, Κυαξάρης φησὶ παρέξειν τοῖς ἐντεῦθεν πᾶσιν ἰοῦσιν, ὁπόσοι ἂν ὦσι. Τούτοις δή, ἔφη, ὦ παῖ, σὺ πιστεύων ἔρχῃ τοῖς παρὰ Κυαξάρει χρήμασιν; Ἔγωγε, ἔφη ὁ Κῦρος. Τί δέ, ἔφη, οἶσθα, ὁπόσα αὐτῷ ἐστι; Μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, οὐ μέν δή. Ὅμως δὲ τούτοις, ἔφη, πιστεύεις τοῖς ἀδήλοις; Ὅτι δὲ πολλῶν μέν σοι δεήσει, πολλὰ δὲ καὶ ἄλλα νῦν ἀνάγκη δαπανᾶν, ἐκεῖνο οὐ γιγνώσκεις; Γιγνώσκω, ἔφη ὁ Κῦρος. Ἐὰν οὖν, ἔφη, ἐπιλίπῃ αὐτὸν ἡ δαπάνη, ἢ καὶ ἑκὼν ψεύσηται, πῶς σοι ἕξει τὰ τῆς στρατιᾶς; Δῆλον, ὅτι οὐ καλῶς. Ἀτὰρ, ὦ πάτερ, ἔφη, σὺ εἰ ἐνορᾷς τινα πόρον καὶ ἀπ' ἐμοῦ ἂν προσγενόμενον, ἴως ἔτι ἐν φιλίᾳ ἐσμὲν, λέγε. 10. Ἐρωτᾷς, ἔφη, τοῦτο, ὦ παῖ, εἴ τις ἂν ἀπὸ σοῦ πόρος προσγένοιτο; Ἀπὸ τίνος δὲ μᾶλλον εἰκός ἐστι πόρον προσγενέσθαι, ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος; Σὺ δὲ πεζὴν μὲν δύναμιν ἔχων ἐνθένδε ἔρχῃ, ἀνθ' ἧς εὖ οἶδ' ὅτι πολλαπλασίαν ἄλλην οὐκ ἂν δέξαιο· ἱππικὸν δέ σοι, ὅπερ κράτιστον, τὸ Μήδων σύμμαχον ἔσται. Ποῖον οὖν ἔθνος τῶν πέριξ οὐ δοκεῖς καὶ χαρίζεσθαι βουλόμενον ὑμῖν ὑπηρετήσειν, καὶ φοβούμενον, μή τι πάθῃς; Ἃ χρή σε κοινῇ σὺν Κυαξάρῃ σκοπεῖσθαι, μήποτε ἐπιλίπῃ τὶ ὑμᾶς ὧν δεῖ ὑπάρχειν· καὶ ἔθους δὲ ἕνεκα μηχανᾶσθαι προσόδου πόρον. Τόδε δὲ μάλιστα πάντων μέμνησό μοι, μηδέποτε ἀναμένειν τὸ

πορίζεσθαι τὰ ἐπιτήδεια, ἔστ' ἂν ᾖ χρεία σε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε, πρὸ τῆς ἀπορίας, μᾶλλον μηχανῶ. Καὶ γὰρ τεύξῃ μᾶλλον, παρ' ὧν ἂν δέῃ, μὴ ἀπορεῖν δοκῶν, καὶ ἔτι ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις· ἐκ τούτου δὲ μᾶλλον καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ· καὶ ἦν τινας βούλῃ τῇ δυνάμει εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον, ἕως ἂν ἔχωσι τὰ δέοντα οἱ στρατιῶται, ὑπηρετήσουσί σοι· καὶ πιστικωτέρους, σάφ' ἴσθι, λόγους δυνήσῃ τότε λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανὸς ὢν καὶ εὖ καὶ κακῶς.

11. Ἀλλ', ἔφη, ὦ πάτερ, ἄλλως τέ μοι καλῶς δοκεῖς ταῦτα λέγειν πάντα, καὶ ὅτι, ὧν μὲν νῦν λέγονται λήψεσθαι οἱ στρατιῶται, οὐδεὶς αὐτῶν ἐμοὶ τούτων χάριν εἴσεται· (ἴσασι γὰρ, ἐφ' οἷς αὐτοὺς Κυαξάρης ἄγεται συμμάχους·) ὅ τι δ' ἂν πρὸς τοῖς εἰρημένοις λαμβάνῃ τις, ταῦτα καὶ τιμὴν νομιοῦσι, καὶ χάριν τούτων πλείστην εἰκὸς εἰδέναι τῷ διδόντι. Τὸ δ' ἔχοντα δύναμιν, ἢ ἔστι μὲν φίλους εὖ ποιοῦντα ἀντωφελεῖσθαι, ἔστι δὲ ἐχθροὺς ἔχοντα πειρᾶσθαι τίσασθαι, ἔπειτα ἀμελεῖν τοῦ πορίζεσθαι, οἶει τι, ἔφη, ἧττον τοῦτο εἶναι αἰσχρὸν, ἢ εἴ τις ἔχων μὲν ἀγροὺς, ἔχων δὲ ἐργάτας, οἷς ἂν ἐργάζοιτο, ἔπειτα ἐᾷ τὴν γῆν ἀργοῦσαν ἀνωφέλητον εἶναι; Ὡς οὖν ἐμοῦ, ἔφη, μηδέποτε ἀμελήσοντος τοῦ τὰ ἐπιτήδεια τοῖς στρατιώταις συμμηχανᾶσθαι, μήτ' ἐν φιλίᾳ, μήτ' ἐν πολεμίᾳ, οὕτως ἔχε τὴν γνώμην.

12. Τί γὰρ, ἔφη, τῶν ἄλλων, ὦ παῖ, ὧν ἐδόκει ποθ'

ἡμῖν ἀναγκαῖον εἶναι μὴ παραμελεῖν, μέμνησαι; Οἱ γάρ, ἔφη, μέμνημαι; ὅτε ἐγὼ μὲν πρός σε ἦλθον ἐπ' ἀργύριον, ὅπως ἀποδοίην τῷ φάσκοντί με στρατηγεῖν πεπαιδευκέναι· σὺ δὲ ἅμα διδούς μοι, ἐπηρώτας ὧδέ πως; Ἆρά γε, εἶπες, ὦ παῖ, ἐν τοῖς στρατηγικοῖς ἔργοις καὶ οἰκονομίας τι σοὶ ἐπεμνήσθη ὁ ἀνὴρ, ὧ τὸν μισθὸν φέρεις; οὐδὲν μέντοι οἱ στρατιῶται ἧττον τῶν ἐπιτηδείων δέονται, ἢ οἱ ἐν οἴκῳ οἰκέται. Ἐπεὶ δ' ἐγώ σοι, λέγων ταῦτα ἠρόμην, εἶπον, ὅτι οὐδ' ὁτιοῦν περὶ τούτου ἐπεμνήσθη, ἐπήρου με πάλιν, εἴ τι ὑγιείας μοι περὶ ἔλεξε καὶ ῥώμης, ὡς δεῆσοι καὶ τούτων, ὥσπερ καὶ [ὑπὲρ] τῆς στρατηγίας, τὸν στρατηγὸν ἐπιμελεῖσθαι. 13. Ὡς δὲ καὶ ταῦτα ἀπέφησα, ἐπήρου με αὖ πάλιν, εἴ τινα ἐπιμέλειαν ἐδίδαξέ με, ὡς ἂν ἕκαστα τῶν πολεμικῶν ἔργων κράτιστοι ἂν οἱ σύμμαχοι γένοιντο. Ἀποφήσαντος δ' μου καὶ τοῦτο, ἀνέκρινας αὖ σὺ καὶ τόδε, εἴ τί μ' ἐπαίδευσεν, ὡς ἂν δυναίμην στρατιᾷ προθυμίαν ἐμβαλεῖν· λέγων, ὅτι τὸ πᾶν διαφέρει ἐν παντὶ ἔργῳ προθυμία ἀθυμίας. Ἐπειδὴ δὲ καὶ τοῦτο ἀνένευον, ἤλεγχες αὖ σὺ, εἴ τινα λόγον ἐποιήσατο διδάσκων περὶ τοῦ πείθεσθαι τὴν στρατιὰν, ὡς ἂν τις μάλιστα μηχανῷτο. 14. Ἐπειδὴ δὲ καὶ τοῦτο παντάπασιν ἄῤῥητον ἐφαίνετο, τέλος δή με ἐπήρου, ὅ τι ποτὲ διδάσκων στρατηγίαν φαίη με διδάσκειν. Κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην, ὅτι τὰ τακτικά. Καὶ σὺ γελάσας διῆλθές μοι, παρατιθεὶς ἕκαστον ὅτι οὐδὲν ὄφελος εἴη στρατιᾷ τακτικῶν ἄνευ τῶ

ἐπιτηδείων. Τί δ' ἄνευ τοῦ ὑγιαίνειν; Τί δ' ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας; Τί δ' ἄνευ τοῦ πείθεσθαι; Ὡς δέ μοι καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπερομένου μου, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἅπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι, καὶ πυνθάνεσθαι, πῇ ἕκαστα τούτων γίγνεται.

15. Ἐκ τούτου δὴ συνῆν τούτοις ἐγώ, οὓς μάλιστα φρονίμους περὶ τούτων ἤκουον εἶναι. Καὶ περὶ μὲν τροφῆς ἐπείσθην, ἱκανὸν εἶναι ὑπάρχον, ὅ τι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν· περὶ δὲ ὑγιείας ἀκούων τε καὶ ὁρῶν, ὅτι καὶ πόλεις αἱ χρήζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται, καὶ οἱ στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἄγουσιν, οὕτω καὶ ἐγώ, ἐπεὶ ἐν τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην· καὶ οἶμαι, ἔφη, ὦ πάτερ, πάνυ ἱκανοὺς τὴν ἰατρικὴν τέχνην ἔχειν ἄνδρας μετ' ἐμαυτοῦ. 16. Πρὸς τοῦτο δὴ ὁ πατὴρ εἶπεν, Ἀλλ', ὦ παῖ, ἔφη, οὗτοι μέν, οὓς λέγεις, ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἥπται, οὕτω καὶ οἱ ἰατροί, ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους· σοὶ δὲ τούτου μεγαλοπρεπέστερα ἔσται ἡ τῆς ὑγιείας ἐπιμέλεια· τοῦ γὰρ [τὴν] ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου σοὶ δεῖ μέλειν. Καὶ τίνα δή, ἔφη, ὦ πάτερ, ὁδὸν ἰὼν, τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἂν μὲν δήπου χρόνον τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι· τούτου δὲ οὐκ ἂν ἁμαρ-

τοις, ἐάν περ μέλῃ σοι. Καὶ γὰρ λέγοντες οὐδὲν παύονται οἱ ἄνθρωποι περί τε τῶν νοσηρῶν χωρίων καὶ τῶν ὑγιεινῶν· μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν παρίστανται τά τε σώματα καὶ τὰ χρώματα. Ἔπειτα δέ, οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνήσθητι, πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως ὑγιαίνῃς. 17. Καὶ Κῦρος εἶπε, Πρῶτον μὲν πειρῶμαι, νὴ Δία, μηδέποτε ὑπερεμπίπλασθαι· δύσφορον γάρ· ἔπειτα δὲ ἐκπονῶ τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγιεία μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίγνεσθαι. Οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. Ἦ καὶ σχολὴ, ἔφη, ἔσται, ὦ πάτερ, σωιασκεῖν τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον· πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. Πλεῖστά τε γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. 18. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὅτι, ὥςπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν μή τις θεὸς βλάπτῃ) ἅμα καὶ τὰ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς

στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθεὶς, μάλιστ' ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα, ὥστε, ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις, ἔφη, ὦ παῖ· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χορούς, τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ.

19. Ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, εἰς γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ' ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵᾳπερ, ὅταν τὸ θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προθύμως, εὖ οἶδ', ὅτι ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδηται αὐτὰς, τελευτῶσαι, οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. Οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ, ὦ παῖ· ἄλλοι δ' ἐνίοτε λέγοντες ταὐτὸ διαπράττοιεν ἄν· τὴν δὲ αὐτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν. Ἀλλὰ, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς

λέγειν, καὶ ἐμοὶ οὕτως ἥδιον. 20. Τοῦ γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας οὐκ ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πείθεσθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδωκας, καὶ ἐκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον. Ἐπεὶ δ' ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμελεῖτο· καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. Καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν ἅπασιν ὁρᾷν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν. 21. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός. Ὅταν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. Γνοίης δ' ἄν, ὅτι τοῦθ' οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δέ, ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ οὓς γ' ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτων οὐδ' ἀπολείπεσθαι ἐθέλουσιν· ὁπότε δὲ οἴονται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημιωσὶ πάνυ τι θέλουσιν εἶκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς

λαμβάνει. 22. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρασχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδὸς, περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Καθ' ἓν δὲ ἕκαστον περὶ τούτων σκοπῶν, γνώσῃ, ὅτι ἐγὼ ἀληθῆ λέγω. Ἢν γάρ βουλῃ, μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς, ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβῃς, καὶ κατασκευάς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἄν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξελεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν φαίνοιο. 23. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἂν τις τῷ ὄντι γένοιτο; Δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μέν ἐστι μαθόντα εἰδέναι, μαθὼν ἂν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν. 24. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ

εἶναι) δηλονότι ἡ αὐτὴ ὁδὸς, ἥπερ, εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. Εὖ γὰρ, οἶμαι, δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μὲν, ἔφη, ὦ παῖ, χαλεπὸν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον, μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον, ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμπαρομαρτεῖν. 25. Καὶ ἐπὶ τῶν πράξεων δὲ, ἣν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι, ἣν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἣν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖν πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. Λέγω γὰρ οὖν, ἔφη. Θάῤῥει μέντοι, ἔφη, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου, ἀλλ' ἐπικουφίζει τὶ ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ αὐτὸ τὸ εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ τι ἂν ποιῇ.

26. Ὁπότε δὲ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δὲ, πονεῖν δὲ δύναιντο, τίς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἄν

ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τίς σοι δοκοίη, διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μή, ἔγωγε, ὅσῳ ἂν οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἕξειν, τόσῳ ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. 27. Πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι, ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυφίους, καὶ δολερόν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ εἴης. 28. Πῶς μὴν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας· ὅπως δέ γε τοὺς πολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ. Τίνος μὴν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; Τίνος δ' ἕνεκα ἀκοντίζειν; Τίνος δ' ἕνεκα δολοῦν ὗς ἀγρίους πλέγμασι καὶ ὀρύγμασι; Τί δὲ, ἐλάφους ποδάγραις καὶ ἁρπεδόναις; Τί δὲ, λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον καθιστάμενοι ἐμάχεσθε,

ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά; Ἢ οὐ γιγνώσκεις, ὅτι ταῦτα πάντα κακουργίαι τινὲς καὶ ἀπάται καὶ δολώσεις καὶ πλεονεξίαι; 29. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων. Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπιτρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν· ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων στοχάζεσθαι. Καὶ ἐξαπατᾶν δὲ καὶ πλεονεκτεῖν οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πόλεμος γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἶητε. 30. Οὐκοῦν, ἔφη, ὦ πάτερ, εὔπερ χρήσιμά ἐστιν ἀμφότερ' ἐπίστασθαι, εὖ τε ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα ταῦτα ἔδει ἐν ἀνθρώποις. 31. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τὴν δικαιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις, μὴ ψεύδεσθαι, καὶ ψεύδεσθαι· καὶ μὴ ἐξαπατᾶν, καὶ ἐξαπατᾶν· καὶ μὴ διαβάλλειν, καὶ διαβάλλειν· καὶ μὴ πλεονεκτεῖν, καὶ πλεονεκτεῖν. Διώριζε δὲ, τούτων ἃ τε πρὸς τοὺς φίλους ποιητέον ἦν, καὶ ἃ πρὸς τοὺς ἐχθρούς. Καὶ ἔτι δὲ [προβὰς] ταῦτα ἐδίδασκεν, ὡς καὶ τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾶν, ἐπί γε ἀγαθῷ· καὶ κλέπτειν τὰ τῶν φίλων, ἐπί γε

ἀγαθῷ. 32. Καὶ τάδε διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς πρὸς τὸ κλέπτειν, καὶ πρὸς τὸ ἐξαπατᾶν, καὶ πρὸς τὸ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. 33. Ἐγένετο οὖν ἐκ τούτου ῥήτρα, ἣ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν, ἀληθεύειν, καὶ μὴ ἐξαπατᾶν, μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν· ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες πραότεροι πολῖται γένοιντο. 34. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἥνπερ σὺ νῦν ἔχεις, ἤδη καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. Οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ, πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης, ἀμέτρως αὐτῇ χρῷντο οἱ νέοι. 35. Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆμε ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν, ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις τοῖς αὐτοῦ ἀτάκτους λαμβάνειν τοὺς πο-

λεμίους· καὶ ἁπλισμένοις, ἀόπλους· καὶ ἐγρηγορόσι, καθεύδοντας· καὶ φανεροὺς σοι ὄντας, ἀφανὴς ὢν αὐτὸς ἐκείνοις, καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους, ἐν ἐρυμνῷ αὐτὸς ὤν, ὑποδέξῃ. 36. Καὶ πῶς ἄν, ἔφη, τὶς τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους πάσχειν. Σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους, καὶ ἔωθεν ἐπὶ τὰ ἔργα καῖα σχεδὸν ἅμα πάντας ἴεσθαι, καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι. Ἃ χρὴ σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ μάλιστα φυλάττεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ εὐχειρωτοτάτους γιγνομένους, ἐν πούτῳ μάλιστα ἐπιτίθεσθαι. 37. Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἐστὶ πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες, ὅτι δέονται. Οἱ δ' ἐξαπατῶντες τοὺς πολεμίους δύνανται καὶ, θαρσῆσαι ποιήσαντες, ἀφυλάκτους λαμβάνειν· καὶ διῶξαι παραδόντες ἑαυτοὺς, ἀτάκτους ποιῆσαι· καὶ, ἐς δυσχωρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι. 38. Δεῖ δὴ, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων ἁπάντων ὄντα, οὐχ, οἷς ἂν μάθῃς, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων· ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ, οἷς ἂν μάθωσι,

τούτοις μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα μέλη πειρῶνται ποιεῖν. Καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλλον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον καὶ ἐξαπατᾶν δύναται τοὺς ὑπεναντίους. 39. Εἰ δὲ σύ γε, ἔφη, ὦ παῖ, μηδὲν ἄλλο ἢ μετενέγκοις ἐπ' ἀνθρώπους τὰς μηχανάς, ὡς καὶ ἐπὶ τοῖς πάνυ μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἂν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας; Σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος, ἐπορεύου νυκτός· καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας ἐπεπήγνυτό σοι ἐπὶ τούτῳ αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἑξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτὰς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· ἠσκήκεις δὲ φθάνειν ἕλκων, ἢ τὰ πτηνὰ φυγεῖν. 40. Πρὸς δ' αὖ τὸν λαγῶ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ κατὰ πόδας αἴρειν. Εἰ δὲ καὶ ταύτας ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα χωρία φεύγειν αἱροῦνται οἱ λαγῶ, ἐν τούτοις τὰ δίκτυα δυσόρατα ἐνεπετάννυες, ἵνα ἐν τῷ σφόδρα φεύγειν αὐτὸς ἑαυτὸν ἐμπίπτων ἐνέδυ. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν, σκοποὺς τοῦ γιγνομένου

καθίστης, οἳ ἐγγύθεν ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγῶ βοῶν, ἐξέπληττες αὐτὸν, ὥστε ἀφρόνως ἀλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σιγᾷν διδάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις. 41. Ὥσπερ οὖν προεῖπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώπους μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε, εἴ τινα λίποις ἂν τῶν πολεμίων. Ἦν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφοτέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δή, ὦ παῖ, αἱ ἐκ πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. 42. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέναι, ὅτι, ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. Μηδέποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει, τί σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξει. 43. Ὅπως δὲ χρὴ τάσσειν εἰς μάχην στρατιὰν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτὸς, ἢ στενὰς ἢ πλατείας ὁδοὺς, ἢ ὀρεινὰς ἢ πεδινὰς, ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπας ἢ ποταμοὺς διαβαίνειν, ἢ

ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας· καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι· καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φανεῖεν, ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν· ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν, ταῦτα δὴ πάντα τί ἂν ἐγὼ λέγοιμί σοι; Ὅσα τε γὰρ ἔγωγε ἤδειν, πολλάκις ἀκήκοας· ἄλλος τε εἴ τις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι. Δεῖ οὖν πρὸς τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ.

44. Μάθε δέ μου, ὦ παῖ, καὶ τάδε, ἔφη, τὰ μέγιστα· παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ' ἐν σαυτῷ μηδέποτε μήτ' ἐν τῇ στρατιᾷ κινδυνεύσῃς· καταγνοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδέν, ἀπὸ ποίας ἔσται αὐτοῖς τὰ ἀγαθά. Γνοίης δ' ἂν ἐξ αὐτῶν τῶν γιγνομένων. 45. Πολλοὶ μὲν γὰρ ἤδη πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ' ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. Πολλοὶ δὲ πολλοὺς ηὔξησαν ἤδη καὶ ἰδιώτας καὶ πόλεις, ὑφ' ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. Πολλοὶ δέ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ' αὐτῶν τούτων δίκην ἔδοσαν. Πολλοῖς δ' οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως,

ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ ὧν εἶχον ἀπέτυχον· πολλοὶ δὲ τὸν πολύευκτον χρυσὸν κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. 46. Οὕτως ἡ [γε] ἀνθρωπίνη σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι, ἢ εἰ κληρούμενος, ὅ τι λάχοι, τοῦτό τις πράττοι. Θεοὶ δὲ, ὦ παῖ, αἰεὶ ὄντες πάντα ἴσασι, τά τε γεγενημένα, καὶ τὰ ὄντα, καὶ ὅ τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων, οἷς ἂν ἵλεῳ ὦσι, προσημαίνουσιν, ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή. Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν, ἐπιμελεῖσθαι.

НБ ОНУ імені І.І.Мечникова

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Β.

CAPVT I.

1. Τοιαῦτα μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων τῆς Περσίδος· ἐπεὶ δὲ αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς προηγεῖτο, προευξάμενοι θεοῖς καὶ ἥρωσι, τοῖς Περσίδα γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέβαινον τὰ ὅρια. Ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις θεοῖς, τοῖς Μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς. Ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ἀλλήλους, ὥσπερ εἰκός, ὁ μὲν πατὴρ πάλιν εἰς Πέρσας ἀπῄει, Κῦρος δὲ εἰς Μήδους πρὸς Κυαξάρην ἐπορεύετο. 2. Ἐπεὶ δὲ ἀφίκετο ὁ Κῦρος εἰς Μήδους πρὸς τὸν Κυαξάρην, πρῶτον μὲν, ὥσπερ εἰκὸς, ἠσπάσαντο ἀλλήλους· ἔπειτα δὲ ἤρετο τὸν Κῦρον ὁ Κυαξάρης, πόσον τι ἄγοι τὸ στράτευμα. Ὁ δ' ἔφη, τρισμυρίους μὲν, οὓς καὶ πρόσθεν ἐφοίτων πρὸς ὑμᾶς μισθοφόροι· ἄλλοι δὲ καὶ τῶν οὐδεπώποτε ἐξελθόντων προσέρχονται τῶν ὁμοτίμων. 3. Πόσοι τινές; ἔφη ὁ Κυα-

ξάρης. Οὐκ ἂν ὁ ἀριθμός σε, ἔφη ὁ Κῦρος, ἀκοῦσαντα εὐφράνειεν· ἀλλ' ἐκεῖνο ἐννόησον, ὅτι ὀλίγοι ὄντες οὗτοι οἱ ὁμότιμοι καλούμενοι πολλῶν ὄντων τῶν ἄλλων Περσῶν ῥᾳδίως ἄρχουσιν. Ἀτὰρ, ἔφη, δέῃ τι αὐτῶν; ἢ μάτην ἐφοβήθης, οἱ δὲ πολέμιοι οὐκ ἔρχονται; 4. Ναὶ μὰ Δί', ἔφη, καὶ πολλοί γε. Πῶς τοῦτο σαφές; Ὅτι, ἔφη, πολλοὶ ἥκοντες αὐτόθεν, ἄλλος ἄλλον τρόπον, πάντες ταὐτὰ λέγουσιν. Ἀγωνιστέον ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας. Ἀνάγκη γάρ, ἔφη. Τί οὖν, ἔφη ὁ Κῦρος, οὐ καὶ τὴν δύναμιν ἔλεξάς μοι, εἰ οἶσθα, πόση τις ἡ προσιοῦσα, καὶ πάλιν τὴν ἡμετέραν; ὅπως εἰδότες ἀμφοτέρας, πρὸς ταῦτα βουλευσόμεθα, ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ἄκουε δή, ἔφη ὁ Κυαξάρης.

5. Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους. Ἀρτάμαν δὲ, τὸν τῆς μεγάλης Φρυγίας ἄρχοντα, λέγουσιν ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν, λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων· Ἀρίβαιον δὲ, τὸν τῶν Καππαδοκῶν βασιλέα, ἱππέας μὲν εἰς ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τριςμυρίων· τὸν Ἀράβιον δὲ Μάραγδον ἱππέας τε εἰς μυρίους, καὶ ἅρματα εἰς ἑκατὸν, καὶ σφενδονητῶν πάμπολύ τι χρῆμα. Τοὺς μέντοι Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται· τοὺς δὲ ἀπὸ Φρυγίας τῆς παρ' Ἑλλήσποντον συμβαλεῖν φασι Γαβαῖον ἔχοντα εἰς Καΰστρου πεδίον ἑξακισχι-

λίους μὲν ἱππεῖς, πελταστὰς δὲ εἰς δισμυρίους. Κῦρας μέντοι καὶ Κίλικας καὶ Παφλαγόνας παρακληθέντας οὗ φασιν ἕπεσθαι. Ὁ δὲ Ἀσσύριος, ὁ Βαβυλῶνά τε ἔχων, καὶ τὴν ἄλλην Ἀσσυρίαν, ἐγὼ μὲν οἶμαι, ἱππέας μὲν ἄξει οὐ μεῖον δισμυρίων, ἅρματα δ', εὖ οἶδ', οὐ πλείω διακοσίων, πεζοὺς δέ, οἶμαι, παμπόλλους· εἰώθει γοῦν, ὁπότε δεῦρο ἐμβάλλοι. 6. Σὺ, ἔφη ὁ Κῦρος, πολεμίους λέγεις, ἱππέας μὲν εἰς ἑξακισμυρίους εἶναι, πελταστὰς δὲ καὶ τοξότας πλέον ἢ εἴκοσι μυριάδας· Ἄγε δὴ, τῆς δυνάμεως τῆς σῆς τί φῂς πλῆθος εἶναι; Εἰσὶν, ἔφη, Μήδων μὲν ἱππεῖς πλείους τῶν μυρίων· πελτασταὶ δὲ καὶ τοξόται γένοιντ' ἂν, ὡς ἐπὶ τῆς ἡμετέρας, κἂν ἑξακισμύριοι. Ἀρμενίων δ', ἔφη, τῶν ὑμῖν παρέσονται ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ δισμύριοι. Λέγεις σὺ, ἔφη ὁ Κῦρος, ἱππέας μὲν ἡμῖν εἶναι μεῖον ἢ τὸ τρίτον μέρος τοῦ τῶν πολεμίων ἱππικοῦ, πεζοὺς δὲ σχεδὸν ἀμφὶ τοὺς ἡμίσεις. 7. Τί οὖν; ἔφη ὁ Κυαξάρης, ὀλίγους νομίζεις Περσῶν εἶναι, οὓς σὺ φῂς ἄγειν; Ἀλλ' εἰ μὲν ἀνδρῶν προσδεῖ ἡμῖν, ἔφη ὁ Κῦρος, εἴτε καὶ μὴ, αὖθις βουλευσόμεθα· τὴν δὲ μάχην μοι, ἔφη, λέξον ἑκάστων, ἥτις ἐστί. Σχεδὸν, ἔφη ὁ Κυαξάρης, πάντων ἡ αὐτή. Τοξόται γὰρ εἰσι καὶ ἀκοντισταὶ οἵ τ' ἐκείνων καὶ οἱ ἡμέτεροι. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ἀκροβολίζεσθαι ἀνάγκη ἐστὶ, τοιούτων γε τῶν ὅπλων ὄντων. Ἀνάγκη γὰρ οὖν, ἔφη ὁ Κυαξάρης. 8. Οὐκοῦν ἐν τούτῳ μὲν, ἔφη ὁ Κῦρος, τῶν πλειόνων ἡ νίκη· πολὺ γὰρ ἂν

θᾶττον οἱ ὀλίγοι ὑπὸ τῶν πολλῶν τιτρωσκόμενοι ἁλωθείησαν, ἢ ὑπὸ τῶν ὀλίγων οἱ πολλοί. Εἰ οὖν οὕτως ἔχει, ἔφη, ὦ Κῦρε, τί ἂν ἄλλο τὶς κρεῖττον εὕροι, ἢ πέμπειν εἰς Πέρσας, καὶ ἅμα μὲν διδάσκειν αὐτοὺς, ὅτι, εἴ τι πείσονται Μῆδοι, εἰς Πέρσας τὸ δεινὸν ἥξει, ἅμα δὲ αἰτεῖν πλεῖον στράτευμα; Ἀλλὰ τοῦτο μὲν, ἔφη ὁ Κῦρος, εὖ ἴσθι, ὅτι, οὐδ' εἰ πάντες ἔλθοιεν Πέρσαι, πλήθει γε οὐκ ἂν ὑπερβαλοίμεθα τοὺς πολεμίους. 9. Τί μήν; ἄλλο τι ἐνορᾷς ἄμεινον τούτου; Ἐγὼ μὲν ἄν, ἔφη ὁ Κῦρος, εἰ σὺ εἴην, ὡς τάχιστα ὅπλα ἐποιούμην πᾶσι Πέρσαις τοῖς προσιοῦσιν, οἵπερ ἔρχονται ἔχοντες παρ' ἡμῶν οἱ τῶν ὁμοτίμων καλούμενοι. Ταῦτα δ' ἐστὶ θώραξ μὲν περὶ τὰ στέρνα, γέρρον δὲ εἰς τὴν ἀριστερὰν, κοπὶς δὲ ἡ σάγαρις εἰς τὴν δεξιάν· ἢν ταῦτα παρασκευάσῃς, ἡμῖν μὲν ποιήσεις τὸ ὁμόσε τοῖς ἐναντίοις ἰέναι ἀσφαλέστατον, τοῖς πολεμίοις δὲ τὸ φεύγειν, ἢ τὸ μένειν, αἱρετώτερον. Τάττομεν δὲ, ἔφη, ἡμεῖς μὲν αὐτοὺς ἐπὶ τοὺς μένοντας· οἵγε μέν τ' ἂν αὐτῶν φεύγωσι, τούτους ὑμῖν καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε φεύγειν, μήτ' ἀναστρέφεσθαι. 10. Κῦρος μὲν οὕτως ἔλεξε· τῷ δὲ Κυαξάρῃ ἔδοξέ τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μεταπέμπεσθαι οὐκέτι ἐμέμνητο, παρεσκευάζετο δὲ ὅπλα τὰ προειρημένα. Καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ τῶν Περσῶν οἱ ὁμότιμοι παρῆσαν, ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα. Ἔνθα δὴ εἰπεῖν λέγεται ὁ Κῦρος, συναγαγὼν αὐτοὺς, τάδε·

11. Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν, αὐτοὺς μὲν καθωπλισμένους οὕτω, καὶ ταῖς ψυχαῖς παρεσκευασμένους, ὡς χεῖρας συμμίξοντας τοῖς πολεμίοις, τοὺς δὲ ἑπομένους ὑμῖν Πέρσας γιγνώσκων, ὅτι οὕτως ὡπλισμένοι εἰσὶν, ὡς ὅτι προσωτάτω ταχθέντες μάχεσθαι, ἔδεισα, μὴ, ὀλίγοι στάντες, καὶ ἔρημοι συμμάχων συμπίπτοντες πολλοῖς, πάθοιτέ τι. Νῦν οὖν, ἔφη, σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτά· ὅπλα δὲ ἔσται αὐτοῖς ὅμοια τοῖς ὑμετέροις· τὰς γε μὴν ψυχὰς αὐτῶν θήγειν, ὑμέτερον τὸ ἔργον. Ἄρχοντος γάρ ἐστιν, οὐχ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν, ἀλλὰ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. 12. Ὁ μὲν οὕτως εἶπεν· οἱ δ' ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι· εἷς δὲ αὖτῶν καὶ ἔλεξε τοιάδε·

13. Ἀλλὰ θαυμαστὰ μὲν, ἔφη, ἴσως δόξω λέγειν, εἰ Κύρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμαχεῖσθαι· ἀλλὰ γιγνώσκω γὰρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ κακῶς ποιεῖν λόγοι οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκουόντων· καὶ δῶρα ἥν διδῶσιν οἱ τοιοῦτοι, κἂν μείω τυγχάνῃ ὄντα, ἢ τὰ παρὰ τῶν ὁμοίων, ὅμως μείζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. Καὶ νῦν, ἔφη, οἱ Πέρσαι παρασκεύαι ὑπὸ Κύρου πολὺ μᾶλλον ἡσθήσονται, ἢ ὑφ' ἡμῶν παρακαλούμενοι· εἴς τε τοὺς ὁμοτίμους καθιστάμενοι, βεβαιοτέρως σφίσιν ἡγήσονται ἔχειν τοῦτο, ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρατηγοῦ γιγνόμενον,

ἢ εἰ ὑφ' ἡμῶν εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο. Ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή· ἀλλὰ παντὶ τρόπῳ δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὸ φρόνημα. Ἡμῖν γὰρ ἔσται τοῦτο χρήσιμον, ὅ τι ἂν οὗτοι βελτίονες γένωνται. 14. Οὕτω δὴ ὁ Κῦρος καταθεὶς τὰ ὅπλα εἰς τὸ μέσον, καὶ συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας, ἔλεξε τοιάδε·

15. Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν χώρᾳ, καὶ ἐτράφητε· καὶ τὰ σώματά γε ἡμῶν οὐδὲν χείρονα ἔχετε, ψυχάς τε οὐδὲν κακίονας ὑμῖν προσήκει ἡμῶν ἔχειν. Τοιοῦτοι δ' ὄντες, ἐν μὲν τῇ πατρίδι οὐ μετείχετε τῶν ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες, ἀλλ' ὑπὸ τοῦ τὰ ἐπιτήδεια ἀνάγκην ὑμῖν εἶναι πορίζεσθαι. Νῦν δὲ ὅπως μὲν ταῦτα ἕξετε, ἐμοὶ μελήσει, σὺν τοῖς θεοῖς· ἔξεστι δ' ὑμῖν, εἰ βούλεσθε, λαβόντας ὅπλα, οἷάπερ ἡμεῖς ἔχομεν, εἰς τὸν αὐτὸν ἡμῖν κίνδυνον ἐμβαίνειν· καὶ, ἄν τι ἐκ τούτων καλὸν κἀγαθὸν γίγνηται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. 16. Τὸν μὲν οὖν πρόσθεν χρόνον ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε καὶ ἡμεῖς· καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἦν ὑμῖν σχολή, ὥσπερ ἡμῖν, τούτων ἐπιμελεῖσθαι. Ἐν δὲ τῇδε τῇ ὁπλίσει οὐδὲν ἡμεῖς ὑμῶν προέξομεν. Θώραξ μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζων ἑκάστῳ ἔσται, γέρρον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσμεθα φορεῖν, μάχαιρα δὲ ἡ σάγαρις ἐν τῇ δεξιᾷ, ᾗ δὴ παίειν τοὺς ἐναντίους δεήσει, οὐδὲν φυλαττομένους, μή τι παίσαντες ἐξαμάρτωμεν. 17. Τί

οὖν ἂν ἐν τούτοις ἕτερος ἑτέρου ἡμῶν διαφέροι, πλὴν τόλμῃ; ἣν οὐδὲν ὑμῖν προσήκει ἧττονα ἡμῶν παρέχεσθαι. Νίκης τε γὰρ ἐπιθυμεῖν, ἢ τὰ καλὰ πάντα καὶ τὰ ἀγαθὰ κτῶνταί τε καὶ σώζει, τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; Κράτους τε, ὃ πάντα τὰ τῶν ἡττόνων τοῖς κρείττοσι δωρεῖται, τί εἰκὸς ἡμᾶς μᾶλλον ἢ καὶ ὑμᾶς τούτου δεῖσθαι; 18. Τέλος εἶπεν, Ἀκηκόατε πάντα· ὁρᾶτε τὰ ὅπλα· ὁ μὲν χρῄζων, λαμβανέτω ταῦτα, καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν· ὅτῳ δ' ἀρκεῖ ἐν μισθοφόρου χώρᾳ εἶναι, καταμενέτω ἐν τοῖς ὑπηρετικοῖς ὅπλοις. 19. Ὁ μὲν οὕτως εἶπεν. Ἀκούσαντες δὲ οἱ Πέρσαι ἐνόμισαν, εἰ παρακαλοῦμενοι, ὥστε τὰ ὅμοια πονοῦντες τῶν αὐτῶν τυγχάνειν, μὴ θελήσουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν· καὶ οὕτω δὴ ἀπογράφονται πάντες, ἀνέλαβόν τε τὰ ὅπλα πάντες.

20. Ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπεῖρᾶτο ὁ Κῦρος ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ' ἑαυτοῦ πρὸς ἰσχύν, διδάσκειν δὲ τὰ τακτικά, θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά. 21. Καὶ πρῶτον μὲν λαβὼν παρὰ Κυαξάρους ὑπηρέτας, προσέταξεν ἑκάστοις τῶν στρατιωτῶν ἱκανῶς, ὧν ἐδέοντο, πάντα πεποιημένα παρασχεῖν· τοῦτο δὲ παρασκευάσας, οὐδὲν αὐτοῖς ἄλλο ἐλελοίπει, ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον· ἐκεῖνο δοκῶ καταμεμαθηκέναι, ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἷς ἂν, ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν

νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. Καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελὼν καὶ τὸ τόξῳ μελετᾶν καὶ ἀκοντίῳ, κατέλιπε τοῦτο μόνον αὐτοῖς, τὸ σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι. Ὥστε εὐθὺς αὐτῶν παρεσκεύασε τὰς γνώμας, ὡς ὅμοσε ἰτέον εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον, μηδενὸς ἄξίους εἶναι συμμάχους· τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι, οἵ τινες ἂν εἰδῶσιν, ὅτι οὐδὲ δι' ἓν ἄλλο τρέφονται, ἢ ὅπως μαχοῦνται ὑπὲρ τῶν τρεφόντων. 22. Ἔτι δὲ πρὸς τοὐτοις ἐννοήσας, ὅτι, περὶ ὁπόσων ἂν γένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλλον ἐθέλουσι ταῦτα ἀσκεῖν, ἀγῶνας αὐτοῖς προεῖπεν ἁπάντων, ὁπόσα ἐγίγνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι ὑπὸ στρατιωτῶν. Ἃ δὲ προεῖπε, τάδε ἦν· ἰδιώτῃ μὲν, ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον, καὶ φιλοκίνδυνον μετ' εὐταξίας, καὶ ἐπιστήμονα τῶν στρατιωτικῶν, καὶ φιλόκαλον περὶ ὅπλα, καὶ φιλότιμον ἐπὶ πᾶσι τοῖς τοιούτοις· πεμπαδάρχῳ δ', αὐτὸν ὄντα, οἱόνπερ τὸν ἀγαθὸν ἰδιώτην, καὶ τὴν πεμπάδα, εἰς τὸ δυνατὸν, τοιαύτην παρέχειν· δεκαδάρχῳ δὲ, τὴν δεκάδα· ὡσαύτως δὲ λοχαγῷ, τὸν λόχον· ὡς δ' αὕτως ταξιάρχῳ· ὡς δ' αὕτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων, ἀνεπίκλητον αὐτὸν ὄντα, ἐπιμελεῖσθαι καὶ τῶν ὑφ' αὑτῷ ἀρχόντων, ὅπως ἐκεῖνοι αὖ, ὧν ἂν ἄρχωσι, παρέξουσι τὰ δέοντα ποιοῦντας. 23. Ἆθλα δὲ προὔφηνε, τοῖς μὲν ταξιάρχαις, οἳ κρατίστας δόξαιεν τὰς τάξεις παρασκευάσαι, χιλιάρχους ἔσεσθαι· τῶν δὲ λοχαγῶν, οἳ κρατίστους δόξαιεν τοὺς

λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιαρχῶν χώρας ἐπαναβήσεσθαι· τῶν δ' αὖ δεκαδαρχῶν τοὺς κρατίστους, εἰς τὰς τῶν λοχαγῶν χώρας καταστήσεσθαι· τῶν δ' αὖ πεμπαδαρχῶν, ὡσαύτως εἰς τὰς τῶν δεκαδαρχῶν· τῶν γε μὴν ἰδιωτῶν τοὺς κρατιστεύοντας, εἰς τὰς τῶν πεμπαδαρχῶν. Ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι, πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων· ἔπειτα δὲ καὶ ἄλλαι τιμαὶ, αἱ πρέπουσαι ἑκάστοις, συμπαρείποντο. Ἐπανέτεινε δὲ καὶ μείζονας ἐλπίδας τοῖς ἀξίοις ἐπαίνου, εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ ἀγαθὸν μεῖζον φαίνοιτο. 24. Προεῖπε δὲ νικητήρια καὶ ὅλαις ταῖς τάξεσι, καὶ ὅλοις τοῖς λόχοις· καὶ ταῖς δεκάσιν ὡσαύτως καὶ ταῖς πεμπάσιν, ἐὰν φαίνωνται εὐπιστότατα τοῖς ἄρχουσιν οὖσαι, καὶ προθυμότατα ἀσκοῦσαι τὰ προειρημένα. Ἦν δὲ ταύταις τὰ νικητήρια, οἷα δὴ εἰς πλῆθος πρέπει. Ταῦτα μὲν δὴ προείρητό τε, καὶ ἤσκητο ὑπὸ τῆς στρατιᾶς. 25. Σκηνὰς δὲ αὐτοῖς κατεσκεύασε, πλῆθος μὲν, ὅσοι ταξίαρχοι ἦσαν· μέγεθος δὲ, ὥστε ἱκανὰς εἶναι τῇ τάξει ἑκάστῃ· ἡ δὲ τάξις ἦν ἑκατὸν ἄνδρες. Ἐσκήνουν μὲν δὴ οὕτω κατὰ τάξεις. Ἐν δὲ τῷ ὁμοσκηνοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα τοῦτο, ὅτι ἐώρων ἀλλήλους ὁμοίως τρεφομένους, καὶ οὐκ ἐνῆν πρόφασις μειονεξίας, ὥστε ὠφεῖσθαί τε τινὰ, κακίω τε ἕτερον ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους. Ὠφελεῖσθαι δὲ ἐδόκουν αὐτῷ καὶ πρὸς τὸ γιγνώσκεσθαι ἀλλήλοις ὁμοσκηνοῦντες. Ἐν δὲ τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύ-

νεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνεσθαι· οἱ δὲ ἀγνοούμενοι ῥᾳδιουργεῖν πως μᾶλλον δοκοῦσιν, ὥσπερ οἱ ἐν σκότει ὄντες. 26. Ἐδόκουν δὲ αὐτῷ καὶ εἰς τὸ τὰς τάξεις ἀκριβοῦν μέγα ὠφελεῖσθαι διὰ τὴν ὁμοσκηνίαν. Εἶχον γὰρ οἱ μὲν ταξίαρχοι τὰς ὑφ' ἑαυτοῖς τάξεις κεκοσμημένας, ὥσπερ ὁπότε εἰς ἕνα πορεύοιτο ἡ τάξις· οἱ δὲ λοχαγοὶ, τοὺς λόχους ὡσαύτως· οἱ δὲ δεκάδαρχοι, τὰς δεκάδας· καὶ οἱ πεμπάδαρχοι, τὰς πεμπάδας. 27. Τὸ δὲ ἀκριβοῦν τὰς τάξεις σφόδρα ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι, καὶ εἰς τὸ μὴ ταράττεσθαι, καὶ εἰς τό, εἰ ταραχθεῖεν, θᾶττον κατασταθῆναι· ὥσπερ γε καὶ λίθων καὶ ξύλων ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι, κἂν ὁπωσοῦν καταβεβλημένα τύχῃ, συναρμόσαι ταῦτα εὐπετῶς, ἢν ἔχῃ γνωρίσματα, ὥστε εὔδηλον εἶναι, ἐξ ὁποίας ἕκαστον χώρας αὐτῶν ἐστιν. 28. Ἐδόκουν δὲ ὠφελεῖσθαι αὐτῷ ὁμοῦ τρεφόμενοι καὶ πρὸς τὸ ἧττον ἐλλήλους ἂν ἐθέλειν ἀπολείπειν· ὅτι ἑώρα καὶ τὰ θηρία, τὰ συντρεφόμενα, δεινὸν ἔχοντα πόθον, ἢν τις αὐτὰ διασπᾷ ἀπ' ἀλλήλων.

29. Ἐπεμέλετο δὲ καὶ τοῦδε ὁ Κῦρος, ὅπως μήποτε ἀνίδρωτοι γενόμενοι ἐπὶ τὸ ἄριστον καὶ τὸ δεῖπνον εἰσίοιεν. Ἡ γὰρ ἐπὶ θήραν αὐτοὺς ἐξάγων, ἱδρῶτα αὐτοῖς παρεῖχεν, ἢ παιδιὰς τοιαύτας ἐξεύρισκεν, αἳ ἱδρῶτα ἔμελλον παρέξειν· ἢ καὶ πρᾶξαι εἴ τι δεομένος τύχοι, οὕτως ἐξηγεῖτο τῆς πράξεως, ὡς μὴ ἐπανίοιεν ἀνίδρωτί. Τοῦτο γὰρ ἡγεῖτο καὶ πρὸς τὸ ἡδέως ἐσθίειν ἀγαθὸν εἶναι, καὶ πρὸς τὸ ὑγιαίνειν, καὶ πρὸς τὸ δύνασθαί τι πονεῖν. Καὶ πρὸς τὸ ἀλ-

λήλοις δὲ προθυμοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι, ὅτι καὶ οἱ ἵπποι, συμπονοῦντες ἀλλήλοις, προθυμότεροι συνεστήκασι. Πρός γε μὴν τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται, οἷς ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες.

30. Κῦρος δὲ αὐτῷ σκηνὴν μὲν κατεσκευάσατο, ὡς ἱκανὴ εἴη ἔχειν, οὗς καλοίη ἐπὶ τὸ δεῖπνον. Ἐκάλει δὲ ὡς τὰ πολλὰ τῶν ταξιαρχῶν, οὓς καιρὸς αὐτῷ δοκοίη εἶναι· ἔστι δ' ὅτε καὶ τῶν λοχαγῶν καὶ τῶν δεκαδάρχων τινὰς καὶ πεμπαδάρχων ἐκάλει· ἔστι δ' ὅτε καὶ τῶν στρατιωτῶν· ἔστι δ' ὅτε καὶ τὴν πεμπάδα ὅλην, καὶ δεκάδα ὅλην, καὶ λόχον ὅλον, καὶ τάξιν ὅλην. Ἐκάλει δὲ καὶ ἑτίμα, ὅτε τινὰς ἴδοι τοιοῦτό τι ποιήσαντας, ὃ πάντας ἐβούλετο ποιεῖν. Ἦν δὲ τὰ μὲν παρατιθέμενα ἀεὶ ἴσα αὐτῷ τε καὶ τοῖς καλουμένοις ἐπὶ τὸ δεῖπνον. 31. Καὶ τοὺς ἀμφὶ τὸ στράτευμα δὲ ὑπηρέτας ἰσομοίρους ἀεὶ πάντων ἐποίει· οὐδὲν γὰρ ἧττον τιμᾶν ἄξιον ἐδόκει αὐτῷ εἶναι τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας οὔτε κηρύκων οὔτε πρέσβεων. Καὶ γὰρ πιστοὺς ἡγεῖτο δεῖν εἶναι τούτους, καὶ ἐπιστήμονας τῶν στρατιωτικῶν, καὶ συνετούς, προσέτι δὲ σφοδροὺς, καὶ ταχεῖς, καὶ ἀόκνους, καὶ ἀταράκτους. Πρὸς δὲ τούτοις, καὶ ὅσα οἱ βέλτιστοι νομιζόμενοι ἔχουσιν, ἐγίγνωσκεν ὁ Κῦρος δεῖν τοὺς ὑπηρέτας ἔχειν, καὶ τοῦτο ἀσκεῖν, ὡς μηδὲν ἀναίνοιντο ἔργον, ἀλλὰ πάντα νομίζοιεν πρέπειν αὐτοῖς πράττειν, ὅσα ἂν ὁ ἄρχων προστάττοι.

CAPVT II.

1. Ἀεὶ μὲν οὖν ἐπεμέλετο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται καὶ παρορμῶντες εἰς τἀγαθόν. Ἀφίκετο δ' οὖν καὶ εἰς τόνδε ποτὲ τὸν λόγον· Ἆρά γε, ἔφη, ὦ ἄνδρες, ἐνδεέστεροί τι ἡμῶν διὰ τοῦτο φαίνονται εἶναι οἱ ἑταῖροι, ὅτι οὐ πεπαίδευνται τὸν αὐτὸν τρόπον ἡμῖν; ἢ οὐδὲν ἄρα διοίσουσιν ἡμῶν, οὔτε ἐν ταῖς συνουσίαις, οὔτε ὅταν ἀγωνίζεσθαι πρὸς τοὺς πολεμίους δέῃ; 2. Καὶ ὁ Ὑστάσπης ὑπολαβὼν εἶπεν· Ἀλλ' ὁποῖοι μέν τινες ἔσονται εἰς τοὺς πολεμίους, οὔπω ἔγωγε ἐπίσταμαι· ἐν μέντοι τῇ συνουσίᾳ δύσκολοι, ναὶ μὰ τοὺς θεούς, ἔνιοι αὐτῶν ἤδη φαίνονται. Πρώην μέν γε, ἔφη, Κυαξάρης ἔπεμψεν εἰς τὴν τάξιν ἑκάστην ἱερεῖα, καὶ ἐγένετο ἑκάστῳ ἡμῶν τρία κρέα ἢ καὶ πλείω τὰ περιφερόμενα. Καὶ ἤρξατο μὲν δὴ ἀπ' ἐμοῦ ὁ μάγειρος, τὴν πρώτην περίοδον περιφέρων· ὅτε δὲ τὸ δεύτερον εἰσῄει περιοίσων, ἐκέλευσα ἐγὼ ἀπὸ τοῦ τελευταίου ἄρχεσθαι, καὶ ἀνάπαλιν περιφέρειν. 3. Ἀνακραγὼν οὖν τις τῶν κατὰ μέσον τὸν κύκλον κατακειμένων στρατιωτῶν, Μὰ Δί', ἔφη, τῶνδε μὲν οὐδὲν ἴσον ἐστὶν, εἴγε ἀφ' ἡμῶν τῶν ἐν μέσῳ οὐδεὶς οὐδέποτε ἄρξεται. Καὶ ἐγὼ ἀκούσας ἠχθέσθην τε, εἴ τι μεῖον δοκοίη ἔχειν, καὶ ἐκάλεσα εὐθὺς αὐτὸν πρὸς ἐμέ. Ὁ δὲ μάλα τοῦτό γε εὐτάκτως ὑπήκουσεν. Ὡς δὲ τὰ περιφερόμενα ἦκε πρὸς ἡμᾶς, ἅτε, οἶμαι, ὑστάτους λαμβάνοντας, τὰ σμικρότατα λελειμμένα ἦν· ἐνταῦθα δὴ ἐκεῖνος πάνυ

ἀναθεὶς δῆλος ἐγένετο, καὶ εἶπε πρὸς ἑαυτόν, Τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν! 4. Καὶ ἐγὼ εἶπον, Ἀλλὰ μὴ φρόντιζε· αὐτίκα γὰρ ἀφ' ἡμῶν αὖ ἄρξεται, καὶ σὺ πρῶτος λήψῃ τὸ μέγιστον. Καὶ ἐν τούτῳ περιέφερε τὸ τρίτον, ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς· κἀκεῖνος ἔλαβε μετ' ἐμὲ δεύτερος. Ὡς δ' ὁ τρίτος ἔλαβε, καὶ ἔδοξεν αὐτὸν μεῖζον ἑαυτοῦ λαβεῖν, καταβάλλει, ὃ ἔλαβεν, ὡς ἕτερον ληψόμενος. Καὶ ὁ μάγειρος οἰόμενος αὐτὸν οὐδὲν ἔτι δεῖσθαι ὄψου, ᾤχετο παραφέρων, πρὶν λαβεῖν αὐτὸν ἕτερον. 5. Ἐνταῦθα δὴ οὕτω βαρέως ἤνεγκε τὸ πάθος, ὥστε ἀνήλωτο μὲν αὐτῷ, ὃ εἰλήφει, ὄψον, ὃ δὲ ἔτι αὖτῷ λοιπὸν ἦν τοῦ ἐμβάμματος, τοῦτό πως, ὑπὸ τοῦ ἐκπεπλῆχθαί τε καὶ ὀργίζεσθαι τῇ τύχῃ δυσφορούμενος ἀνέτρεψεν. Ὁ μὲν δὴ λοχαγός, ὁ ἐγγύτατα ἡμῶν, ἰδὼν, συνεκρότησέ τε τὼ χεῖρε, καὶ τῷ γέλωτι ἠὐφραίνετο. Ἐγὼ μέντοι, ἔφη, προσεποιούμην βήττειν· οὐδὲ γὰρ αὐτὸς ἠδυνάμην κατέχειν τὸν γέλωτα. Τοιοῦτον μὲν δή σοι, ὦ Κῦρε, ἕνα τῶν ἑταίρων ἐπιδεικνύω, ἔφη. 6. Ἐπὶ μὲν δὴ τούτῳ, ὥσπερ εἰκὸς, ἐγέλασαν. Ἄλλος δέ τις ἔλεξε τῶν ταξιάρχων· Οὗτος μὲν δὴ, ἔφη, ὦ Κῦρε, ὡς ἔοικεν, οὕτω δυσκόλῳ ἐνέτυχεν. Ἐγὼ δὲ, ὡς σὺ, διδάξας ἡμᾶς, τὰς τάξεις ἀπέπεμψας, καὶ ἐκέλευσας διδάσκειν τὴν ἑαυτοῦ ἕκαστον τάξιν, ἃ παρὰ σοῦ ἐμάθομεν, οὕτω δὴ καὶ ἐγὼ, ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν ἐδίδασκον ἕνα λόχον. Καὶ στήσας τὸν λοχαγὸν πρῶτον, καὶ τάξας δῆτα ἐπ' αὐτῷ ἄνδρα νεανίαν, καὶ τοὺς ἄλλους, ἧ

ᾠμην δεῖν, ἔπειτα στὰς ἐκ τοῦ ἔμπροσθεν, βλέπων εἰς τὸν λόχον, ἡνίκα μοι ἐδόκει καιρὸς εἶναι, προϊέναι ἐκέλευσα. 7. Καὶ ὁ ἀνὴρ σοι ὁ νεανίας ἐκεῖνος, προελθὼν τοῦ λοχαγοῦ ἔμπροσθεν, πρότερος ἐπορεύετο. Κἀγὼ ἰδὼν, εἶπον, Ὦ ἄνθρωπε, τί ποιεῖς; Καὶ ὃς ἔφη· Προέρχομαι, ὥσπερ σὺ κελεύεις. Κἀγὼ εἶπον· Ἀλλ' ἐγὼ οὐ σὲ μόνον ἐκέλευον, ἀλλὰ πάντας προϊέναι. Καὶ ὃς, ἀκούσας τοῦτο, μεταστραφεὶς πρὸς τοὺς λοχίτας εἶπεν, Οὐκ ἀκούετ', ἔφη, προστάττοντος προϊέναι πάντας; Καὶ οἱ ἄνδρες πάντες παρελθόντες τὸν λοχαγὸν, ἦσαν πρὸς ἐμέ. 8. Ἐπεὶ δὲ ὁ λοχαγὸς αὐτοὺς ἀνεχώριζεν, ἐδυσφόρουν τε, καὶ ἔλεγον, Ποτέρῳ χρὴ πείθεσθαι; νῦν γὰρ ὁ μὲν κελεύει προϊέναι, ὁ δ' οὐκ ἐᾷ. Ἐγὼ μέντοι ἐνεγκὼν ταῦτα πρᾴως, ἐξαρχῆς αὖ καταχωρίσας, εἶπον, μηδένα τῶν ὄπισθεν κινεῖσθαι, πρὶν ἂν ὁ πρόσθεν ἡγῆται· ἀλλὰ τοῦτο μόνον ὁρᾶν πάντας, τῷ πρόσθεν ἕπεσθαι. 9. Ὡς δ' εἰς Πέρσας τὶς ἀπιὼν ἦλθε πρὸς ἐμὲ, καὶ ἐκέλευσέ με τὴν ἐπιστολὴν δοῦναι, ἣν ἔγραψα οἰκαδε, κἀγὼ (ὁ γὰρ λοχαγὸς ᾔδει, ὅπου ἔκειτο ἡ ἐπιστολὴ) ἐκέλευσα, αὐτὸν δραμόντα ἐνεγκεῖν τὴν ἐπιστολήν· ὁ μὲν δὴ ἔτρεχεν· ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο τῷ λοχαγῷ, σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι· καὶ ὁ ἄλλος δὲ πᾶς λόχος, ἰδὼν ἐκεῖνον, συνέτρεχε· καὶ ἦκον οἱ ἄνδρες φέροντες τὴν ἐπιστολήν. Οὕτως, ἔφη, ὅγε ἐμὸς λόχος ἀκριβοῖ σοι πάντα τὰ παρὰ σοῦ. 10. Οἱ μὲν δὴ ἄλλοι, ὡς εἰκὸς, ἐγέλων ἐπὶ τῇ δορυφορίᾳ τῆς ἐπιστολῆς. Ὁ δὲ Κῦρος εἶ-

πει, Ὦ Ζεῦ καὶ πάντες θεοὶ, οἵους ἄρα ἡμεῖς ἔχομεν ἄνδρας ἑταίρους! Οἵ γε εὐθεράπευτοι μὲν οὕτως εἰσὶν, ὥστε τινὲς αὐτῶν ἔστι καὶ μικρῷ ὄψῳ πάνυ ἀνακτήσασθαι [φίλους]· πιθανοὶ δ' οὕτως εἰσί τινες, ὥστε, πρὶν εἰδέναι τὸ προσταττόμενον, πρότερον πείθονται. Ἐγὼ μὲν οὐκ οἶδα, ποίους τινὰς χρὴ μᾶλλον εὔξασθαι, ἢ τοιούτους, στρατιώτας ἔχειν. 11. Ὁ μὲν δὴ Κῦρος ἅμα γελῶν οὕτως ἐπῄνεσε τοὺς στρατιώτας.

Ἐν δὲ τῇ σκηνῇ ἐτύγχανέ τις ὢν τῶν ταξιάρχων, Ἀγλαϊτάδας ὄνομα, ἀνὴρ τὸν τρόπον τῶν στρυφνοτέρων ἀνθρώπων· οὗτος ὧδέ πως εἶπεν. Ἦ γὰρ οἴει, ἔφη, ὦ Κῦρε, τούτους ἀληθῆ λέγειν ταῦτα; Ἀλλὰ τί μὴν βουλόμενοι, ἔφη ὁ Κῦρος, ψεύδονται; Τί δ' ἄλλο γε, ἔφη, εἰ μὴ γέλωτα ποιεῖν ἐθέλοντες; ὑπὲρ οὗ λέγουσί τε ταῦτα, καὶ ἀλαζονεύονται. 12. Καὶ ὁ Κῦρος, Εὐφήμει, ἔφη, μηδὲ λέγε ἀλαζόνας εἶναι τούτους. Ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι, ἢ εἰσὶ, καὶ ἀνδρειοτέροις, καὶ ποιήσειν, ἃ μὴ ἱκανοὶ εἰσὶν, ὑπισχνουμένοις· καὶ ταῦτα, φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν. Οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι μήτε ἐπὶ τῷ ἑαυτῶν κέρδει μήτ' ἐπὶ ζημίᾳ τῶν ἀκουόντων μήτε ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριτες δικαιότερον ὀνομάζοιντο μᾶλλον, ἢ ἀλαζόνες; 13. Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελογήσατο περὶ τῶν τὸν γέλωτα παρασχόντων. Αὖθις

δὲ ὁ ταξίαρχος, ὁ τὴν τοῦ λόχου χαριτίαν διηγησάμενος, ἔφη· Ἦ που ἄν, ὦ Ἀγλαϊτάδα, εἴ γε κλαίειν ἐπειρώμεθά σε ποιεῖν, σφόδρα ἂν ἡμῖν ἐμέμφου, (ὥσπερ ἔνιοι καὶ ἐν ᾠδαῖς καὶ ἐν λόγοις οἰκτρὰ ἄττα λογοποιοῦντες εἰς δάκρυα πειρῶνται ἄγειν·) ὁπότε γε νῦν, καὶ αὐτὸς εἰδὼς, ὅτι εὐφραίνειν μέν τί σε βουλόμεθα, βλάπτειν δ' οὐδέν, ὅμως οὕτως ἐν πολλῇ ἀτιμίᾳ ἡμᾶς ἔχεις. 14. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀγλαϊτάδας, καὶ δικαίως γε· ἐπεὶ καὶ αὐτοῦ τοῦ κλαίειν καθίζοντος τοὺς φίλους, πολλαχῇ ἔμοιγε δοκεῖ ἐλάττονος ἄξια διαπράττεσθαι ὁ γέλωτα αὐτοῖς μηχανώμενος. Εὑρήσεις δὲ καὶ σὺ, ἢν ὀρθῶς λογίζῃ, ἐμὲ ἀληθῆ λέγοντα. Κλαύμασι μὲν γε καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται, καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα· καὶ νόμοι γε πολίτας διὰ τοῦ κλαίοντας καθίζειν εἰς δικαιοσύνην προτρέπονται· τοὺς δὲ γέλωτα μηχανωμένους ἔχοις ἂν εἰπεῖν ἢ σώματα ὠφελοῦντας, ἢ ψυχὰς οἰκονομικωτέρας τι ποιοῦντας, ἢ πολιτικωτέρας; 15. Ἐκ τούτου ὁ Ὑστάσπης ὧδέ πως εἶπε· Σὺ, ἔφη, ὦ Ἀγλαϊτάδα, ἢν ἐμοὶ πείθῃ, εἰς μὲν τοὺς πολεμίους θαῤῥῶν δαπανήσεις τοῦτο τὸ πολλοῦ ἄξιον, καὶ κλαίοντας ἐκείνους πειράσῃ καθίζειν· ἡμῖν δὲ πάντως, ἔφη, καὶ τοῖσδε τοῖς φίλοις τούτου τοῦ ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύσῃ. Καὶ γὰρ οἶδ', ὅτι πολὺς σοί ἐστιν ἀποκείμενος· οὔτε γὰρ αὐτὸς χρώμενος ἀνήλωκας αὐτὸν, οὐδὲ μὴν φίλοις γε, οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις· ὥστε οὐδεμία σοι πρόφασίς ἐστιν, ὡς οὐ παρεκτέον σοι

ἡμῖν γέλωτα. Καὶ ὁ Ἀγλαϊτάδας εἶπε, Καὶ σὺ δ' αὖ, ὦ Ὑστάσπη, γέλωτα πειρᾷ ποιεῖν ἐξ ἐμοῦ; Καὶ ὁ ταξίαρχος εἶπε· Ναὶ μὰ Δί', ἀνόητος ἄρα ἐστίν· ἐπεὶ ἔκ γε σοῦ πῦρ, οἶμαι, ῥᾷον ἂν τις ἐκτρίψειεν, ἢ γέλωτα ἐξαγάγοι. 16. Ἐπὶ τούτῳ μὲν δὴ οἵ τε ἄλλοι ἐγέλασαν, τὸν τρόπον εἰδότες αὐτοῦ, καὶ αὐτὸς ὁ Ἀγλαϊτάδας ἐπεμειδίασε. Καὶ ὁ Κῦρος, ἰδὼν αὐτὸν φαιδρωθέντα, Ἀδικεῖς, ἔφη, ὦ ταξίαρχε, ὅτι ἄνδρα ἡμῖν τὸν σπουδαιότατον διαφθείρεις, γελᾶν ἀναπείθων, καὶ ταῦτ', ἔφη, οὕτω πολέμιον ὄντα τῷ γέλωτι. Ταῦτα μὲν δὴ ἐνταῦθ' ἔληξεν. 17. Ἐκ δὲ τούτου Χρυσάντας ὧδε ἔλεξεν·

Ἀλλ' ἔγωγ', ἔφη, ὦ Κῦρε, καὶ πάντες οἱ παρόντες, ἐννοῶ, ὅτι ἐξεληλύθασι μὲν σὺν ἡμῖν οἱ μὲν καὶ βελτίονες, οἱ δὲ καὶ μείονος ἄξιοι· ἢν δέ τι γένηται ἀγαθὸν, ἀξιώσουσιν οὗτοι πάντες ἰσομοιρεῖν. Καίτοι ἔγωγε οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι, τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. 18. Καὶ ὁ Κῦρος εἶπε πρὸς τοῦτο· Ἆρ' οὖν, πρὸς τῶν θεῶν, κράτιστον ἡμῖν, ἄνδρες, ἐμβαλεῖν περὶ τούτου βουλὴν εἰς τὸν στρατὸν, πότερα δοκεῖ, ἤν τι ἐκ τῶν πόνων δῷ ὁ θεὸς ἀγαθὸν, ἰσομοίρους πάντας ποιεῖν, ἢ σκοποῦντας τὰ ἔργα ἑκάστου, πρὸς ταῦτα καὶ τὰς τιμὰς ἑκάστῳ προστιθέναι; 19. Καὶ τί δεῖ, ἔφη ὁ Χρυσάντας, ἐμβαλεῖν λόγον περὶ τούτου, ἀλλ' οὐχὶ προεῖπεῖν, ὅτι οὕτω ποιήσεις; Ἢ οὐ σὺ καὶ τοὺς ἀγῶνας, ἔφη, προεῖπας καὶ τὰ ἆθλα; Ἀλλὰ μὰ Δί', ἔφη ὁ Κῦρος,

οὐχ ὅμοια ταῦτα ἐκείνοις. Ἃ μὲν γὰρ ἂν στρατευόμενοι κτήσωνται, κοινὰ, οἶμαι, ἑαυτοῖς ἡγήσονται εἶναι· τὴν δὲ ἀρχὴν τῆς στρατιᾶς ἐμὴν ἴσως ἔτι οἴκοθεν νομίζουσιν εἶναι· ὥστε διατάττοντα ἐμὲ τοὺς ἐπιστάτας οὐδὲν, οἶμαι, ἀδικεῖν νομίζουσιν. 20. Ἢ καὶ οἴει, ἔφη ὁ Χρυσάντας, ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθὸν, ὥστε μὴ ἴσων ἕκαστον τυγχάνειν, ἀλλὰ τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν; Ἔγωγ', ἔφη ὁ Κῦρος, οἶμαι, ἅμα μὲν ὑμῶν συναγορευόντων, ἅμα δὲ καὶ αἰσχρὸν ὂν ἀντιλέγειν, μὴ οὐχὶ τὸν πλεῖστα καὶ πονοῦντα, καὶ ὠφελοῦντα τὸ κοινὸν, τοῦτον καὶ μεγίστων ἀξιοῦσθαι. Οἶμαι δὲ, ἔφη, καὶ τοῖς κακίστοις σύμφορον φανεῖσθαι τοὺς ἀγαθοὺς πλεονεκτεῖν. 21. Ὁ δὲ Κῦρος ἐβούλετο καὶ αὐτῶν ἕνεκα τῶν ὁμοτίμων γενέσθαι τοῦτο τὸ ψήφισμα. Βελτίους γὰρ ἂν καὶ αὐτοὺς ἡγεῖτο τούτους εἶναι, εἰ εἰδεῖεν, ὅτι, ἐκ τῶν ἔργων καὶ αὐτοὶ κρινόμενοι, τῶν ἀξίων τεύξοιντο. Καιρὸς οὖν αὐτῷ ἐδόκει νῦν εἶναι ἐμβαλεῖν περὶ τούτου ψῆφον, ἐν ᾧ καὶ οἱ ὁμότιμοι ὤκνουν τὴν τοῦ ὄχλου ἰσομοιρίαν. Οὕτω δὴ συνεδόκει τοῖς ἐν τῇ σκηνῇ συμβαλέσθαι περὶ τούτου λόγους, καὶ συναγορεύειν ταῦτα ἔφασαν χρῆναι, ὅστιςπερ ἀνὴρ οἴοιτο εἶναι.

22. Ἐπιγελάσας δὲ τῶν ταξιάρχων τις εἶπεν, Ἀλλ' ἐγὼ, ἔφη, ἄνδρα καὶ τοῦ δήμου οἶδα, ὃς συνερεῖ, ὥστε μὴ εἰκῇ οὕτως ἰσομοιρίαν εἶναι. Ἄλλος δ' ἀντήρετο, τοῦτον τίνα λέγοι. Ὁ δ' ἀπεκρίνατο, Ἔστι νὴ Δί', ἀνὴρ σύσκηνος ἐμὸς, ὃς ἐν παντὶ μαστεύει

πλέον ἔχειν. Ἄλλος δ' αὖ ἐπήρετο αὐτὸν, Ἦ καὶ τῶν πόνων; Μὰ Δί', ἔφη, οὐ μὲν δή· ἀλλὰ τοῦτό γε ψευδόμενος ἐάλωκα. Καὶ γὰρ πόνων, καὶ τῶν ἄλλων τῶν τοιούτων πάνυ πρᾴως ἀεὶ ἐᾷ τὸν βουλόμενον πλέον ἔχειν. 23. Ἀλλ' ἐγὼ μὲν, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, γιγνώσκω τοὺς τοιούτους ἀνθρώπους, οἷον καὶ νῦν ὅδε λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον ἔχειν τὸ στράτευμα, ἐξαιρετέους εἶναι ἐκ τῆς στρατιᾶς. Δοκεῖ γάρ μοι τὸ μὲν πολὺ τῶν στρατιωτῶν εἶναι οἷον ἕπεσθαι, ἢ ἄν τις ἡγῆται· ἄγειν δ', οἶμαι, ἐπιχειροῦσιν, οἱ μὲν καλοὶ κἀγαθοὶ, ἐπὶ τὰ καλὰ κἀγαθά, οἱ δὲ πονηροὶ, ἐπὶ τὰ πονηρά. 24. Καὶ πολλάκις τοίνυν πλείονας ὁμογνώμονας λαμβάνουσιν οἱ φαῦλοι, ἢ οἱ σπουδαῖοι. Ἡ γὰρ πονηρία, διὰ τῶν παραυτίκα ἡδονῶν πορευομένη, ταύτας ἔχει συναπειθούσας πολλοὺς αὐτῇ ὁμογνωμονεῖν· ἡ δ' ἀρετὴ, πρὸς ὄρθιον ἄγουσα, οὐ πάνυ δεινή ἐστιν ἐν τῷ παραυτίκα εἰκῆ συνεπισπᾶσθαι· ἄλλως τε καὶ ἢν ἄλλοι ὦσιν, ἐπὶ τὸ πρανὲς καὶ τὸ μαλακὸν ἀντιπαρακαλοῦντες. 25. Καὶ τοίνυν ἢν μέν τινες βλακείᾳ καὶ ἀπονίᾳ μόνον κακοὶ ὦσι, τούτους ἐγὼ νομίζω, ὥσπερ κηφῆνας, δαπάνῃ μόνον ζημιοῦν τοὺς κοινωνούς· οἳ δ' αὖ τῶν μὲν πόνων κακοὶ ὦσι κοινωνοὶ, πρὸς δὲ τὸ πλεονεκτεῖν σφοδροὶ καὶ ἀναίσχυντοι, οὗτοι καὶ ἡγεμονικοὶ εἰσι πρὸς τὰ πονηρά· πολλάκις γὰρ δύνανται τὴν πονηρίαν πλεονεκτοῦσαν ἀποδεικνύναι· ὥστε παντάπασιν ἐξαιρετέοι οἱ τοιοῦτοι ἡμῖν εἰσι. 26. Καὶ μηδὲ μέντοι σκοπεῖτε, ὅπως ἐκ τῶν πολι-

τῶν ἀντιπληρώσετε τὰς τάξεις· ἀλλ', ὥσπερ ἵππους, οὓς ἂν ἄριστοι ὦσιν, οὐχ οὓς ἂν πατριῶται, τούτους ζητεῖτε, οὕτω καὶ ἀνθρώπους ἐκ πάντων, οἳ ἂν ὑμῖν μάλιστα δοκῶσι συνισχυριεῖν τε ὑμᾶς καὶ συγκοσμήσειν, τούτους λαμβάνετε. Μαρτυρεῖ δέ μοι καὶ τόδε πρὸς τὸ ἀγαθόν· οὔτε γὰρ ἅρμα δήπου ταχὺ γένοιτ' ἄν, βραδέων ἵππων ἐόντων, οὔτε δίκαιον, ἀδίκων συνεζευγμένων· οὐδέ γε οἶκος δύναται εὖ οἰκεῖσθαι, πονηροῖς οἰκέταις χρώμενος· ἀλλὰ καὶ ἐνδεόμενος οἰκετῶν, ἧττον σφάλλεται, ἢ ὑπὸ ἀδίκων ταραττόμενος. 27. Εὖ δὲ ἴστε, ὦ ἄνδρες, ἔφη, φίλοι, ὅτι οὐδὲ τοῦτο μόνον ὠφελήσουσιν οἱ κακοὶ ἀφαιρεθέντες, ὅτι κακοὶ ἀπέσονται, ἀλλὰ καὶ, τῶν καταμενόντων ὅσοι μὲν ἀνεπίμπλαντο ἤδη κακίας, ἀνακαθαροῦνται πάλιν αὐτήν· οἱ δὲ ἀγαθοὶ, τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας, πολὺ εὐθυμότερον τῆς ἀρετῆς ἀνθέξονται. 28. Ὁ μὲν οὕτως εἶπε· τοῖς δὲ φίλοις ἅπασι συνέδοξε ταῦτα, καὶ οὕτως ἐποίουν.

Ἐκ δὲ τούτου πάλιν αὐτοῖς σκώμματος ἦρχεν ὁ Κῦρος. Κατανοήσας γάρ τινα τῶν ταξιάρχων σύνδειπνον [ἀγόμενον] καὶ παρακλίτην πεποιημένον ἄνδρα ὑπέρδασύν τε καὶ ὑπέραισχρον, ἀνακαλέσας τὸν ταξίαρχον ὀνομαστὶ, εἶπεν ὧδε· Ὦ Σαμβαύλα, ἔφη, ἀλλ' ἦ καὶ σὺ κατὰ τὸν Ἑλληνικὸν τρόπον, ὅτι καλόν ἐστι, περιάγῃ τοῦτο τὸ μειράκιον, τὸ παρακατακείμενόν σοι; Νὴ τὸν Δί, ἔφη ὁ Σαμβαύλας, ἥδομαί γε οὖν καὶ ἐγὼ συνὼν τε τούτῳ, καὶ θεώμενος αὐτόν. 29. Ἀκούσαντες δὲ ταῦτα οἱ σύσκηνοι, προς-

ἔβλεψεν· ὡς δὲ εἶδον τὸ πρόσωπον τοῦ ἀνδρὸς ὑπερκάλλιον αἰσχει, ἐγέλασαν πάντες. Καί τις εἶπε, Πρὸς τῶν θεῶν, ὦ Σαμβαύλα, ποίῳ ποτέ σε ἔργῳ ὁ ἀνὴρ οὗτος ἀνήρτηται; Καὶ ὃς εἶπεν· 30. Ἐγὼ ὑμῖν, νὴ τὸν Δία, ὦ ἄνδρες, ἐρῶ. Ὁποσάκις γὰρ αὐτὸν ἐκάλεσα, εἴτε νυκτὸς, εἴτε ἡμέρας, οὐ πώποτε μοι οὔτ' ἀσχολίαν προὔφασίσατο, οὔτε βάδην ὑπήκουσεν, ἀλλ' ἀεὶ τρέχων· ὁποσάκις τε πρᾶξαί τι αὐτῷ προσέταξα, οὐδὲν ἀνδρωτὶ πώποτε εἶδον αὐτὸν ποιοῦντα. Πεποίηκε δὲ καὶ τοὺς δεκαδέας ἅπαντας τοιούτους, οὐ λόγῳ, ἀλλ' ἔργῳ ἀποδεικνὺς, οἵους δεῖ εἶναι. 31. Καί τις εἶπε· Κἆπειτα τοιοῦτον ὄντα οὐ φιλεῖς αὐτὸν, ὥσπερ τοὺς συγγενεῖς; Καὶ ὁ αἰσχρὸς ἐκεῖνος πρὸς τοῦτο εἶπε· Μὰ Δία, ἔφη· οὐ γὰρ φιλόπονός ἐστιν· ἐπεὶ ἤρκει ἂν αὐτῷ, εἰ ἐμὲ ἤθελε φιλεῖν, τοῦτο ἀντὶ πάντων τῶν γνωρισίων.

CAP. III.

1. Τοιαῦτα μὲν δὴ καὶ γελοῖα καὶ σπουδαῖα καὶ ἐλέγετο καὶ ἐπράττετο ἐν τῇ σκηνῇ. Τέλος δὲ, τὰς τρίτας σπονδὰς ποιησάντες, καὶ εὐξάμενοι τοῖς θεοῖς τὰ ἀγαθὰ, τὴν σκηνὴν εἰς κοίτην διέλυον. Τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος συνέλεξε τοὺς στρατιώτας πάντας, καὶ ἔλεξε τοιάδε·

2. Ἄνδρες φίλοι, ὁ μὲν ἀγὼν ἡμῖν ἐγγύς· προσερχονται γὰρ οἱ πολέμιοι. Τὰ δ' ἆθλα τῆς νίκης, ἣν μὲν ἡμεῖς νικῶμεν, (τοῦτο γὰρ ἀεὶ καὶ λέγειν, ἔφη, καὶ ποιεῖν δεῖ,) δῆλον, ὅτι οἵ τε πολέμιοι ἂν ἡμέ-

τεροι, καὶ τὰ τῶν πολεμίων ἀγαθὰ πάντα· ἢν δὲ ἡμεῖς αὖ νικώμεθα, — καὶ οὕτω τὰ τῶν ἡττωμένων ἀγαθὰ πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. 3. Οὕτω δή, ἔφη, δεῖ ὑμᾶς γιγνώσκειν, ὡς, ὅταν μὲν ἄνθρωποι, κοινωνοὶ πολέμου γενόμενοι, ἐν ἑαυτοῖς ἔχωσιν ἕκαστοι, ὡς, εἰ μὴ αὐτός τις προθυμηθήσεται, οὐδὲν ἐσόμενον τῶν δεόντων, ταχὺ πολλά τε καὶ καλὰ διαπράττονται· οὐδὲν γὰρ αὐτοῖς ἀργεῖται τῶν πράττεσθαι δεομένων· ὁπόταν δὲ ἕκαστος διανοηθῇ, ὡς ἄλλος ἔσται ὁ πράσσων καὶ ὁ μαχόμενος, κἂν αὐτὸς μαλακίζηται, τοῖς τοιούτοις, ἔφη, εὖ ἴστε, ὅτι πᾶσιν ἅμα πάντα ἥξει τὰ χαλεπὰ φερόμενα. 4. Καὶ ὁ θεὸς οὕτω πως ἐποίησε· τοῖς μὴ θέλουσιν ἑαυτοῖς προστάττειν ἐπονεῖν τἀγαθὰ, ἄλλους αὐτοῖς ἐπιτακτῆρας δίδωσι. Νῦν οὖν, ἔφη, λεγέτω τις ἐνθάδε ἀναστὰς περὶ αὐτοῦ τούτου, ποτέρως ἂν τὴν ἀρετὴν οἴεται ἀσκεῖσθαι μᾶλλον παρ' ἡμῖν, εἰ μέλλοι ὁ πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι, ἢ ἂν εἰδῶμεν, ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι· ὁμοίως γὰρ πάντες τῶν ἴσων τευξόμεθα. 5. Ἐντεῦθα δὴ ἀναστὰς ὁ Χρυσάντας, εἷς τῶν ὁμοτίμων, ἀνὴρ οὔτε μέγας, οὔτε ἰσχυρὸς ἰδεῖν, φρονήσει δὲ διαφέρων, ἔλεξεν ὧδε·

Ἀλλ' οἶμαι μὲν, ἔφη, ὦ Κῦρε, οὐδὲ διανοούμενόν σε, ὡς δεῖ ἴσον τοὺς κακοὺς τοῖς ἀγαθοῖς ἔχειν, ἐμβαλεῖν τοῦτον τὸν λόγον, ἀλλ' ἀποπειρώμενον, εἴ τις ἄρα ἔσται ἀνὴρ, ὅστις ἐθελήσει ἐπι-

δεῖξαι ἑαυτὸν, ὡς διανοεῖται, μηδὲν καλὸν κἀγαθὸν ποιῶν, ἃ ἂν ἄλλοι τῇ ἀρετῇ καταπράξωσι, τούτων ἰσομοιρεῖν. 6. Ἐγὼ δὲ, ἔφη, εἰμὶ μὲν οὔτε ποσὶ ταχὺς, οὔτε χερσὶν ἰσχυρός· γιγνώσκω δὲ, ὅτι, ἐξ ὧν ἂν ἐγὼ τῷ ἐμῷ σώματι ποιήσω, οὐκ ἂν κριθείην οὔτε πρῶτος, οὔτε δεύτερος, οἶομαι δὲ οὐδὲ χιλιοστὸς, ἴσως δὲ οὐδὲ μυριοστός. Ἀλλὰ καὶ ἐκεῖνο σαφῶς ἐπίσταμαι, ὅτι, εἰ μὲν οἱ δυνατοὶ ἐρρωμένως ἀντιλήψονται τῶν πραγμάτων, ἀγαθοῦ τινός μοι μετέσται τοσοῦτον μέρος, ὅσον ἂν δίκαιον ᾖ· εἰ δ' οἱ μὲν κακοὶ μηδὲν ποιήσουσιν, οἱ δ' ἀγαθοὶ καὶ δυνατοὶ ἀθύμως ἕξουσι, δέδοικα, ἔφη, μὴ ἄλλου τινὸς μᾶλλον, ἢ τοῦ ἀγαθοῦ, μεθέξω πλέον μέρος, ἢ ἐγὼ βούλομαι. 7. Χρυσάντας μὲν δὴ οὕτως εἶπεν. Ἀνέστη δ' ἐπ' αὐτῷ Φεραύλας, Πέρσης, τῶν δημοτῶν, Κύρῳ πως ἔτι οἰκοθεν συνήθης καὶ ἀριστὸς ἀνὴρ, καὶ τὸ σῶμα οὐκ ἀφυὴς, καὶ τὴν ψυχὴν οὐκ ἀγενεῖ ἀνδρὶ ἐοικὼς, καὶ ἔλεξε τοιάδε·

8. Ἐγὼ δὲ, ἔφη, ὦ Κῦρε, καὶ πάντες οἱ παρόντες Πέρσαι, ἡγοῦμαι μὲν, ἡμᾶς ἐκ τοῦ ἴσου νῦν ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. Ὁρῶ γὰρ ὁμοίᾳ μὲν τροφῇ πάντας ἡμᾶς τὸ σῶμα ἀσκοῦντας, ὁμοίας δὲ συνουσίας πάντας ἀξιουμένους, τὰ δὲ αὐτὰ καλὰ πᾶσιν ἡμῖν προκείμενα. Τό τε γὰρ τοῖς ἄρχουσι πείθεσθαι, πᾶσιν ἐν κοινῷ κεῖται· καὶ ὃς ἂν φανῇ τοῦτο ἀπροφασίστως ποιῶν, τοῦτον ὁρῶ παρὰ Κύρου τιμῆς τυγχάνοντα· τό τ' αὖ πρὸς τοὺς πολεμίους ἄλκιμον εἶναι, οὐ τῷ μὲν προσῆκον, τῷ

δ' οὔ, ἀλλὰ πᾶσι καὶ τοῦτο προκέκριται κάλλιστον εἶναι. 9. Νῦν δὲ, ἔφη, ἡμῖν καὶ δέδεικται μάχη, ἣν ἐγὼ ὁρῶ πάντας ἀνθρώπους φύσει ἐπισταμένους, ὥσπερ γε καὶ τἄλλα ζῶα ἐπίσταταί τινα μάχην ἕκαστα, οὐδὲ παρ' ἑνὸς ἄλλου μαθόντα, ἢ παρὰ τῆς φύσεως· οἷον, ὁ βοῦς, κέρατι παίειν· ὁ ἵππος, ὁπλῇ· ὁ κύων, στόματι· ὁ κάπρος, ὀδόντι. Καὶ φυλάττεσθαι δὲ, ἔφη, ἐπίστανται ταῦτα πάντα, ἀφ' ὧν μάλιστα δεῖ· καὶ ταῦτα, εἰς οὐδενὸς διδασκάλου πώποτε φοιτήσαντα. 10. Καὶ ἐγὼ, ἔφη, ἐκ παιδίου εὐθὺς μὲν προβάλλεσθαι ἠπιστάμην πρὸ τούτου, ὅτῳ ᾤμην πληγήσεσθαι· καὶ εἰ μὴ ἄλλο μηδὲν ἔχοιμι, τῷ χεῖρε προέχων, ἐνεπόδιζον, ὅ τι ἠδυνάμην, τὸν παίοντα· καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλοίμην. Μάχαιράν γε μὴν εὐθὺς παιδίον ὢν ἥρπαζον, ὅπου ἴδοιμι, οὐδὲ παρ' ἑνὸς οὐδὲ τοῦτο μαθών, ὅπως δέοι λαμβάνειν, ἄλλου, ἢ παρὰ τῆς φύσεως, ὡς ἐγὼ φημι. Ἐποίουν γοῦν καὶ τοῦτο κωλυόμενος, οὐ διδασκόμενος· ὥσπερ καὶ ἄλλα ἐστὶν, ἃ, εἰργόμενος καὶ ὑπὸ πατρὸς καὶ ὑπὸ μητρὸς, ὑπὸ τῆς φύσεως πράττειν ἠναγκαζόμην. Καὶ, ναὶ μὰ Δία, ἔπαιόν γε τῇ μαχαίρᾳ πᾶν, ὅ τι δυναίμην λαυθάνειν. Οὐ γὰρ μόνον φύσει ἦν, ὥσπερ τὸ βαδίζειν καὶ τρέχειν, ἀλλὰ καὶ ἡδὺ, πρὸς τῷ πεφυκέναι τοῦτο ποιεῖν, ἐδόκει μοι εἶναι. 11. Ἐπεὶ οὖν, ἔφη, αὕτη ἡ μάχη καταλείπεται, ἐν ᾗ προθυμίας μᾶλλον, ἢ τέχνης ἔργον ἐστὶ, πῶς ἡμῖν οὐχ ἡδέως πρὸς

τούσδε τοὺς ὁμοτίμους ἀγωνιστέον; ὅπου γε τὰ μὲν ἆθλα τῆς ἀρετῆς ἴσα πρόκειται, παραβαλλόμενοι δὲ οὐκ ἴσα εἰς τὸν κίνδυνον ἴμεν, ἀλλ' οὗτοι μὲν ἔντιμον βίον, ὃς μόνος περ ἥδιστος βίων, ἡμεῖς δὲ ἐπίπονον μὲν, ἄτιμον δὲ, ὅσπερ, οἶμαι, χαλεπώτατος. 12. Μάλιστα δὲ, ὦ ἄνδρες, τοῦτό με εὐθύμως εἰς τὸν ἀγῶνα τὸν πρὸς τούσδε παρορμᾷ, ὅτι Κῦρος ἔσται ὁ κρίνων, ὃς οὐ φθόνῳ κρίνει· ἀλλὰ σὺν θεῶν ὅρκῳ λέγω, ἢ μὴ ἐμοὶ δοκεῖν Κῦρον, οὕστινας ἂν ὁρᾷ ἀγαθοὺς, φιλεῖν οὐδὲν ἧττον ἑαυτοῦ· τούτοις γοῦν ὁρῶ αὐτὸν, ὅ τι ἂν ἔχῃ, ἥδιον διδόντα μᾶλλον, ἢ αὐτὸν ἔχοντα. 13. Καίτοι, ἔφη, οἶδα, ὅτι οὗτοι μέγα φρονοῦσιν, ὅτι πεπαίδευνται δὴ καὶ πρὸς λιμὸν καὶ πρὸς δίψος καὶ πρὸς ῥῖγος, καρτερεῖν· κακῶς εἰδότες, ὅτε καὶ ταῦτα ἡμεῖς ὑπὸ κρείττονος διδασκάλου πεπαιδεύμεθα, ἢ οὗτοι. Οὐ γάρ ἐστιν διδάσκαλος τούτων οὐδεὶς κρειττων τῆς ἀνάγκης, ἣ ἡμᾶς καὶ λίαν ἀκριβοῦν ταῦτα ἐδίδαξε. 14. Καὶ πονεῖν οὗτοι μὲν δὴ τὰ ὅπλα φέροντες ἐμελέτων, ἅ ἐστιν ἅπασιν ἀνθρώποις εὑρημένα ὡς ἂν εὐφορώτατα εἴη· ἡμεῖς δέ γε, ἔφη, ἐν μεγάλοις φορτίοις καὶ βαδίζειν καὶ τρέχειν ἠναγκάζόμεθα· ὥστε νῦν ἐμοὶ δοκεῖν τὸ τῶν ὅπλων φόρημα πτεροῖς μᾶλλον ἐοικέναι, ἢ φορτίῳ. 15. Ὡς οὖν ἐμοῦ γε καὶ ἀγωνιουμένου, καὶ, ὁποῖός τις ἂν ὦ, κατὰ τὴν ἀξίαν τιμᾶσθαι ἀξιώσοντος, οὕτως, ἔφη, ὦ Κῦρε, γίγνωσκε. Καὶ ὑμῖν δὲ, ὦ ἄνδρες δημόται, παραινῶ, ὁρμᾶσθαι εἰς ἔριν ταύτης τῆς μάχης πρὸς τοὺς πεπαιδευμένους τούσδε·

νῦν γὰρ, ἔφη, οἱ ἄνδρες εἰλημμένοι εἰσὶν ἐν δημοτικῇ ἀγωνίᾳ. 16. Φεραύλας μὲν δὴ οὕτως εἶπεν· ἀνίσταντο δὲ καὶ ἄλλοι πολλοὶ ἑκατέροις συναγορεύοντες. Ἔδοξε δ' οὖν, κατὰ τὴν ἀξίαν ἕκαστον τιμᾶσθαι, Κῦρον δὲ τὸν κρίνοντα εἶναι. Ταῦτα μὲν δὴ οὕτω προὐκεχωρήκει.

17. Ἐκάλεσε δ' ἐπὶ δεῖπνον ὁ Κῦρος καὶ ὅλην ποτὲ τάξιν σὺν τῷ ταξιάρχῳ, ἰδὼν αὐτὸν τοὺς μὲν ἡμίσεις τῶν ἀνδρῶν τῆς τάξεως ἀντιτάξαντα ἑκατέρωθεν εἰς ἐμβολὴν, θώρακας μὲν ἀμφοτέρους ἔχοντας καὶ γέρρα ἐν ταῖς ἀριστεραῖς· εἰς δὲ τὰς δεξιὰς νάρθηκας παχεῖς τοῖς ἡμίσεσιν ἔδωκε, τοῖς δ' ἑτέροις εἶπεν, ὅτι βάλλειν δεήσοι ἀναιρουμένους ταῖς βώλοις. 18. Ἐπεὶ δὲ παρεσκευασμένοι οὕτως ἔστησαν, ἐσήμαινεν αὐτοῖς μάχεσθαι. Ἐνταῦθα δὴ οἱ μὲν ἔβαλλον ταῖς βώλοις, καὶ ἔστιν οἳ ἐτύγχανον καὶ θωράκων καὶ γέρρων, οἱ δὲ καὶ μηροῦ καὶ κνημῖδος. Ἐπεὶ δὲ ὁμοῦ ἐγένοντο, οἱ τοὺς νάρθηκας ἔχοντες ἔπαιον τῶν μὲν μηροὺς, τῶν δὲ χεῖρας, τῶν δὲ κνήμας· τῶν δὲ ἐπικυπτόντων ἐπὶ βώλους ἔπαιον τοὺς τραχήλους καὶ τὰ νῶτα. Τέλος δὲ τρεψάμενοι, ἐδίωκον οἱ ναρθηκοφόροι, παίοντες σὺν πολλῷ γέλωτι καὶ παιδιᾷ. Ἐν μέρει γε μὴν οἱ ἕτεροι πάλιν λαβόντες τοὺς νάρθηκας, ταὐτὰ ἐποίησαν τοὺς ταῖς βώλοις βάλλοντας. 19. Ταῦτα δ' ἀγασθεὶς ὁ Κῦρος, τοῦ μὲν ταξιάρχου τὴν ἐπίνοιαν, τῶν δὲ τὴν πειθὼ, ὅτι ἅμα μὲν ἐγυμνάζοντο, ἅμα δὲ εὐθυμοῦντο, ἅμα δὲ ἐνίκων οἱ εἰκασθέντες τῇ τῶν Περσῶν ὁπλίσει, τούτοις δὴ ἡσθεὶς, ἐκάλεσέ τε

ἐπὶ δεῖπνον αὐτοὺς, καὶ ἐν τῇ σκηνῇ ἰδών τινας αὐτῶν ἐπιδεδεμένους, τὸν μὲν τινα ἀντικνήμιον, τὸν δὲ χεῖρα, ἠρώτα τί πάθοιεν. Οἱ δ' ἔλεγον, ὅτι πληγεῖεν ταῖς βώλοις. 2η. Ὁ δὲ πάλιν ἐπηρώτα, πότερον ἐπεὶ ὁμοῦ ἐγένοντο, ἢ ὅτε πρόσω ἦσαν. Οἱ δ' ἔλεγον, ὅτε πρόσω ἦσαν. Ἐπεὶ δὲ ὁμοῦ ἐγένοντο, παιδιὰν ἔφασαν εἶναι καλλίστην οἱ ναρθηκοφόροι· οἱ δ' αὖ συγκεκομμένοι τοῖς νάρθηξιν ἀνέκραγον, ὅτι οὐ σφίσι γε δοκοίη παιδιὰ εἶναι τὸ ὁμόθεν παίεσθαι· ἅμα δὲ ἐπεδείκνυσαν τῶν ναρθηκοφόρων τὰς πληγὰς καὶ ἐν χερσὶ καὶ ἐν τραχήλοις, ἔνιοι δὲ καὶ ἐν προσώποις. Καὶ τότε μὲν, ὥσπερ εἰκὸς, ἐγέλων ἐπ' ἀλλήλοις. Τῇ δ' ὑστεραίᾳ μεστὸν ἦν τὸ πεδίον πῶν τῶν τούτους μιμουμένων· καὶ ἀεὶ, ὁπότε μὴ ἄλλο τι σπουδαιότερον πράττοιεν, ταύτῃ τῇ παιδιᾷ ἐχρῶντο.

21. Ἄλλον δέ ποτε ἰδὼν ταξίαρχον, ἄγοντα τὴν τάξιν ἀπὸ τοῦ ποταμοῦ ἐπὶ τὸ ἀριστερὸν ἐφ' ἑνὸς, καὶ ὁπότε δοκοίη αὐτῷ καιρὸς εἶναι, παραγγέλλοντα τὸν ὕστερον λόχον παράγειν, καὶ τὸν τρίτον, καὶ τὸν τέταρτον, εἰς μέτωπον· ἐπεὶ δὲ ἐν μετώπῳ οἱ λοχαγοὶ ἐγένοντο, παρηγγύησεν εἰς δύο ἄγειν τὸν λόχον· ἐκ τούτου δὴ παρῆγον οἱ δεκάδαρχοι εἰς μέτωπον· ὁπότε δὲ αὖ ἐδόκει αὐτῷ καιρὸς εἶναι, παρήγγειλεν εἰς τέτταρας ἄγειν τὸν λόχον· οὕτω δὴ οἱ πεμπάδαρχοι αὖ παρῆγον, ὡς εἰς τέσσαρας ἴοι ὁ λόχος· ἐπεὶ δὲ ἐπὶ τῇ θύρᾳ τῆς σκηνῆς ἐγένοντο, παραγγείλας αὖ εἰς ἕνα ἰέναι, οὕτως εἰσῆγε τὸν πρῶ-

τον λόχον, καὶ τὸν δεύτερον τούτου κατ' οὐρὰν ἕπεσθαι ἐκέλευεν καὶ τὸν τρίτον καὶ τὸν τέταρτον ὡσαύτως παραγγείλας, ἦγεῖτο εἴσω· οὕτω δὴ εἰσαγαγὼν κατέκλινεν ἐπὶ τὸ δεῖπνον, ὥσπερ εἰσπορευόντο· τοῦτον ὁ Κῦρος ἀγασθεὶς τῆς τε πρᾳότητος τῆς διδασκαλίας, καὶ τῆς ἐπιμελείας, ἐκάλεσεν αὖ καὶ ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον σὺν τῷ ταξιάρχῳ.

22. Παρὼν δέ τις ἐπὶ τῷ δείπνῳ κεκλημένος ἄλλος ταξίαρχος, Τὴν δ' ἐμὴν, ἔφη, ὦ Κῦρε, τάξιν οὐ καλεῖς εἰς τὴν σκηνήν; καὶ μὴν ὅταν γε παρῇ ἐπὶ τὸ δεῖπνον, ταῦτα πάντα ποιεῖ· καὶ ὅταν τέλος ἡ σκηνὴ ἔχῃ, ἐξάγει μὲν ὁ οὐραγός, ἔφη, τοῦ τελευταίου λόχου τὸν λόχον, ὑστάτους ἔχων τοὺς πρώτους εἰς μάχην τεταγμένους· ἔπειτα δὲ ὁ οὐραγὸς ὁ δεύτερος τοὺς τοῦ ἑτέρου λόχου ἐπὶ τούτοις, καὶ ὁ τρίτος καὶ ὁ τέταρτος ὡσαύτως· ὅπως, ἔφη, καὶ ὅταν δέῃ ἀπάγειν ἀπὸ πολεμίων, ἐπίστωνται, ὡς δεῖ ἀπιέναι. Ἐπειδὰν δέ, ἔφη, καταστῶμεν εἰς τὸν δρόμον, ἔνθα περιπατοῦμεν, ὅταν μὲν πρὸς ἕω ἴωμεν, ἐγὼ ἡγοῦμαι, καὶ ὁ πρῶτος λόχος, πρῶτος, καὶ ὁ δεύτερος ὡς δεῖ, καὶ ὁ τρίτος καὶ ὁ τέταρτος, καὶ αἱ τῶν λόχων δικάδες καὶ πεμπάδες, ἕως ἂν παραγγέλλω ἐγώ· ὅταν δ', ἔφη, πρὸς ἑσπέραν ἴωμεν, ὁ οὐραγός τε καὶ οἱ τελευταῖοι πρῶτοι ἀφηγοῦνται. Ἐμοὶ μέντοι ὅμως πείθονται ὑστέρῳ ἰόντι, ἵνα ἐθίζωνται καὶ ἕπεσθαι, καὶ ἀφηγεῖσθαι, ὁμοίως πειθόμενοι. 23. Καὶ ὁ Κῦρος ἔφη· Ἦ καὶ ἀεὶ τοῦτο ποιεῖτε; Ὁποσάκις γε, ἔφη, καὶ δειπνοποιούμεθα, νὴ Δία. Καλῶ

τοίνυν, ἔφη, ὑμᾶς, ἅμα μὲν, ὅτι τὰς τάξεις μελετᾶτε καὶ προσιόντες καὶ ἀπιόντες, ἅμα δὲ, ὅτι καὶ ἡμέρας καὶ νυκτὸς, ἅμα δὲ, ὅτι τά τε σώματα περιπατοῦντες ἀσκεῖτε, καὶ τὰς ψυχὰς ὠφελεῖτε διδάσκοντες. Ἐπεὶ οὖν πάντα διπλᾶ ποιεῖτε, διπλῆν ὑμῖν δίκαιον καὶ τὴν εὐωχίαν παρέχειν. 24. Μὰ Δί', ἔφη ὁ ταξίαρχος, μήτοιγε ἐν μιᾷ ἡμέρᾳ· εἰ μὴ καὶ διπλᾶς ἡμῖν τὰς γαστέρας παρέξεις. Καὶ τότε μὲν δὴ οὕτω τὸ τέλος τῆς σκηνῆς ἐποιήσαντο. Τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος ἐκάλεσε ταύτην τὴν τάξιν, ὥσπερ ἔφη, καὶ τῇ ἄλλῃ. Αἰσθόμενοι δὲ ταῦτα, καὶ οἱ ἄλλοι τὸ λοιπὸν πάντες τούτους ἐμιμοῦντο.

CAP. IV.

1. Ἐξέτασιν δέ ποτε τοῦ Κύρου πάντων ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν, ἦλθε παρὰ Κυαξάρους ἄγγελος, λέγων, ὅτι Ἰνδῶν πρεσβεία· κελεύει οὖν σε ἐλθεῖν ὡς τάχιστα. Φέρω δέ σοι, ἔφη ὁ ἄγγελος, καὶ στολὴν τῶν καλλίστων παρὰ Κυαξάρους· βούλεται γάρ σε ὡς εὐκοσμότατα καὶ λαμπρότατα προσάγειν, ὡς ὀψομένων τῶν Ἰνδῶν, ὅπως ἂν προσίῃς. 2. Ἀκούσας ταῦτα ὁ Κῦρος παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ εἰς μέτωπον στῆναι, ἑφ' ἑνὸς ἄγοντα τὴν τάξιν, ἐν δεξιᾷ ἔχοντα ἑαυτόν· καὶ τῷ δευτέρῳ ἐκέλευσε ταὐτὸ τοῦτο παραγγεῖλαι, καὶ διὰ πάντων οὕτω παραδιδόναι ἐκέλευσεν. Οἱ δὲ πειθόμενοι ταχὺ μὲν παρήγγελλον, ταχὺ δὲ τὰ παραγγελλόμενα ἐποίουν· ἐν ὀλίγῳ δὲ

χρόνῳ ἐγένετο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων, (τοσοῦτοι γὰρ ἦσαν οἱ ταξίαρχοι) τὸ δὲ βάθος ἐφ' ἑκατόν. 3. Ἐπεὶ δὲ κατέστησαν, ἔπεσθαι ἐκέλευσεν, ὡς ἂν αὐτὸς ἡγῆται· καὶ εὐθὺς προχάζων ἡγεῖτο. Ἐπεὶ δὲ κατενόησε τὴν ἀγυιὰν, τὴν πρὸς τὸ βασίλειον φέρουσαν, στενωτέραν οὖσαν, ἢ ὡς ἐπὶ μετώπου πάντας διιέναι, παραγγείλας τὴν πρώτην χιλιοστὺν ἕπεσθαι κατὰ χώραν, τὴν δὲ δευτέραν κατ' οὐρὰν ταύτης ἀκολουθεῖν, καὶ διαπαντὸς οὕτως, αὐτὸς μὲν ἡγεῖτο οὐκ ἀναπαύμενος, αἱ δὲ ἄλλαι χιλιοστύες κατ' οὐρὰν ἑκάστη τῆς ἔμπροσθεν εἵποντο. 4. Ἔπεμψε δὲ καὶ ὑπηρέτας δύο ἐπὶ τὸ στόμα τῆς ἀγυιᾶς, ὅπως, εἴ τις ἀγνοοίη, σημαίνοιεν τὸ δέον ποιεῖν. Ὡς δὲ ἀφίκοντο ἐπὶ τὰς Κυαξάρους θύρας, παρήγγειλε τῷ πρώτῳ ταξιάρχῳ τὴν τάξιν εἰς δώδεκα τάττειν βάθος, τοὺς δὲ δωδεκάρχας ἐν μετώπῳ καθιστάναι περὶ τὸ βασίλειον· καὶ τῷ δευτέρῳ ταὐτὰ ἐκέλευσε παραγγεῖλαι, καὶ διαπαντὸς οὕτως. 5. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν· ὁ δ' εἰσῆει πρὸς τὸν Κυαξάρην ἐν τῇ Περσικῇ στολῇ, οὐδέν τι ὑβρισμένῃ. Ἰδὼν δὲ αὐτὸν ὁ Κυαξάρης, τῷ μὲν τάχει ἥσθη, τῇ δὲ φαυλότητι τῆς στολῆς ἠχθέσθη, καὶ εἶπε· Τί τοῦτο, ὦ Κῦρε; οἷον πεποίηκας, οὕτω φανεὶς τοῖς Ἰνδοῖς; Ἐγὼ δ', ἔφη, ἐβουλόμην σε ὡς λαμπρότατον φανῆναι· καὶ γὰρ ἐμοὶ κόσμος ἂν ἦν τοῦτο, ἐμῆς ὄντα σὲ ἀδελφῆς υἱὸν, ὅτι μεγαλοπρεπέστατον φαίνεσθαι. 6. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε· Καὶ ποτέρως ἂν, ὦ Κυαξάρη, μᾶλλόν σε κόσμουν, εἴπερ πορφυρίδα

ἐνδὺς, καὶ ψέλλια λαβὼν, καὶ στρεπτὸν περιθέμενος, σχολῇ σαλεύων ὑπήκουόν σοι, ἢ νῦν, ὅτε σὺν τοσαύτῃ καὶ τοιαύτῃ δυνάμει οὕτως ὀξέως σοι ὑπακούω, διὰ τὸ σὲ τιμᾷν, ἱδρῶτι καὶ σπουδῇ καὶ αὐτὸς κεκοσμημένος, καὶ σὲ κοσμῶν, καὶ τοὺς ἄλλους ἐπιδεικνὺς σοι οὕτω πειθομένους; Κῦρος μὲν οὖν ταῦτα εἶπεν· ὁ δὲ Κυαξάρης, νομίσας αὐτὸν ὀρθῶς λέγειν, ἐκέλευσεν ἄγειν τοὺς Ἰνδούς. 7. Οἱ δ' Ἰνδοὶ εἰσελθόντες ἔλεξαν, ὅτι πέμψειε σφᾶς ὁ Ἰνδῶν βασιλεὺς, καὶ κελεύσειεν ἐρωτᾶν, ἐξ ὅτου ὁ πόλεμος εἴη Μήδοις τε καὶ τῷ Ἀσσυρίῳ· ἐπεὶ δὲ σοῦ ἀκούσαιμεν, ἐκέλευσεν αὖ ἐλθόντας πρὸς τὸν Ἀσσύριον καὶ ἐκείνου τὰ αὐτὰ ταῦτα πυθέσθαι· τέλος δ' αὖ ἀμφοτέροις ὑμῖν εἰπεῖν, ὅτι ὁ Ἰνδῶν βασιλεὺς, τὸ δίκαιον σκεψάμενος, φαίη μετὰ τοῦ ἠδικημένου ἔσεσθαι. 8. Πρὸς ταῦτα ὁ Κυαξάρης εἶπεν· Ἐμοῦ μὲν τοίνυν ἀκούετε, ὅτι οὐκ ἀδικοῦμεν τὸν Ἀσσύριον οὐδέν· ἐκείνου δ', εἰ δεῖσθε, ἐλθόντες νῦν πυνθάνεσθε, ὅ τι λέγει. Παρὼν δὲ ὁ Κῦρος ἤρετο τὸν Κυαξάρην· Ἦ καὶ ἐγὼ, ἔφη, εἶπω, ὅ τι γιγνώσκω; Καὶ ὁ Κυαξάρης ἐκέλευσεν. Ὑμεῖς τοίνυν, ἔφη, ἀπαγγείλατε τῷ Ἰνδῶν βασιλεῖ τάδε, (εἰ μή τι ἄλλο δοκεῖ Κυαξάρει) ὅτι φαμὲν ἡμεῖς, εἴ τι φησὶν ὑφ' ἡμῶν ἀδικεῖσθαι ὁ Ἀσσύριος, αἱρεῖσθαι αὐτὸν τὸν Ἰνδῶν βασιλέα δικαστήν. Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες ᾤχοντο.

9. Ἐπειδὴ δὲ οἱ Ἰνδοὶ ἐξῆλθον, ὁ Κῦρος πρὸς τὸν Κυαξάρην ἤρχετο λόγου τοιοῦδε·

Ὦ Κυαξάρη, ἐγὼ μὲν ἦλθον, οὐδέν τι πολλὰ ἔχων ἴδια χρήματα οἴκοθεν· ὁπόσα δ' ἦν, τούτων πάνυ ὀλίγα λοιπὰ ἔχω· ἀνήλωκα δέ, ἔφη, εἰς τοὺς στρατιώτας· καὶ τοῦτο ἴσως, ἔφη, θαυμάζεις σὺ, πῶς ἀνήλωκα ἐγὼ, σοῦ αὐτοὺς τρέφοντος· εὖ δ' ἴσθι, ἔφη, ὅτι οὐδὲν ἄλλο ποιῶν, ἢ τιμῶν καὶ χαριζόμενος, ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν. 10. Δοκεῖ γάρ μοι, ἔφη, πάντας μὲν, οὓς ἄν τις βούληται ἀγαθοὺς συνεργοὺς ποιεῖσθαι ὁτιουτινοσοῦν πράγματος, ἥδιον εἶναι, εὖ τε λέγοντα καὶ εὖ ποιοῦντα παρορμᾶν μᾶλλον, ἢ λυποῦντα καὶ ἀναγκάζοντα· οὓς δὲ δὴ τῶν εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βούλοιτο συνεργοὺς προθύμους, τούτους παντάπασιν ἔμοιγε δοκεῖ ἀγαθοῖς θηρατέον εἶναι καὶ λόγοις καὶ ἔργοις. Φίλους γὰρ, οὐκ ἐχθροὺς, δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἕσεσθαι, καὶ μήτε ἐπὶ τοῖς ἀγαθοῖς τοῦ ἄρχοντος φθονήσοντας, μήτε ἐν τοῖς κακοῖς προδώσοντας. 11. Ταῦτ' οὖν ἐγὼ οὕτω γιγνώσκων, χρημάτων δοκῶ προσδεῖσθαι. Πρὸς μὲν οὖν σὲ πάντα ὁρᾷν, ὃν αἰσθάνομαι δαπανῶντα πολλὰ, ἄτοπόν μοι δοκεῖ εἶναι· σκοπεῖν δ' ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμὲ, ὅπως σὲ μὴ ἐπιλείψει χρήματα. Ἢν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ', ὅτι καὶ ἐμοὶ ἂν εἴη λαμβάνειν, ὁπότε δεοίμην, ἄλλως τε καὶ εἰ εἰς τοιοῦτόν τι λαμβάνοιμι, ὃ μέλλει καὶ σοὶ δαπανηθὲν βέλτιον εἶναι. 12. Ἔναγχος οὖν ποτέ σου μέμνημαι ἀκούσας, ὡς ὁ Ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι ἀκούει, τοὺς πολεμίους προσ-

ιόντας ἐφ' ἡμᾶς· καὶ οὔτε στράτευμα πέμποι, οὔτε τὸν δασμὸν, ὃν ἔδει, ἀπάγοι. Ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ Κῦρε, ἐκεῖνος· ὥστε ἐγώ γε ἀπορῶ, πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι ἀνάγκην αὐτῷ προσθεῖναι, ἢ λυσιτελεῖ ἐᾶσαι ἐν τῷ παρόντι, μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις προσθώμεθα. 13. Καὶ ὁ Κῦρος ἐπήρετο· Αἱ δ' οἰκήσεις αὐτῷ πότερον ἐν ἐχυροῖς χωρίοις εἰσὶν, ἢ καί που ἐν εὐεφόδοις; Καὶ ὁ Κυαξάρης εἶπεν· Αἱ μὲν οἰκήσεις οὐ πάνυ ἐν ἐχυροῖς· ἐγὼ γὰρ τοῦτου οὐκ ἠμέλουν· ὄρη μέντοι ἐστὶν, ἔνθα δύναιτ' ἂν ἀπελθὼν ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ εἶναι, τοῦ μηδ' αὐτός γε ὑποχείριος γενέσθαι, μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη προσκαθήμενος, ὥςπερ ὁ ἐμὸς πατὴρ ποτε ἐποίησεν. 14. Ἐκ τούτου δὴ ὁ Κῦρος λέγει τάδε· Ἀλλ' εἰ θέλεις, ἔφη, ἐμὲ πέμψαι, ἱππέας μοι προσθεῖς, ὁπόσοι δοκοῦσιν ἱκανοὶ εἶναι, οἶμαι ἂν σὺν τοῖς θεοῖς ποιῆσαι αὐτὸν καὶ τὸ στράτευμα πέμψαι, καὶ ἀποδοῦναι τὸν δασμόν σοι· ἔτι δὲ ἐλπίζω, καὶ φίλον αὐτὸν μᾶλλον ἡμῖν γενήσεσθαι, ἢ νῦν ἐστι. 15. Καὶ ὁ Κυαξάρης εἶπε· Καὶ ἐγὼ ἐλπίζω, ἐκείνους ἐλθεῖν ἂν πρὸς σε μᾶλλον, ἢ πρὸς ἡμᾶς· ἀκούω γὰρ καὶ συνθηρευτάς τινας τῶν παίδων σοι γενέσθαι αὐτοῦ· ὥστε ἴσως ἂν καὶ πάλιν ἔλθοιεν πρὸς σέ· ὑποχειρίων δὲ γενομένων τινῶν αὐτῶν, πάντα πραχθείη ἂν, ἢ ἡμεῖς βουλόμεθα. Οὐκοῦν σοι δοκεῖ, ἔφη ὁ Κῦρος, συμφορον εἶναι, τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας; Μᾶλ

λον γὰρ ἂν οὖν, ἔφη ὁ Κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς χεῖρας, καὶ, εἴ τις ὁρμῷτο ἐπ' αὐτούς, ἀπαρασκευαστότεροι ἂν λαμβάνοιντο. 16. Ἄκουε τοίνυν, ἔφη ὁ Κῦρος, ἢν τί σοι δόξω λέγειν. Ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ' ἐμοῦ Πέρσαις τεθήρακα ἀμφὶ τὰ ὅρια τῆς τε σῆς χώρας καὶ τῆς τῶν Ἀρμενίων, καὶ ἱππέας δέ τινας ἤδη προσλαβὼν τῶν ἐνθένδε ἑταίρων ἀφικόμην. Τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ Κυαξάρης, οὐκ ἂν ὑποπτεύοιτο· εἰ δὲ πολὺ πλείων ἡ δύναμις φαίνοιτο, ἧς εἰώθεις ἔχων θηρᾶν, τοῦτο ἤδη ὕποπτον ἂν γίγνοιτο. 17. Ἀλλ' ἔστιν, ἔφη ὁ Κῦρος, καὶ πρόφασιν κατασκευάσαι καὶ ἐνθάδε οὐκ ἀπίθανον, καὶ ἢν τις ἐκεῖσε ἐξαγγείλῃ δή, ὡς ἐγὼ βουλοίμην μεγάλην θήραν ποιῆσαι· καὶ ἱππέας, ἔφη, αἰτοίην ἂν σε ἐκ τοῦ φανεροῦ. Κάλλιστα λέγεις, ἔφη ὁ Κυαξάρης· ἐγὼ δέ σοι οὐκ ἐθελήσω διδόναι πλὴν μετρίους τινάς, ὡς βουλόμενος πρὸς τὰ φρούρια ἐλθεῖν τὰ πρὸς τῇ Ἀσσυρίᾳ. Καὶ γὰρ τῷ ὄντι, ἔφη, βούλομαι ἐλθὼν κατασκευάσαι αὐτὰ ὡς ἐχυρώτατα. Ὁπότε δὲ σὺ προεληλυθοίης σὺν ᾗ ἔχεις δυνάμει, καὶ θηρῴης καὶ δὴ δύο ἡμέρας, πέμψαιμι ἄν σοι ἱκανοὺς ἱππέας καὶ πεζοὺς τῶν παρ' ἐμοὶ ἠθροισμένων, οὓς σὺ λαβών, εὐθὺς ἂν ἴοις· καὶ αὐτὸς δ' ἂν ἔχων τὴν ἄλλην δύναμιν πειρῴμην μὴ πρόσω ὑμῶν εἶναι, ἵνα, εἴπου καιρὸς εἴη, ἐπιφανείην.

18. Οὕτω δὴ ὁ μὲν Κυαξάρης εὐθέως πρὸς τὰ φρούρια ἠθροιζεν ἱππέας τε καὶ πεζούς, καὶ ἅμαξας δὲ σίτου προέπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδόν. Ὁ δὲ

Κῦρος ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ ἅμα πέμπων ἐπὶ τὸν Κυαξάρην ἤτει τῶν νεωτέρων ἱππέων. Ὁ δέ, πάνυ πολλῶν βουλομένων ἕπεσθαι, οὐ πολλοὺς ἔδωκεν αὐτῷ. Προεληλυθότος δ' ἤδη τοῦ Κυαξάρους συν δυνάμει καὶ πεζικῇ καὶ ἱππικῇ τὴν πρὸς τὰ φρούρια ὁδὸν, γίγνεται τῷ Κύρῳ τὰ ἱερὰ, ἐπὶ τὸν Ἀρμένιον ἰέναι, καλά· καὶ οὕτως ἐξάγει δή, ὡς εἰς θήραν πεφεσκευασμένος. 19. Πορευομένῳ δὲ αὐτῷ εὐθὺς ἐν τῷ πρώτῳ χωρίῳ ὑπανίσταται λαγώς· ἀετὸς δ', ἐπιπτάμενος αἴσιος, ὡς κατεῖδε τὸν λαγῶ φεύγοντα, ἐπιφερόμενος ἔπαισέ τε αὐτὸν, καὶ συναρπάσας ἐξῆρε, καὶ ἀπενεγκὼν ἐπὶ λόφον τινὰ οὐ πρόσω, ἐχρῆτο τῇ ἄγρᾳ, ὅ τι ἤθελεν. Ἰδὼν οὖν ὁ Κῦρος τὸ σημεῖον, ἥσθη τε καὶ προσεκύνησε Δία βασιλέα, καὶ εἶπε πρὸς τοὺς παρόντας· Ἡ μὲν θήρα καλὴ ἔσται, ὦ ἄνδρες, ἢν θεὸς θέλῃ. 20. Ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένοντο, εὐθὺς, ὥσπερ εἰώθει, ἐθήρα· καὶ τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ τῶν ἱππέων ὤγμευον αὐτῷ, ὡς ἐπιόντες τὰ θηρία ἐξανιστᾶεν· οἱ δὲ ἄριστοι καὶ πεζοὶ καὶ ἱππεῖς διέστησαν, καὶ τὰ ἀνιστάμενα ὑπεδέχοντο καὶ ἐδίωκον, καὶ ἦρον πολλοὺς καὶ σῦς, καὶ ἐλάφους, καὶ δορκάδας, καὶ ὄνους ἀγρίους· πολλοὶ γὰρ ἐν τούτοις τοῖς τόποις ὄνοι καὶ νῦν ἔτι γίγνονται. 21. Ἐπεὶ δ' ἔληξαν τῆς θήρας, προσμίξας πρὸς τὰ ὅρια τῶν Ἀρμενίων ἐδειπνοποιήσατο· καὶ τῇ ὑστεραίᾳ αὖθις ἐθήρα, προελθὼν πρὸς τὰ ὄρη, ὧν ὠρέγετο. Ἐπεὶ δ' αὖ ἔληξεν, ἐδειπνοποιεῖτο. Τὸ δὲ παρὰ Κυαξάρους

στράτευμα ὡς ἤσθετο προϊόν, ὑποπέμψας πρὸς αὐτοὺς, εἶπεν, ἀπέχοντας αὐτοῦ δειπνοποιεῖσθαι ὡς δύο παρασάγγας· τοῦτο προϊδὼν ὡς συμβαλεῖται πρὸς τὸ λανθάνειν· ἐπεὶ δὲ δειπνήσειεν, εἶπε τῷ ἄρχοντι αὐτῶν, παρεῖναι πρὸς αὐτόν. Μετὰ τὸ δεῖπνον δὲ τοὺς ταξιάρχους ἐκάλει· ἐπεὶ δὲ παρῆσαν, ἔλεξεν ὧδε·

22. Ἄνδρες φίλοι, ὁ Ἀρμένιος πρόσθε μὲν καὶ σύμμαχος ἦν καὶ ὑπήκοος Κυαξάρει· νῦν δ', ὡς ἤσθετο τοὺς πολεμίους ἐπιόντας, καταφρονεῖ, καὶ οὔτε τὸ στράτευμα πέμπει ἡμῖν, οὔτε τὸν δασμὸν ἀποδίδωσι· νῦν οὖν τοῦτον δεῖ θηρᾶσαι, ἢν δυνώμεθα. Ὧδέ μοι οὖν δοκεῖ, ἔφη, ποιεῖν. Σὺ μὲν, ὦ Χρυσάντα, ἐπειδὰν ἀποκοιμηθῇς, ὅσον μέτριον, λάβων τοὺς ἡμίσεις Περσῶν τῶν σὺν ἡμῖν, ἴθι τὴν ὀρεινὴν καὶ κατάλαβε τὰ ὄρη, εἰς ἃ φασιν αὐτὸν, ὅταν τι φοβηθῇ, καταφεύγειν· ἡγεμόνας δέ σοι ἐγὼ δώσω. 23. Φασὶ μὲν οὖν, καὶ δασέα τὰ ὄρη ταῦτα εἶναι, ὥστ' ἐλπὶς ὑμᾶς μὴ ὀφθῆναι· ὅμως δὲ, εἰ προπέμποις πρὸ τοῦ στρατεύματος εὐζώνους ἄνδρας, λῃσταῖς ἐοικότας καὶ τὸ πλῆθος καὶ τὰς στολὰς, οὗτοι ἄν σοι, εἴ τισιν ἐντυγχάνοιεν τῶν Ἀρμενίων, τοὺς μὲν ἂν συλλαμβάνοντες αὐτῶν, κωλύοιεν τῶν ἐξαγγελιῶν, οὓς δὲ μὴ δύναιντο λαμβάνειν, ἀποσοβοῦντες ἂν ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾶν αὐτοὺς τὸ ὅλον στράτευμά σου, ἀλλ' ὡς περὶ κλωπῶν βουλεύεσθαι. 24. Καὶ σὺ μὲν, ἔφη, οὕτω ποίει· ἐγὼ δὲ ἅμα τῇ ἡμέρᾳ, τοὺς ἡμίσεις μὲν τῶν πεζῶν ἔχων,

ἅπαντας δὲ τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ πεδίου εὐθὺς πρὸς τὰ βασίλεια. Καὶ ἢν μὲν ἀνθίστηται, δῆλον, ὅτι μάχεσθαι δεήσει· ἢν δ' αὖ ὑποχωρῇ τοῦ πεδίου, δῆλον, ὅτι μεταθεῖν δεήσει· ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐνταῦθα δή, ἔφη, σὸν ἔργον, μηδένα ἀφιέναι τῶν πρὸς σὲ ἀφικνουμένων. 25. Νόμιζε δ', ὥσπερ ἐν θήρᾳ ἡμᾶς μὲν τοὺς ἐπιζητοῦντας ἔσεσθαι, σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι. Μέμνησο οὖν ἐκεῖνο, ὅτι φθάνειν δεῖ πεφραγμένους τοὺς πόρους πρὶν κινεῖσθαι τὴν θήραν. Καὶ λεληθέναι δὲ δεῖ τοὺς ἐπὶ τοῖς στόμασι, εἰ μέλλουσι μὴ ἀποστρέφειν τὰ προσφερόμενα. 26. Μὴ μέντοι, ἔφη, ὦ Χρυσάντα, οὕτως αὖ ποίει, ὥσπερ ἐνίοτε διὰ τὴν φιλοθηρίαν· πολλάκις γὰρ ὅλην τὴν νύκτα ἄϋπνος πραγματεύῃ· ἀλλὰ νῦν ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι, ὡς ἂν δύνωνται ὑπνομαχεῖν. 27. Μηδέ γε σύ, ὅτι, οὐχ ἡγεμόνας ἔχων ἀνθρώπους, πλανᾷ ἀνὰ τὰ ὄρη, ἀλλ' ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται, ταύτῃ μεταθεὶς, μήτι καὶ νῦν οὕτω τὰ δύσβατα πορεύου, ἀλλὰ κέλευε σοὶ τοὺς ἡγεμόνας, ἐὰν μὴ πάνυ πολὺ ἐλάσσων ἡ ὁδὸς ᾖ, τὴν ῥᾴστην ἡγεῖσθαι. Στρατιᾷ γὰρ ἡ ῥᾴστη ταχίστη. 28. Μηδέ γε, ὅτι σὺ εἴθισαι τρέχειν ἀνὰ τὰ ὄρη, μήτι δρόμῳ ἡγήσῃ, ἀλλ' ὡς ἂν δύνηταί σοι ὁ στρατὸς ἕπεσθαι, τῷ μέσῳ τῆς σπουδῆς ἡγοῦ. 29. Ἀγαθὸν δὲ, καὶ τῶν δυνατωτάτων καὶ προθύμων ὑπομένοντάς τινας ἐνίοτε παρακελεύεσθαι· ἐπειδὰν δὲ παρέλθῃ τὸ κέρας, παροξυντικὸν εἰς τὸ

σπεύδειν πάντας, παρὰ τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι.

30. Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρου, λαβὼν τοὺς ἡγεμόνας, ἀπελθὼν, καὶ παραγγείλας, ἃ ἔδει, τοῖς σὺν αὐτῷ μέλλουσι πορεύεσθαι, ἀνεπαύετο. Ἐπεὶ δὲ ἀπεκοιμήθησαν, ὅσον ἐδόκει μέτριον εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. 31. Κῦρος δὲ, ἐπεὶ ἡμέρα ἐγένετο, ἄγγελον προέπεμπε πρὸς τὸν Ἀρμένιον, προειπὼν αὐτῷ λέγειν ὧδε· Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν σε, ὅπως ὡς τάχιστα ἔχων οἷσεις καὶ τὸν δασμὸν καὶ τὸ στράτευμα. Ἢν δ' ἐρωτᾷ, ὅπου εἰμὶ, λέγε ταληθῆ, ὅτι ἐπὶ τοῖς ὁρίοις. Ἢν δ' ἐρωτᾷ, εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀνταῦθα ταληθῆ, ὅτι οὐκ οἶσθα. Ἢν δὲ, ὁπόσοι ἐσμὲν, πυνθάνηται, συμπέμπειν τινὰ κέλευε καὶ μαθεῖν. 32. Τὸν μὲν δὴ ἄγγελον, ἐπιστείλας ταῦτα, ἔπεμψε· νομίζων φιλικώτερον εἶναι οὕτως, ἢ μὴ προειπόντα πορεύεσθαι. Αὐτὸς δὲ συνταξάμενος, ᾗ ἄριστον καὶ πρὸς τὸ ἀνύτειν τὴν ὁδὸν, καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. Προεῖπε δὲ τοῖς στρατιώταις μηδένα ἀδικεῖν· καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχάνοι, θαῤῥεῖν τε παραγγέλλειν, καὶ ἀγοράν τὸν θέλοντα ἄγειν, ὅπου ἂν ὦσιν, εἴτε σιτία εἴτε ποτὰ τυγχάνοι πωλεῖν βουλόμενος.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Ι.

CAPVT I.

1. Ὁ μὲν δὴ Κῦρος ἐν τούτοις ἦν· ὁ δὲ Ἀρμένιος, ὡς ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ τοῦ Κύρου, ἐξεπλάγη, ἐννοήσας, ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λείπων, καὶ τὸ στράτευμα οὐ πέμπων. Καὶ τὸ μέγιστον ἐφοβεῖτο, ὅτι ὀφθήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμενος, ὡς ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. 2. Διὰ πάντα δὴ ταῦτα ὀκνῶν, ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν αὑτοῦ δύναμιν, ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν, καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας· καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν πλείστου ἀξίαν συναπέπεμπε, προπομποὺς δοὺς αὐτοῖς. Αὐτὸς δὲ ἅμα μὲν κατασκεψόμενος ἔπεμπε, τί πράττοι Κῦρος, ἅμα δὲ συνέτατε τοὺς παραγιγνομένους τῶν Ἀρμενίων. Καὶ ταχὺ παρῆσαν ἄλλοι, λέγοντες, ὅτι καὶ δὴ αὐτὸς ὁμοῦ· ἐνταῦθα δὴ οὐκέτι ἔτλη εἰς χεῖρας ἐλθεῖν, ἀλλ' ὑπεχώρει. 3. Ὡς δὲ τοῦτο εἶδον αὐτὸν ποιήσαντα οἱ Ἀρμένιοι, διεδίδρασκον ἤδη ἕκαστος ἐπὶ τὰ ἑαυτοῦ, βουλόμενοι τὰ ὄντα ἐκποδὼν

ποιεῖσθαι. Ὁ δὲ Κῦρος, ὡς ἑώρα διαθεόντων καὶ ἐλαυνόντων τὸ πεδίον μεστὸν, ὑποπέμπων ἔλεγεν, ὅτι οὐδενὶ πολέμιος εἴη τῶν μενόντων· εἰ δέ τινα φεύγοντα λήψοιτο, προηγόρευσεν, ὅτι ὡς πολεμίῳ χρήσοιτο. Οὕτω δὴ οἱ μὲν πολλοὶ κατέμενον, ἦσαν δὲ, οἳ ὑπεχώρουν σὺν τῷ βασιλεῖ. 4. Ἐπεὶ δὲ οἵ σὺν ταῖς γυναιξὶ προϊόντες ἐνέπεσον εἰς τοὺς ἐν τῷ ὄρει, κραυγήν τε εὐθὺς ἐποίουν, καὶ φεύγοντες ἡλίσκοντο πολλοὶ αὐτῶν. Τέλος δὲ καὶ ὁ παῖς καὶ αἱ γυναῖκες καὶ αἱ θυγατέρες ἐάλωσαν, καὶ τὰ χρήματα, ὅσα σὺν αὐτοῖς ἀγόμενα ἔτυχεν. Ὁ δὲ βασιλεὺς αὐτῶν, ὡς ἤσθετο τὰ γιγνόμενα, ἀπορῶν ποῖ τράποιτο, ἐπὶ λόφον τινὰ καταφεύγει. 5. Ὁ δὲ αὖ Κῦρος ταῦτα ἰδὼν, περιΐσταται τὸν λόφον τῷ παρόντι στρατεύματι, καὶ πρὸς Χρυσάνταν πέμψας ἐκέλευε, φιλακὴν τοῦ ὄρους καταλιπόντα ἥκειν. Τὸ μὲν δὴ στράτευμα ἠθροίζετο τῷ Κύρῳ· ὁ δὲ πέμψας πρὸς τὸν Ἀρμένιον κήρυκα, ἤρετο ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Ἀρμένιε, πότερα βούλει αὐτοῦ μένων τῷ λιμῷ καὶ τῷ δίψει μάχεσθαι, ἢ εἰς τὸ ἰσόπεδον καταβὰς ἡμῖν διαμάχεσθαι; Ἀπεκρίνατο ὁ Ἀρμένιος, ὅτι οὐδετέροις βούλοιτο μάχεσθαι. 6. Πάλιν ὁ Κῦρος πέμψας ἠρώτα, Τί οὖν κάθησαι αὐτόθι, καὶ οὐ καταβαίνεις; Ἀπορῶν, ἔφη, ὅ τι χρὴ ποιεῖν. Ἀλλ' οὐδέν, ἔφη ὁ Κῦρος, ἀπορεῖν σε δεῖ· ἔξεστι γάρ σοι ἐπὶ δίκην καταβαίνειν. Τίς δ', ἔφη, ἔσται ὁ δικάζων; Δῆλον, ὅτι ᾧ ὁ Θεὸς ἔδωκε καὶ ἄνευ δίκης σοι χρήσασθαι, ὅ τι καὶ βούλοιτο. Ἐνταῦθα δὴ ὁ

Ἀρμένιος, γιγνώσκων τὴν ἀνάγκην, καταβαίνει· καὶ ὁ Κῦρος, λαβὼν εἰς τὸ μέσον κἀκεῖνον καὶ τὰ ἄλλα πάντα, περιεστρατοπεδεύσατο, ὁμοῦ ἔχων πᾶσαν ἤδη τὴν δύναμιν.

7. Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ πρεσβύτερος παῖς τοῦ Ἀρμενίου, Τιγράνης, ἐξ ἀποδημίας τινὸς προσῄει, ὃς καὶ σύνθηρός ποτε ἐγένετο τῷ Κύρῳ· καὶ ὡς ἤκουσε τὰ γεγενημένα, εὐθὺς πορεύεται, ὥσπερ εἶχε, πρὸς τὸν Κῦρον. Ὡς δὲ εἶδε πατέρα τε καὶ μητέρα, καὶ ἀδελφοὺς καὶ τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους γεγενημένους, ἐδάκρυσεν, ὥσπερ εἰκός. 8. Ὁ δὲ Κῦρος, ἰδὼν αὐτὸν, ἄλλο μὲν οὐδὲν ἐφιλοφρονήσατο αὐτῷ, εἶπε δ', ὅτι εἰς καιρὸν ἥκεις, ἔφη, ὅπως σὺ τῆς δίκης ἀκούσῃς παρὼν τῆς ἀμφὶ τοῦ πατρός. Καὶ εὐθὺς συνεκάλει τοὺς ἡγεμόνας τούς τε τῶν Περσῶν καὶ τοὺς τῶν Μήδων· προσεκάλει δὲ καὶ, εἴ τις Ἀρμενίων τῶν ἐντίμων παρῆν· καὶ τὰς γυναῖκας, ἐν ταῖς ἁρμαμάξαις παρούσας, οὐκ ἀπήλασεν, ἀλλ' εἴα ἀκούειν. 9. Ὁπότε δὲ καλῶς εἶχεν, ἤρχετο τοῦ λόγου, καὶ, Ὦ Ἀρμένιε, ἔφη, πρῶτον μέν σοι συμβουλεύω, ἐν τῇ δίκῃ ταληθῆ λέγειν, ἵνα σοι ἔν γε ἀπῇ τὸ ἐπιορκότατον· τὸ γὰρ ψευδόμενον φαίνεσθαι, εὖ ἴσθι, ὅτι καὶ τοῦ συγγνώμης τινὸς τυγχάνειν ἐμποδὼν μάλιστα ἀνθρώποις γίγνεται. Ἔπειτα δὲ, ἔφη, συνίσασι μέν σοι καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες αὗται πάντα, ὅσα ἔπραξας, καὶ Ἀρμενίων οἱ παρόντες· ἢν δὲ αἰσθάνωνταί σε ἄλλα ἢ τὰ γενόμενα λέγοντα, νομιοῦσί σε καὶ αὐτὸν κατα-

δικάζειν σαυτοῦ, πάντα τὰ ἔσχατα παθεῖν, ἢν ἐγὼ ταληθῆ πύθωμαι. Ἀλλ' ἐρώτα, ἔφη, ὦ Κῦρε, ὅ τι βούλει, ὡς ταληθῆ ἐροῦντος· τούτου ἕνεκα καὶ γενέσθω, ὅ τι βούλεται. 10. Λέγε δή μοι, ἔφη, ἐπολέμησάς ποτε Ἀστυάγει τῷ τῆς ἐμῆς μητρὸς πατρὶ, καὶ τοῖς ἄλλοις Μήδοις; Ἔγωγ', ἔφη. Κρατηθεὶς δ' ὑπ' αὐτοῦ, συνωμολόγησας δασμὸν οἴσειν, καὶ συστρατεύσεσθαι, ὅπου ἐπαγγελοῖ, καὶ ἐρύματα μὴ ἕξειν; Ἦν ταῦτα. Νῦν οὖν διὰ τί οὔτε τὸν δασμὸν ἀπήγαγες, οὔτε τὸ στράτευμα ἔπεμπες, ἐτείχιζές τε τὰ ἐρύματα; Καὶ ὅς ἔφη, Ἐλευθερίας ἐπεθύμουν· καλὸν γάρ μοι ἐδόκει εἶναι, καὶ αὐτὸν ἐλεύθερον εἶναι, καὶ παισὶν ἐλευθερίαν καταλιπεῖν. 11. Καὶ γάρ ἐστιν, ἔφη ὁ Κῦρος, καλὸν μάχεσθαι, ὅπως μή ποτέ τις δοῦλος μέλλοι γενήσεσθαι· ἢν δὲ δὴ ἢ πολέμῳ κρατηθεὶς, ἢ καὶ ἄλλον τινὰ τρόπον δουλωθεὶς, ἐπιχειρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν ἑαυτοῦ, τοῦτον σὺ, πρῶτος εἰπὲ, πότερον ὡς ἀγαθὸν ἄνδρα καὶ καλὰ πράττοντα τιμᾷς, ἢ ὡς ἀδικοῦντα, ἢν λάβῃς, κολάζεις; Κολάζω, ἔφη· οὐ γὰρ ἐᾷς σὺ ψεύδεσθαι. 12. Λέγε δὴ σαφῶς, ἔφη ὁ Κῦρος, ὧδε καθ' ἓν ἕκαστον. Ἦν ἄρχων τις τύχῃ σοι, καὶ ἁμάρτῃ, πότερον ἐᾷς ἄρχειν, ἢ ἄλλον καθίστης ἀντ' αὐτοῦ; Ἄλλον καθίστημι, ἔφη. Τί δὲ, ἢν χρήματα πολλὰ ἔχῃ, ἐᾷς πλουτεῖν, ἢ πένητα ποιεῖς; Ἀφαιροῦμαι, ἔφη, ἃ ἂν ἔχων τυγχάνῃ. Ἦν δὲ καὶ πρὸς πολεμίους αὐτὸν γιγνώσκῃς ἀφιστάμενον, τί ποιεῖς; Κατακαίνω, ἔφη· τί γὰρ

δεῖ, ἐλεγχθέντα ὅτι ψεύδομαι, ἀποθανεῖν μᾶλλον, ἢ τἀληθῆ λέγοντα; 13. Ἐνταῦθα δὴ ὁ μὲν παῖς αὐτοῦ, ὡς ἤκουσε ταῦτα, περιεσπάσατο τὴν τιάραν, αἱ δὲ γυναῖκες ἀναβοήσασαι ἐδρύπτοντο, καὶ τοὺς πέπλους κατερρήξαντο, ὡς οἰχομένου τοῦ πατρὸς, καὶ ἀπολωλότων πάντων σφῶν ἤδη. Καὶ ὁ Κῦρος σιωπῆσαι κελεύσας, πάλιν εἶπεν· Εἶεν· τὰ μὲν δὴ σὰ δίκαια ταῦτα, ὦ Ἀρμένιε· ἡμῖν δὲ τί συμβουλεύεις ἐκ τούτων ποιεῖν; Ὁ μὲν δὴ Ἀρμένιος ἐσιώπα, ἀπορῶν, πότερα συμβουλεύοι τῷ Κύρῳ κατακαίνειν ἑαυτὸν, ἢ τἀναντία διδάσκοι, ὧν αὐτὸς ἔφη ποιεῖν. 14. Ὁ δὲ παῖς αὐτοῦ Τιγράνης ἐπήρετο τὸν Κῦρον, Εἰπέ μοι, ὦ Κῦρε, ἔφη, ἐπεὶ ὁ πατὴρ ἀπορεῖν ἔοικεν, ἢ συμβουλεύσω περὶ αὐτοῦ, ἃ οἶμαί σοι βέλτιστα εἶναι; Καὶ ὁ Κῦρος, ἡσθημένος, ὅτι συνεθήρα αὐτῷ ὁ Τιγράνης, σοφιστήν τινα αὐτῷ συνόντα, καὶ θαυμαζόμενον ὑπὸ τοῦ Τιγράνου, πάνυ ἐπεθύμει αὐτοῦ ἀκοῦσαι, ὅ τι ποτὲ ἐροῖ· καὶ προθύμως ἐκέλευε λέγειν ὅ τι γιγνώσκοι.

15. Ἐγὼ τοίνυν ἔφη ὁ Τιγράνης, εἰ μὲν ἄγασαι τοῦ πατρὸς, ἢ ὅσα βούλευται, ἢ ὅσα πέπραχε, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι· εἰ μέντοι σοὶ δοκεῖ πάντα ἠμαρτηκέναι, συμβουλεύω σοι αὐτὸν μὴ μιμεῖσθαι. Οὐκοῦν, ἔφη ὁ Κῦρος, τὰ δίκαια ποιῶν, ἥκιστ' ἂν τὸν ἁμαρτάνοντα μιμοίμην. Ἔστιν, ἔφη, ταῦτα. Κολαστέον ἄρ' ἂν εἴη, κατά γε τὸν σὸν λόγον, τὸν πατέρα· εἴπερ τὸν ἀδικοῦντα δίκαιον κολάζειν. Πότερα δ' ἦγῇ, ὦ Κῦρε, ἄμει-

νον εἶναι, σὺν τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι, ἢ σὺν τῇ σῇ ζημίᾳ; Ἐμαυτὸν ἄρα, ἔφη, οὕτω γ' ἂν τιμωροίμην. 16. Ἀλλὰ σὺ μέντοι, ἔφη ὁ Τιγράνης, μεγάλα γ' ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ κατακαίνοις τότε, ὁπότε σοι πλείστου ἄξιοι εἶεν κεκτῆσθαι. Πῶς δ' ἄν, ἔφη ὁ Κῦρος, τότε πλείστου ἄξιοι γίγνοιντο ἄνθρωποι, ὁπότε ἀδικοῦντες ἁλίσκοιντο; Εἰ τότε, οἶμαι, σώφρονες γίγνοιντο. Δοκεῖ γάρ μοι, ὦ Κῦρε, οὕτως ἔχειν, ἄνευ μὲν σωφροσύνης οὐδ' ἄλλης ἀρετῆς οὐδὲν ὄφελος εἶναι· (τί γὰρ ἄν, ἔφη, χρήσαιτ' ἄν τις ἰσχυρῷ ἢ ἀνδρείῳ, μὴ σώφρονι, ἢ ἱππικῷ; τί δὲ πλουσίῳ; τί δὲ δυνάστῃ ἐν τόλει;) σὺν δὲ σωφροσύνῃ καὶ φίλος πᾶς χρήσιμος, καὶ θεράπων πᾶς ἀγαθός. 17. Τοῦτο οὖν, ἔφη, λιγεις, ὡς καὶ ὁ σὸς πατὴρ ἐν τῇδε τῇ μιᾷ ἡμέρᾳ ἐξ ἄφρονος σώφρων γεγένηται; Πάνυ μὲν οὖν, ἔφη. Πάθημα ἄρα τῆς ψυχῆς σὺ λέγεις εἶναι τὴν σωφροσύνην, ὥσπερ λύπην, οὐ μάθημα· οὐ γὰρ ἂν δήπου, εἴγε φρόνιμον δεῖ γενέσθαι τὸν μέλλοντα σώφρονα ἔσεσθαι, παραχρῆμα ἐξ ἄφρονος σώφρων ἂν τις γένοιτο. 18. Τί δ', ἔφη, ὦ Κῦρε, οὔπω ἤσθου καὶ ἕνα ἄνδρα δι' ἀφροσύνης μὲν ἐπιχειροῦντα κρείττονι ἑαυτοῦ μάχεσθαι, ἐπειδὰν δὲ ἡττηθῇ, εὐθὺς πεπαυμένον τῆς πρὸς τοῦτον ἀφροσύνης; Πάλιν δ', ἔφη, οὔπω ἑώρακας πόλιν ἀντιταττομένην πρὸς πόλιν ἑτέραν, ἥτις, ἐπειδὰν ἡττηθῇ, παραχρῆμα ταύτῃ ἀντὶ τοῦ μάχεσθαι, πείθεσθαι θέλει; 19. Ποίαν δ' ἔφη ὁ Κῦρος, καὶ σὺ τοῦ πατρὸς ἧττον λέγων, οὕτως ἰσχυρίζῃ σεσωφρο-

νίσθαι αὐτόν; Ἦν, νὴ Δία, ἔφη, σύνοιδεν ἑαυτῷ ἐλευθερίας μὲν ἐπιθυμήσας, δοῦλος δ' ὡς οὐδεπώποτε γενόμενος· ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν, ἢ φθάσαι ἢ ἀποβιάσασθαι, οὐδὲν τούτων ἱκανὸς γενόμενος διαπράξασθαι. Σὲ δὲ οἶδεν, ἃ μὲν ἐβουλήθης ἐξαπατῆσαι αὐτόν, οὕτως ἐξαπατήσαντα, ὥσπερ ἄν τις τυφλοὺς ἢ κωφοὺς καὶ μηδ' ὁτιοῦν φρονοῦντας ἐξαπατήσειεν· ἃ δὲ ᾠήθης λαθεῖν χρῆναι, οὕτω σὲ οἶδε λαθόντα, ὥστε, ἃ ἐνόμιζεν ἑαυτῷ ἐχυρὰ χωρία ἀποκεῖσθαι, ταῦτα εἱρκτὰς αὐτῷ ἔλαθες προκατασκευάσας· τάχει δὲ τοσοῦτον περιεγένου αὐτοῦ, ὥστε πρόσωθεν ἔφθασας ἐλθὼν σὺν πολλῷ στόλῳ, πρὶν τοῦτον τὴν παρ' ἑαυτῷ δύναμιν ἀθροίσασθαι. 20. Ἔπειτα δοκεῖ σοι, ἔφη ὁ Κῦρος, καὶ ἡ τοιαύτη ἧττα σωφρονίζειν ἱκανὴ εἶναι ἀνθρώπους, τὸ γνῶναι ἄλλους ἑαυτῶν βελτίονας ὄντας; Πολὺ γε μᾶλλον, ἔφη ὁ Τιγράνης, ἢ ὅταν μάχῃ τὶς ἥττηθῇ. Ὁ μὲν γὰρ ἰσχύϊ κρατηθεὶς ἔστιν ὅτε ᾠήθη τὸ σῶμα ἀσκήσας ἀναμαχεῖσθαι· καὶ πόλεις γε ἁλοῦσαι, συμμάχους προσλαβοῦσαι, οἴονται ἀναμαχέσασθαι ἄν· οὓς δ' ἂν βελτίους τινὲς ἑαυτῶν ἡγήσωνται, τούτοις πολλάκις καὶ ἄνευ ἀνάγκης ἐθέλουσι πείθεσθαι. 21. Σὺ, ἔφη, ἔοικας οὐκ οἴεσθαι τοὺς ὑβριστὰς γιγνώσκειν τοὺς ἑαυτῶν σωφρονεστέρους· οὐδὲ τοὺς κλέπτας, τοὺς μὴ κλέπτοντας· οὐδὲ τοὺς ψευδομένους, τοὺς ἀληθῆ λέγοντας· οὐδὲ τοὺς ἀδικοῦντας, τοὺς τὰ δίκαια ποιοῦντας· οὐκ οἶσθα, ἔφη, ὅτι καὶ νῦν ὁ σὸς πατὴρ ἐψεύσατο, καὶ οὐκ ἐξημπέδου τὰς πρὸς

ἡμᾶς συνθήκας, εἰδὼς, ὅτι ἡμεῖς οὐδ' ὁτιοῦν, ὧν Ἀστυάγης συνέθετο, παραβαίνομεν; 22. Ἀλλ' οὐδ' ἐγὼ τοῦτο λέγω, ὡς τὸ γνῶναι μόνον τοὺς βελτίονας, σωφρονίζει, ἄνευ τοῦ δίκην διδόναι ὑπὸ τῶν βελτιόνων, ὥσπερ ὁ ἐμὸς νῦν πατὴρ δίδωσιν. Ἀλλ', ἔφη ὁ Κῦρος, ὅ γε σὸς πατὴρ πέπονθε μὲν οὐδ' ὁτιοῦν οὔπω κακόν· φοβεῖταί γε μέντοι, εὖ οἶδ' ὅτι, μὴ πάντα τὰ ἔσχατα πάθῃ. 23. Οἴει οὖν τι, ἔφη ὁ Τιγράνης, μᾶλλον καταδουλοῦσθαι ἀνθρώπους τοῦ ἰσχυροῦ φόβου; Οὐκ οἶσθ', ὅτι οἱ μὲν, τῷ ἰσχυροτάτῳ κολάσματι νομιζομένῳ, σιδήρῳ παιόμενοι, ὅμως ἐθέλουσι καὶ πάλιν μάχεσθαι τοῖς αὐτοῖς; οὓς δ' ἂν σφόδρα φοβηθῶσιν ἄνθρωποι, τούτοις οὐδὲ παραμυθουμένοις ἔτι ἀντιβλέπειν δύνανται; Λέγεις σὺ, ἔφη, ὡς ὁ φόβος τοῦ ἔργῳ κακοῦσθαι μᾶλλον κολάζει τοὺς ἀνθρώπους; 24. Καὶ σύ γε, ἔφη, οἶσθα, ὅτι ἀληθῆ λέγω· ἐπίστασαι γὰρ, ὅτι οἱ μὲν φοβούμενοι, μὴ φύγωσι πατρίδα, καὶ οἱ μέλλοντες μάχεσθαι, δεδιότες μὴ ἡττηθῶσιν, ἀθύμως διάγουσι· καὶ οἱ πλέοντες, μὴ ναυαγήσωσι, καὶ οἱ δουλεία καὶ δεσμὸν φοβούμενοι, οὗτοι μὲν οὔτε σίτου, οὔθ' ὕπνου δύνανται τυγχάνειν διὰ τὸν φόβον· οἱ δὲ ἤδη μὲν φυγάδες, ἤδη δ' ἡττημένοι, ἤδη δὲ δουλεύοντες, ἔστιν ὅτε δύνανται καὶ μᾶλλον τῶν εὐδαιμόνων ἐσθίειν τε καὶ καθεύδειν. 25. Ἔτι δὲ φανερώτερον καὶ ἐν τοῖσδε, οἷον φόρημα ὁ φόβος· ἔνιοι γὰρ φοβούμενοι, μὴ ληφθέντες ἀποθάνωσι, ὑπὸ τοῦ φόβου προαποθνήσκουσιν, οἱ μὲν ῥιπτοῦντες ἑαυτοὺς, οἱ δὲ ἀπαγ-

χόμενοι, οἱ δὲ ἀποσφαττόμενοι· οὕτω πάντων τῶν δεινῶν ὁ φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. τὸν δ' ἐμὸν πατέρα, ἔφη, νῦν πῶς δοκεῖς διακεῖσθαι τὴν ψυχήν, ὃς οὐ μόνον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ ἐμοῦ, καὶ περὶ γυναικὸς, καὶ περὶ πάντων τῶν τέκνων δουλείας φοβεῖται; 26. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλὰ νῦν μὲν ἔμοιγε οὐδὲν ἄπιστον, τοῦτον οὕτω διακεῖσθαι· δοκεῖ μέντοι μοι τοῦ αὐτοῦ ἀνδρὸς εἶναι, καὶ εὐτυχοῦντα ἐξυβρίσαι, καὶ πταίσαντα ταχὺ πτῆξαι· καὶ ἀνεθέντα πάλιν αὖ μέγα φρονῆσαι, καὶ πάλιν αὖ πράγματα παρασχεῖν. 27. Ἀλλὰ, ναὶ μὰ Δί', ἔφη ὦ Κῦρε, ἔχει μὲν προφάσεις τὰ ἡμέτερα ἁμαρτήματα, ὥστε ἀπιστεῖν ἡμῖν· ἔξεστι δέ σοι καὶ φρούρια ἐντειχίζειν, καὶ τὰ ἐχυρὰ κατέχειν, καὶ ἄλλο, ὅ τι ἂν βούλῃ, πιστὸν λαμβάνειν. Καὶ μέντοι, ἔφη, ἡμᾶς μὲν ἔξεις οὐδέν τι τούτοις μέγα λυπουμένους· μεμνησόμεθα γὰρ, ὅτι ἡμεῖς αὐτῶν αἴτιοί ἐσμεν· εἰ δέ τινι τῶν ἀναμαρτήτων παραδιδοὺς τὴν ἀρχὴν, ἀπιστῶν αὐτοῖς φανείης, ὅρα, μὴ ἅμα τε εὖ ποιήσῃς, καὶ ἅμα οὐ φίλον νομίσωσί σε· εἰ δ' αὖ, φυλαττόμενος τὸ ἀπεχθάνεσθαι, μὴ ἐπιθήσεις αὐτοῖς ζυγὰ τοῦ μὴ ὑβρίσαι, ὅρα, μὴ ἐκείνους αὖ δεήσει σε σωφρονίζειν, ἔτι μᾶλλον, ἢ ἡμᾶς νῦν ἐδέησεν. 28. Ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ἔφη, τοιούτοις μὲν ἔγωγε ὑπηρέταις, οὓς εἰδείην ἀνάγκῃ ὑπηρετοῦντας, ἀηδῶς ἄν μοι δοκῶ χρῆσθαι· οὓς δὲ γιγνώσκειν δοκοίην, ὅτι εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ τὸ δέον συλλαμβάνοιεν, τούτους ἄν μοι δοκῶ καὶ ἁμαρτάνοντας ῥᾷον φέρειν,

ἢ τοὺς μισοῦντας μὲν, ἔκπλεω δὲ πάντα ἀνάγκη διαπονουμένους. Καὶ ὁ Τιγράνης εἶπε πρὸς ταῦτα, Φιλίαν δ', ἔφη, παρὰ τίνων ἄν ποτε λάβοις τοσαύτην, ὅσην σοι παρ' ἡμῶν ἔξεστι κτήσασθαι νῦν; Παρ' ἐκείνων οἶμαι, ἔφη, παρὰ τῶν μηδεπώποτε πολεμίων γεγενημένων, εἰ ἐθέλοιμι εὐεργετεῖν αὐτοὺς, ὥσπερ σὺ νῦν με κελεύεις εὐεργετεῖν ὑμᾶς. 29. Ἦ καὶ δύναιο ἄν, ἔφη, ὦ Κῦρε, ἐν τῷ παρόντι εὑρεῖν νῦν, ὅτῳ ἂν χαρίσαιο, ὅσαπερ τῷ ἐμῷ πατρί; Αὐτίκα, ἔφη, ἦν τινα ἐᾷς ζῆν τῶν σὲ μηδὲν ἠδικηκότων, τίνα σοι τούτου χάριν οἴει αὐτὸν εἴσεσθαι; τί δέ; ἂν αὐτοῦ τέκνα καὶ γυναῖκα μὴ ἀφαιρῇ, τίς σε τούτου ἕνεκα φιλήσει μᾶλλον, ἢ ὃ νομίζων προσήκειν αὐτῷ ἀφαιρεθῆναι; τὴν δ' Ἀρμενίων βασιλείαν εἰ μὴ ἔξει, οἶσθά τινα, ἔφη, νῦν λυπούμενον μᾶλλον, ἢ ἡμᾶς; Οὐκοῦν καὶ τοῦτο, ἔφη, δῆλον, ὅτι ὁ μάλιστα λυπούμενος, εἰ μὴ βασιλεὺς εἴη, οὗτος καὶ λαβὼν τὴν ἀρχὴν, μεγίστην ἂν σοι χάριν εἰδείη. 30. Εἰ δέ τί σοι, ἔφη, μέλει καὶ τοῦ ὡς ἥκιστα τεταραγμένα τάδε καταλιπεῖν, ὅταν ἀπίῃς, σκόπει, ἔφη, πότερον ἂν οἴει ἠρεμεστέρως ἔχειν τὰ ἐνθάδε, καινῆς γενομένης ἀρχῆς, ἢ τῆς εἰωθυίας καταμενούσης· εἰ δέ τί σοι μέλει καὶ τοῦ ὡς πλείστην στρατιὰν ἐξάγειν, τίνα ἂν οἴει μᾶλλον ἐξετάσαι ταύτην ὀρθῶς τοῦ πολλάκις αὐτῇ κεχρημένου; εἰ δὲ καὶ χρημάτων δεήσει, τίνα ἂν ταῦτα νομίζεις ἐκπορίσαι κρεῖττον τοῦ καὶ εἰδότος καὶ ἔχοντος πάντα τὰ ὄντα; Ὦ γαθὲ, ἔφη, Κῦρε, φύλαξαι, μὴ ἡμᾶς ἀποβαλὼν, σαυτὸν ζη-

μιᾶσης πλείω, ἢ ὁ πατὴρ ἠδυνήθη σε βλάψαι. Ὁ μὲν τοιαῦτα ἔλεγεν.

31. Ὁ δὲ Κῦρος ἀκούων ὑπερήδετο, ὅτι ἐνόμιζε περαίνεσθαι πάντα αὐτῷ, ὅσαπερ ὑπέσχετο τῷ Κυαξάρει πράξειν· ἐμέμνητο γὰρ εἰπών, ὅτι καὶ φίλον οἴοιτο μᾶλλον αὐτὸν ἢ πρόσθεν ποιήσειν. Ἐκ τούτου δὴ τὸν Ἀρμένιον ἐρωτᾷ, Ἢν δὲ δὴ ταῦτα πείθωμαι ὑμῖν, λέγε μοι σύ, ἔφη, ὦ Ἀρμένιε, πόσην μὲν στρατιὰν μοι συμπέμψεις, πόσα δὲ χρήματα συμβαλῇ εἰς τὸν πόλεμον; 32. Πρὸς ταῦτα δὴ λέγει ὁ Ἀρμένιος, Οὐδέν, ἔφη, ὦ Κῦρε, ἔχω ἁπλούστερον εἰπεῖν, οὐδὲ δικαιότερον, ἢ δεῖξαι μὲν ἐμὲ πᾶσαν τὴν δύναμιν τὴν οὖσαν, σὲ δὲ ἰδόντα, ὅσην μὲν ἂν σοι δοκῇ, στρατιὰν ἄγειν, τὴν δὲ καταλιπεῖν τῆς χώρας φυλακήν. Ὡς αὐτως δὲ περὶ χρημάτων, δηλῶσαι μὲν ἐμὲ δίκαιόν σοι πάντα τὰ ὄντα· σὲ δὲ τούτων αὐτῶν, γνόντα, ὁπόσα ἂν βούλῃ, φέρεσθαι, καὶ ὁπόσα ἂν βούλῃ, καταλιπεῖν. 33. Καὶ ὁ Κῦρος εἶπεν· Ἴθι δή, δεῖξόν μοι, πόση μοι δύναμίς ἐστι, λέξον δὲ καὶ πόσα χρήματα. Ἐνταῦθα δὴ λέγει ὁ Ἀρμένιος· Ἱππεῖς μὲν τοίνυν τῶν Ἀρμενίων εἰσὶν εἰς ὀκτακισχιλίους, πεζοὶ δὲ εἰς τέτταρας μυριάδας· χρήματα δ', ἔφη, σὺν τοῖς θησαυροῖς, οἷς ὁ πατὴρ κατέλιπεν, ἔστιν, εἰς ἀργύριον λογισθέντα, τάλαντα πλείω τῶν τρισχιλίων. 34. Καὶ ὁ Κῦρος οὐκ ἐμέλλησεν, ἀλλ' εἶπε· Τῆς μὲν τοίνυν στρατιᾶς, ἐπεί σοι, ἔφη, οἱ ὅμοροι Χαλδαῖοι πολεμοῦσι, τοὺς ἡμίσεις μοι σύμπεμπε· τῶν δὲ χρημάτων, ἀντὶ μὲν τῶν

πεντήκοντα ταλάντων, ὧν ἔφερες δασμόν, διπλάσια Κυαξάρει ἀπόδος, ὅτι ἔλιπες τὴν φοράν· ἐμοὶ δ', ἔφη, ἄλλα ἑκατὸν δάνεισον· ἐγὼ δέ σοι ὑπισχνοῦμαι, ἢν ὁ Θεὸς εὖ διδῷ, ἀνθ' ὧν ἂν ἐμοὶ δανείσῃς, ἢ ἄλλα πλείονος ἄξια εὐεργετήσειν, ἢ τὰ χρήματα ἀπαριθμήσειν, ἢν δύνωμαι· ἢν δὲ μὴ δύνωμαι, ἀδύνατος ἂν φανοίμην, οἶμαι, ἄδικος δ' οὐκ ἂν δικαίως κρινοίμην. 35. Καὶ ὁ Ἀρμένιος, Πρὸς τῶν Θεῶν, ἔφη, ὦ Κῦρε, μὴ οὕτω λέγε· εἰ δὲ μή, οὐ θαῤῥοῦντά με ἕξεις· ἀλλὰ νόμιζε, ἔφη, ἃ ἂν καταλίπῃς, μηδὲν ἧττον σὰ εἶναι, ὧν ἂν ἔχων ἀπίῃς. Εἶεν, ἔφη ὁ Κῦρος· ὥστε δὲ τὴν γυναῖκα ἀπολαβεῖν, πόσα ἄν μοι χρήματα δῴης; Ὁπόσα ἂν δυναίμην, ἔφη. Τί δαί, ὥστε τοὺς παῖδας; Καὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ταῦτα μὲν ἤδη διπλάσια τῶν ὄντων. 36. Σὺ δέ, ἔφη, ὦ Τιγράνη, λέγον μοι, πόσου ἂν πρίαιο, ὥστε τὴν γυναῖκα ἀπολαβεῖν. (Ὁ δὲ ἐτύγχανε νεόγαμός τε ὢν, καὶ ὑπερφιλῶν τὴν γυναῖκα.) Ἐγὼ μέν, ἔφη, ὦ Κῦρε, κἂν τῆς ψυχῆς πριαίμην, ὥστε μήποτε λατρεῦσαι ταύτην. 37. Σὺ μὲν τοίνυν, ἔφη, ἀπάγου τὴν σήν· οὐδὲ γὰρ εἰλῆφθαι ἔγωγε αἰχμάλωτον ταύτην νομίζω, σοῦ γε μὴ πώποτε φυγόντος ἡμᾶς. Καὶ σὺ δέ, ὦ Ἀρμένιε, ἀπάγου τήν τε γυναῖκα καὶ τοὺς παῖδας, μηδὲν αὐτῶν καταθείς· ἵνα εἰδῶσιν, ὅτι ἐλεύθεροι πρός σε ἀπέρχονται. Καὶ νῦν μέν, ἔφη, δειπνεῖτε παῤ ἡμῖν· δειπνήσαντες δὲ ἀπελαύνετε, ὅποι ὑμῖν θυμός. Οὕτω δὴ κατέμειναν.

38. Διασκηνούντων δὲ μετὰ τὸ δεῖπνον, ἐπήρετο ὁ Κῦρος· Εἰπέ μοι, ἔφη, ὦ Τιγράνη, ποῦ δὴ ἐκεῖνός ἐστιν ὁ ἀνὴρ, ὃς συνεθήρα ἡμῖν, καὶ σύ μοι μάλα ἐδόκεις θαυμάζειν αὐτόν. Οὐ γὰρ, ἔφη, ἀπέκτεινεν αὐτὸν οὗτοσὶ ὁ ἐμὸς πατήρ; Τί λαβὼν ἀδικοῦντα; Διαφθείρειν αὐτὸν ἔφη ἐμέ. Καίτοι γ', ἔφη, ὦ Κῦρε, οὕτω καλὸς κἀγαθὸς ἦν ἐκεῖνος, ὡς καὶ, ὅτε ἀποθνήσκειν ἔμελλε, προσκαλέσας με εἶπε· Μή τι σὺ, ὦ Τιγράνη, ἔφη, ὅτι ἀποκτείνει με, χαλεπανθῇς τῷ πατρί· οὐ γὰρ κακονοίᾳ τινὶ τοῦτο ποιεῖ, ἀλλ' ἀγνοίᾳ· ὁπόσα δὲ ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρτάνουσι, πάντα ἀκούσια ταῦτ' ἔγωγε νομίζω.

39. Ὁ μὲν δὴ Κῦρος ἐπὶ τούτοις εἶπε, Θεῦ τοῦ ἀνδρός. Ὁ δὲ Ἀρμένιος ἔλεξεν οὕτως· Ὦ Κῦρε, οὐδ' οἱ ταῖς ἑαυτῶν γυναιξὶ λαμβάνοντες συνόντας ἀλλοτρίους ἄνδρας, οὐ τοῦτο αἰτιώμενοι αὐτοὺς κατακτείνουσιν, ὡς ἀφρονεστέρας ποιοῦντας τὰς γυναῖκας· ἀλλὰ νομίζοντες ἀφαιρεῖσθαι αὐτὰς τὴν πρὸς ἑαυτοὺς φιλίαν, διὰ τοῦτο ὡς πολεμίοις αὐτοῖς χρῶνται. Καὶ ἐγὼ ἐκείνῳ, ἔφη, ἐφθόνησα, ὅτι μοι ἐδόκει τὸν ἐμὸν υἱὸν ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν, ἢ ἐμέ.

40. Καὶ ὁ Κῦρος εἶπε, Ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ἔφη, ὦ Ἀρμένιε, ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν· καὶ σὺ, ὦ Τιγράνη, συγγίγνωσκε τῷ πατρί. Τότε μὲν δὴ τοιαῦτα διαλεχθέντες καὶ φιλοφρονηθέντες, ὥσπερ εἰκὸς ἐκ συναλλαγῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξὶν, ἀπήλαυνον εὐφραινόμενοι.

41. Ἐπεὶ δ' ἦλθον οἴκαδε, ἔλεγον τοῦ Κύρου ὅ μὲν

τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πραότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. Ἔνθα δὴ ὁ Τιγράνης ἐπήρετο τὴν γυναῖκα, Ἦ καὶ σοὶ, ἔφη, ὦ Ἀρμενία, καλὸς ἐδόκει ὁ Κῦρος εἶναι; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐκεῖνον ἐθεώμην. Ἀλλὰ τίνα μήν; ἔφη ὁ Τιγράνης. Τὸν εἰπόντα, νὴ Δία, ὡς τῆς αὐτοῦ ψυχῆς ἂν πρίαιτο, ὥστε μή με δουλεύειν. Τότε μὲν δὴ, ὥσπερ εἰκὸς ἐκ τοιούτων, ἀνεπαύοντο σὺν ἀλλήλοις.

42. Τῇ δ' ὑστεραίᾳ ὁ Ἀρμένιος Κύρῳ μὲν καὶ τῇ στρατιᾷ πάσῃ ξένια ἔπεμπε· προεῖπε δὲ τοῖς ἑαυτοῦ, οὓς δεήσοι στρατεύεσθαι, εἰς τρίτην ἡμέραν παρεῖναι· τὰ δὲ χρήματα, ὧν εἶπεν ὁ Κῦρος, διπλάσια ἀπηρίθμησεν. Ὁ δὲ Κῦρος, ὅσα εἶπε λαβὼν, τὰ ἄλλα ἀπέπεμψεν· ἤρετο δὲ, πότερος ἕσται ὁ τὸ στράτευμα ἄγων, ὁ παῖς, ἢ αὐτός. Εἰπέτην δὲ ἅμα, ὁ μὲν πατὴρ οὕτως, Ὁπότερον ἂν σὺ κελεύῃς· ὁ δὲ παῖς οὕτως, Ἐγὼ μὲν οὐκ ἀπολείψομαί σου, ὦ Κῦρε, οὐδ' ἂν σκευοφόρον ἐμὲ δέῃ σοι συνακολουθεῖν. 43. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπε, Καὶ ἐπὶ πόσῳ ἂν ἐθέλοις, ἔφη, τὴν γυναῖκά σου ἀκοῦσαι, ὅτι σκευοφορεῖς; Ἀλλ' οὐδέν, ἔφη, ἀκούειν δεήσει αὐτήν· ἄξω γάρ· ὥστε ὁρᾶν ἐξέσται αὐτῇ, ὅ τι ἂν ἐγὼ πράττω. Ὥρα ἂν, ἔφη, συσκευάζεσθαι ὑμῖν εἴη Νόμιζε, ἔφη, συνεσκευασμένους παρέσεσθαι, ὅ τι ἂν ὁ πατὴρ δῷ. Τότε μὲν δὴ ξενισθέντες οἱ στρατιῶται ἐκοιμήθησαν.

CAP. II.

1. Τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν ὁ Κῦρος τὸν Τιγράνην, καὶ τῶν Μήδων ἱππέων τοὺς κρατίστους, καὶ τῶν ἑαυτοῦ φίλων ὁπόσους καιρὸς ἐδόκει εἶναι, περιελαύνων τὴν χώραν κατεθεᾶτο, σκοπῶν, οὗ τειχισθείη φρούριον. Καὶ ἐπ' ἄκρον τι ἐλθὼν, ἐπηρώτα τὸν Τιγράνην, ποῖα ἂν εἴη τῶν ὀρέων, ὁπόθεν οἱ Χαλδαῖοι καταθέοντες ληΐζονται. Καὶ ὁ Τιγράνης ἐδείκνυεν. Ὁ δὲ πάλιν ἤρετο, Νῦν δὲ ταῦτα τὰ ὄρη ἔρημά ἐστιν; Οὐ μὰ Δί', ἔφη, ἀλλ' ἀεὶ σκοποὶ εἰσιν ἐκείνων, οἳ σημαίνουσι τοῖς ἄλλοις, ὅ τι ἂν ὁρῶσι. Τί οὖν, ἔφη, ποιοῦσιν, ἐπὰν αἴσθωνται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα, ὡς ἂν ἕκαστος δύνηται. 2. Ταῦτα μὲν δὴ ὁ Κῦρος ἠκηκόει· σκοπῶν δὲ κατενόει πολλὴν τῆς χώρας τοῖς Ἀρμενίοις ἔρημον καὶ ἀργὸν οὖσαν διὰ τὸν πόλεμον. Καὶ τότε μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, καὶ δειπνήσαντες ἐκοιμήθησαν. 3. Τῇ δ' ὑστεραίᾳ αὐτός τε ὁ Τιγράνης παρῆν συνεσκευασμένος, καὶ εἰς τετρακισχιλίους ἱππεῖς συνελέγοντο αὐτῷ, καὶ τοξόται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι. Ὁ δὲ Κῦρος, ἐν ᾧ συνελέγοντο, ἐθύετο· ἐπεὶ δὲ καλὰ ἦν τὰ ἱερὰ αὐτῷ, συνεκάλεσε τούς τε τῶν Περσῶν ἡγεμόνας, καὶ τοὺς τῶν Μήδων. 4. Ἐπεὶ δὲ ὁμοῦ ἦσαν, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα, ἃ ὁρῶμεν, Χαλδαίων· εἰ δὲ ταῦτα καταλάβοιμεν, καὶ ἐπ' ἄκρου γένοιτο τὸ ἡμέτερον φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη πρὸς ἡμᾶς καὶ ἀμφοτέροις, τοῖς τε Ἀρμενίοις

καὶ τοῖς Χαλδαίοις. Τὰ μὲν οὖν ἱερὰ καλὰ ἡμῖν· ἀνθρωπίνη δὲ προθυμία εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα σύμμαχον ἂν γένοιτο, ὡς τάχος. Ἢν γὰρ φθάσωμεν, πρὶν τοὺς πολεμίους συλλεγῆναι, ἀναβάντες, ἢ παντάπασιν ἁμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον, ἢ ὀλίγοις τε καὶ ἀσθενέσι χρησαίμεθα ἂν πολεμίοις. 5. Τῶν οὖν πόνων οὐδεὶς ῥᾴων, οὐδὲ ἀκινδυνότερος, ἔφη, ἐστὶ, τοῦ νῦν καρτερῆσαι σπεύδοντας. Ἴτε οὖν ἐπὶ τὰ ὅπλα. Καὶ ὑμεῖς μὲν, ὦ Μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν πορεύεσθε· ὑμεῖς δὲ, ὦ Ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ δὲ ἡμίσεις ἔμπροσθεν ἡμῶν ἡγεῖσθε· ὑμεῖς δὲ, ὦ ἱππεῖς, ὄπισθεν ἕπεσθε, διακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς· ἢν δέ τις μαλακύνηται, μὴ ἐπιτρέπετε. 6. Ταῦτ' εἰπὼν ὁ Κῦρος, ἡγεῖτο, ὀρθίους ποιησάμενος τοὺς λόχους. Οἱ δὲ Χαλδαῖοι, ὡς ἔγνωσαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν τε τοῖς ἑαυτῶν, καὶ συνεβόων ἀλλήλοις, καὶ συνηθροίζοντο. Ὁ δὲ Κῦρος παρηγγύα· Ἄνδρες Πέρσαι, ἡμῖν σημαίνουσι σπεύδειν. Ἢν γὰρ φθάσωμεν ἄνω γενόμενοι, οὐδὲν τὰ τῶν πολεμίων δυνήσεται.

7. Εἶχον δὲ οἱ Χαλδαῖοι γέρρα τε καὶ παλτὰ δύο· καὶ πολεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν χώραν εἶναι· καὶ μισθοῦ στρατεύονται, ὁπόταν τις αὐτῶν δέηται, διὰ τὸ πολεμικοί τε καὶ πένητες εἶναι· καὶ γὰρ ἡ χώρα αὐτοῖς ὀρεινή τέ ἐστι, καὶ ὀλίγη ἡ τὰ χρήματα ἔχουσα. 8. Ὡς δὲ μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ τὸν Κῦρον τῶν ἄκρων, ὁ Τι-

γράνης σὺν τῷ Κύρῳ πορευόμενος εἶπεν, Ὦ Κῦρε, ἆρ' οἶσθ', ἔφη, ὅτι αὐτοὺς ἡμᾶς αὐτίκα μάλα δεήσει μάχεσθαι; ὡς οἵ γε Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους. Καὶ ὁ Κῦρος εἰπών, ὅτι εἰδείη τοῦτο, εὐθὺς παρηγγύησε τοῖς Πέρσαις παρασκευάζεσθαι, ὡς αὐτίκα δεῆσον ἐπιδιώκειν, ἐπειδὰν ὑπαγάγωσι τοὺς πολεμίους ὑποφεύγοντες οἱ Ἀρμένιοι, ὥστ' ἐγγὺς ἡμῖν γενέσθαι. 9. Οὕτω δὴ ἡγοῦντο μὲν οἱ Ἀρμένιοι· τῶν δὲ Χαλδαίων οἱ παρόντες, ὡς ἐπλησίαζον οἱ Ἀρμένιοι, ταχὺ ἀλαλάξαντες ἔθεον, ὥσπερ εἰώθεσαν, ἐπ' αὐτούς· οἱ δὲ Ἀρμένιοι, ὥσπερ εἰώθεσαν, οὐκ ἐδέχοντο. 10. Ὡς δὲ διώκοντες οἱ Χαλδαῖοι εἶδον ἐναντίους μαχαιροφόρους ἱεμένους ἄνω, οἱ μέν τινες αὐτοῖς πελάσαντες ταχὺ ἀπέθνησκον, οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν. Ταχὺ δὲ εἶχετο τὰ ἄκρα. Ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν Κῦρον, καθεώρων τε τῶν Χαλδαίων τὰς οἰκήσεις, καὶ ᾐσθάνοντο φεύγοντας αὐτοὺς ἐκ τῶν ἐγγὺς οἰκήσεων. 11. Ὁ δὲ Κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποιεῖσθαι παρήγγειλεν. Ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθὼν, ἔνθα αἱ σκοπαὶ ἦσαν αἱ τῶν Χαλδαίων, ἐρυμνόν τε ὂν καὶ ἔνυδρον, εὐθὺς ἐτείχιζε φρούριον· καὶ τὸν Τιγράνην ἐκέλευσε πέμπειν ἐπὶ τὸν πατέρα, καὶ κελεύειν παραγενέσθαι, ἔχοντα, ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοδόμοι. Ἐπὶ μὲν δὴ τὸν Ἀρμένιον ᾤχετο ἄγγελος· ὁ δὲ Κῦρος τοῖς παροῦσιν ἐτείχιζεν.

12. Ἐν δὲ τούτῳ προσάγουσι τῷ Κύρῳ τοὺς αἰχμα-

λώτους δεδεμένους, τοὺς δέ τινας καὶ τετρωμένους. 12. Ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους, τοὺς δὲ τετρωμένους, ἰατροὺς καλέσας, θεραπεύειν ἐκέλευσεν· ἔπειτα δὲ ἔλεξε τοῖς Χαλδαίοις, ὅτι ἥκοι οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους, οὔτε πολεμεῖν δεύμενος, ἀλλ' εἰρήνην ποιῆσαι βουλόμενος Ἀρμενίοις καὶ Χαλδαίοις. Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ', ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης· τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν Ἀρμενίων ἤγετε καὶ ἐφέρετε· νῦν δ' ὁρᾶτε δή, ἐν οἵῳ ἐστέ. 13. Ἐγὼ οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι ὑμῖν σὺν τοῖς ἄλλοις Χαλδαίοις βουλεύσασθαι, εἴτε βούλεσθε πολεμεῖν ἡμῖν, εἴτε φίλοι εἶναι. Κἂν μὲν πόλεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σωφρονεῖτε· ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἄνευ ὅπλων ἥκετε· ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γένησθε, ἐμοὶ μελήσει. 14. Ἀκούσαντες δὲ ταῦτα οἱ Χαλδαῖοι, πολλὰ μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι τὸν Κῦρον, ᾤχοντο οἴκαδε.

Ὁ δὲ Ἀρμένιος, ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ τἄλλα, ὅσων ᾤετο δεῖν, ἦκε πρὸς τὸν Κῦρον ὡς ἠδύνατο τάχιστα. 15. Ἐπεὶ δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ Κῦρε, ὡς ὀλίγα δυνάμενοι προορᾶν ἄνθρωποι περὶ τοῦ μέλλοντος, πολλὰ ἐπιχειροῦμεν πράττειν. Νῦν γὰρ δὴ καὶ ἐγὼ, ἐλευθερίαν μὲν μηχανᾶσθαι ἐπιχειρήσας, δοῦλος, ὡς οὐδεπώποτε, ἐγενόμην· ἐπεὶ δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες, νῦν

ἀναφαινόμεθα σεσωσμένοι, ὡς οὐδεπώποτε. Οἳ γὰρ οὐδεπώποτε ἐπαύοντο πολλὰ κακὰ ἡμᾶς ποιοῦντες, νῦν ὁρῶ τούτους ἔχοντας, ὥσπερ ἐγὼ ηὐχόμην. 16. Καὶ τοῦτο ἐπίστω, ἔφη, ὦ Κῦρε, ὅτι ἐγὼ, ὥστε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν ἔδωκα χρήματα, ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ· καὶ ἃ ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς, ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη· ὥστε καὶ προσοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν, ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἄν σοι μὴ ἀποδιδόντες· οὓς καὶ ἀποδιδόντες οὐδὲν ὄξιον οὐδ' οὕτω πρὸς εὐεργέτην καταλαμβανόμεθα τοσοῦτον ποιοῦντες. 17. Ὁ μὲν Ἀρμένιος ταῦτ' ἔλεξεν.

Οἱ δὲ Χαλδαῖοι ἦκον δεόμενοι τοῦ Κύρου, εἰρήνην σφίσι ποιῆσαι. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς· Ἄλλου του, ἔφη, ὦ Χαλδαῖοι, ἢ τούτου γε ἕνεκα, εἰρήνης νῦν ἐπιθυμεῖτε, ὅτι νομίζετε ἀσφαλέστερον ἂν δύνασθαι ζῆν, εἰρήνης γενομένης, ἢ πολεμοῦντες, ἐπεὶ ἡμεῖς τἄκρα τάδ' ἔχομεν; Ἔφασαν οἱ Χαλδαῖοι. 18. Καὶ ὃς, Τί οὖν, ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προσγένοιτο διὰ τὴν εἰρήνην; Ἔτι ἄν, ἔφασαν, μᾶλλον εὐφραινοίμεθα. Ἄλλο τι οὖν, ἔφη, ἢ διὰ τὸ γῆς σπανίζειν ἀγαθῆς, νῦν πένητες νομίζετ' εἶναι; Συνέφασαν καὶ τοῦτο. Τί οὖν; ἔφη ὁ Κῦρος, βούλοισθ' ἂν ἀποτελοῦντες, ὅσαπερ οἱ ἄλλοι Ἀρμένιοι, ἐξεῖναι ὑμῖν, τῆς Ἀρμενίας γῆς ἐργάζεσθαι, ὁπόσην ἂν θέλητε; Ἔφασαν οἱ Χαλδαῖοι, εἰ πιστεύοιμεν μὴ ἀδικήσεσθαι. 19. Τί δὲ σὺ, ἔφη, ὦ

Ἀρμένιε; βούλοιο ἂν σοὶ τὴν νῦν ἀργὸν οὖσαν γῆν ἐνεργὸν γενέσθαι, εἰ μέλλοιεν τὰ νομιζόμενα παρὰ σοὶ ἀποτελεῖν οἱ ἐργαζόμενοι; Ἔφη ὁ Ἀρμένιος πολλοῦ ἂν τοῦτο πρίασθαι· πολὺ γὰρ ἂν αὔξανεσθαι τὴν πρόσοδον. 20. Τί δ' ὑμεῖς, ἔφη, ὦ Χαλδαῖοι; ἐπεὶ ὅρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ' ἂν ἐᾶν νέμειν ταῦτα τοὺς Ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ νέμοντες τὰ δίκαια ἀποτελεῖν; Ἔφασαν οἱ Χαλδαῖοι· πολλὰ γὰρ ἂν ὠφελεῖσθαι, οὐδὲν πονοῦντας. Σὺ δὲ, ἔφη, ὦ Ἀρμένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλλοις, μικρὰ ὠφελῶν Χαλδαίους, πολὺ πλείω ὠφεληθήσεσθαι; Καὶ σφόδρα ἂν, ἔφη, εἴπερ οἰοίμην ἀσφαλῶς νέμειν. Οὐκοῦν, ἔφη, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα; Ἔφη ὁ Ἀρμένιος. 21. Ἀλλὰ μὰ Δί', ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ' ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν. Εἰ δ' ὑμῖν αὖ, ἔφη, τὰ ἄκρα σύμμαχα εἴη; Οὕτως ἄν, ἔφασαν, ἡμῖν καλῶς ἔχοι. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Ἀρμένιος, οὐκ ἂν ἡμῖν αὖ καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ ἄκρα, ἄλλως τε καὶ τετειχισμένα. 22. Καὶ ὁ Κῦρος εἶπεν, Οὐτωσὶ τοίνυν, ἔφη, ἐγὼ ποιήσω· οὐδετέροις ὑμῶν τὰ ἄκρα παραδώσω, ἀλλὰ ἡμεῖς φυλάξομεν αὐτά· κἂν ἀδικῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα.

23. Ὡς δ' ἤκουσαν ταῦτα ἀμφότεροι, ἐπῄνεσαν, καὶ ἔλεγον, ὅτι οὕτως ἂν μόνως ἡ εἰρήνη βεβαία γένοιτο. Καὶ ἐπὶ τούτοις ἔδοσαν καὶ ἔλαβον πάντες τὰ πιστά·

καὶ ἐλευθέρους μὲν ἀμφοτέρους ἀπ᾽ ἀλλήλων εἶναι συνετίθεντο, ἐπιγαμίας δ᾽ εἶναι, καὶ ἐπεργασίας, καὶ ἐπινομίας· καὶ συμμαχίαν δὲ κοινὴν, εἴ τις ἀδικοίη ὁποτερουςοῦν. 24. Οὕτω μὲν τότε διεπράχθη· καὶ νῦν δὲ ἔτι οὕτω διαμένουσιν αἱ τότε γενόμεναι συνθῆκαι Χαλδαίοις καὶ τῷ τὴν Ἀρμενίαν ἔχοντι. Ἐπεὶ δὲ αἱ συνθῆκαι ἐγένοντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι προθύμως ὡς κοινὸν φρούριον, καὶ τὰ ἐπιτήδεια συνεισῆγον. 25. Ἐπεὶ δὲ ἐσπέρα προσῆει, συνδεῖπνους ἔλαβιν ἀμφοτέρους πρὸς ἑαυτὸν, ὡς φίλους ἤδη. Συσκηνούντων δὲ, εἶπέ τις τῶν Χαλδαίων, ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶσιν εὐκτὰ ταῦτα εἴη· εἰσὶ δὲ τινὲς τῶν Χαλδαίων, οἳ λῃζόμενοι ζῶσι, καὶ οὔτ᾽ ἂν ἐπίσταιντο ἐργάζεσθαι, οὔτ᾽ ἂν δύναιντο, εἰθισμένοι ἀπὸ πολέμου βιοτεύειν· διὰ γὰρ ἐλῃΐζοντο ἢ ἐμισθοφόρουν, πολλάκις μὲν παρὰ τῷ τῶν Ἰνδῶν βασιλεῖ, (καὶ γὰρ, ἔφασαν, πολύχρυσος ὁ ἀνὴρ) πολλάκις δὲ καὶ παρ᾽ Ἀστυάγει. 26. Καὶ ὁ Κῦρος ἔφη, Τί οὖν οὐ καὶ νῦν παρ᾽ ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω, ὅσον τὶς καὶ ἄλλος πλεῖστον δήποτε ἔδωκε. Συνέφασάν οἱ, καὶ πολλοὺς γε ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας.

27. Καὶ ταῦτα μὲν δὴ οὕτω συνωμολογεῖτο. Ὁ δὲ Κῦρος ὡς ἤκουσεν, ὅτι πρὸς τὸν Ἰνδὸν πολλάκις οἱ Χαλδαῖοι ἐπορεύοντο, ἀναμνησθεὶς, ὅτι ἦλθον παρ᾽ αὐτοῦ κατασκεψόμενοι εἰς Μῆδους τὰ αὐτῶν πράγματα, καὶ ᾤχοντο πρὸς τοὺς πολεμίους, ὅπως αὖ

καὶ τὰ ἐκείνων κατίδωσιν, ἐβούλετο μαθεῖν τὸν Ἰνδὸν τὰ αὐτῷ πεπραγμένα. 28. Ἤρξατο οὖν λόγου τοιοῦδε· Ὦ Ἀρμένιε, ἔφη, καὶ ὑμεῖς οἱ Χαλδαῖοι, εἰπατέ μοι, εἴ τινα ἐγὼ νῦν τῶν ἐμῶν ἀποστέλλοιμι πρὸς τὸν Ἰνδὸν, συμπέμψαιτ' ἄν μοι τῶν ὑμετέρων, οἵτινες αὐτῷ τήν τε ὁδὸν ἡγοῖντο ἄν, καὶ συμπράττοιεν, ὥστε γενέσθαι ἡμῖν παρὰ τοῦ Ἰνδοῦ, ἃ ἐγὼ βούλομαι; ἐγὼ γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι, οἷς ἂν δέῃ, καὶ τιμᾶν καὶ δωρεῖσθαι τῶν στρατευομένων τοὺς ἀξίους· τούτων μὲν δὴ ἕνεκα βούλομαι ὡς ἀφθονώτατα χρήματα ἔχειν· δεῖσθαι δὲ τούτων νομίζω. Τῶν μὲν ὑμετέρων ἡδύ μοι φείδεσθαι· φίλους γὰρ ὑμᾶς ἤδη νομίζω· παρὰ δὲ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. 29. Ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε, λέξει ὧδε· Ἔπεμψέ με Κῦρος, ὦ Ἰνδέ, πρός σε· φησὶ δὲ προσδεῖσθαι χρημάτων, προσδεχόμενος καὶ ἄλλην στρατιὰν οἴκοθεν ἐκ Περσῶν· (καὶ γὰρ προσδέχομαι, ἔφη) ἢν οὖν αὐτῷ πέμψῃς, ὁπόσα σοι προχωρεῖ, φησὶν, ἢν Θεὸς ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥστε σε νομίζειν καλῶς βεβουλεῦσθαι, χαρισάμενον αὐτῷ. 30. Ταῦτα μὲν ὁ παρ' ἐμοῦ λέξει· τοῖς δὲ παρ' ὑμῶν ὑμεῖς αὖ ἐπιστέλλετε, ὅ τι ὑμῖν δοκεῖ συμφέρον εἶναι. Καὶ ἢν μὲν λάβωμεν, ἔφη, παρ' αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα· ἢν δὲ μὴ λάβωμεν, εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ'

ἐξέσται ἡμῖν, ἐκείνου ἕνεκα, πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. 31. Ταῦτ' εἶπεν ὁ Κῦρος, νομίζων τοὺς ἰόντας Ἀρμενίων καὶ Χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους καὶ λέγειν καὶ ἀκούειν περὶ αὐτοῦ. Καὶ τότε μὲν δὴ, ὁπότε καλῶς εἶχε, διαλύσαντες τὴν σκηνὴν, ἀνεπαύοντο.

CAP. III.

1. Τῇ δ' ὑστεραίᾳ ὅ τε Κῦρος ἔπεμπε τὸν ἄγγελον, ἐπιστείλας ὅσαπερ ἔφη, καὶ ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι συνέπεμπον, οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι καὶ συμπρᾶξαι καὶ εἰπεῖν περὶ τοῦ Κύρου τὰ προσήκοντα.

Ἐκ δὲ τούτου παρασκευάσας ὁ Κῦρος τὸ φρούριον καὶ φύλαξιν ἱκανοῖς καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτῶν καταλιπὼν Μῆδον, ὃν ᾤετο Κυαξάρει ἂν μάλιστα χαρίσασθαι, ἀπῆει συλλαβὼν τὸ ἕτερον στράτευμα, ὅσον τε ἦλθεν ἔχων, καὶ ὃ παρ' Ἀρμενίων προσέλαβε, καὶ τοὺς παρὰ Χαλδαίων, εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ ξυμπάντων τῶν ἄλλων κρείττονες εἶναι.

2. Ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον Ἀρμενίων, οὔτε ἀνὴρ, οὔτε γυνὴ, ἀλλὰ πάντες ὑπήντων, ἡδόμενοι τῇ εἰρήνῃ, καὶ φέροντες, καὶ ἄγοντες, εἴ τι ἕκαστος ἄξιον εἶχε. Καὶ ὁ Ἀρμένιος τούτοις οὐκ ἤχθετο, οὕτως ἂν νομίζων καὶ τὸν Κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. Τέλος

δ' οὖν ὑπήντησε καὶ ἡ γυνὴ τοῦ Ἀρμενίου, τὰς θυγατέρας ἔχουσα καὶ τὸν νεώτερον υἱόν· καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ Κῦρος. 3. Καὶ ὁ Κῦρος ἰδών, εἶπεν, Ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιῲόντα εὐεργετεῖν· ἀλλὰ σὺ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα, ἃ φέρεις, ἄπιθι, καὶ τῷ μὲν Ἀρμενίῳ μηκέτι δὸς αὐτὰ κατορύξαι· ἔκπεμψον δὲ τὸν σὸν υἱόν, ὡς κάλλιστα ἀπ' αὐτῶν κατασκευάσασα, ἐπὶ τὴν στρατείαν· ἀπὸ δὲ τῶν λοιπῶν κτῶ καὶ σαυτῇ, καὶ τῷ ἀνδρὶ, καὶ ταῖς θυγατράσι, καὶ τοῖς υἱοῖς, ὅ τι κεκτημένοι καὶ κεκοσμημένοι κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε· εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήσῃ, κατακρύπτειν. 4. Ὁ μὲν ταῦτα εἰπὼν παρήλασεν· ὁ δὲ Ἀρμένιος συμπροὔπεμπε, καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. Καὶ ταῦτ' ἐποίουν, ἕως ἐκ τῆς χώρας ἐξέπεμψαν. Συναπέστειλε δὲ αὐτῷ ὁ Ἀρμένιος καὶ στρατιὰν πλείονα, ὡς εἰρήνης οἴκοι οὔσης. 5. Οὕτω δὴ ὁ Κῦρος ἀπῄει, κεχρηματισμένος, οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἑτοιμασάμενος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν, ὁπότε δέοιτο. Καὶ τότε μὲν ἐστρατοπεδεύσατο ἐν τοῖς μεθορίοις. Τῇ δ' ὑστεραίᾳ τὸ μὲν στράτευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην, (ὁ δὲ πλησίον ἦν, ὥσπερ ἔφησεν·) αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ Περσῶν τοῖς ἀρίστοις ἐθήρα, ὅπου περ ἐπιτυγχάνοιεν θηρίοις, καὶ εὐφραίνετο.

6. Ἐπεὶ δὲ ἀφίκετο εἰς Μήδους, τῶν χρημάτων ἔδωκε τοῖς ἑαυτοῦ ταξιάρχοις, ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι, ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγαιντο τῶν ὑφ' ἑαυτούς· ἐνόμιζε γὰρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. Καὶ αὐτὸς δὲ, εἴτι που καλὸν ἴδοι εἰς τὴν στρατιὰν, τοῦτο κτώμενος διεδωρεῖτο τοῖς ἀεὶ ἀξιωτάτοις· νομίζων, ὅ τι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. 7. Νίκα δὲ αὐτοῖς διεδίδου, ὧν ἔλαβεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιάρχων, καὶ λοχαγῶν, καὶ πάντων, οὓς ἐτίμα·

Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τις νῦν παρεῖναι, καὶ ὅτι εὐπορία τις προσγεγένηται, καὶ ὅτι ἔχομεν, ἀφ' ὧν τιμᾶν ἔξομεν, οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι, ὡς ἂν ἕκαστος ἄξιος ᾖ. 8. Πάντως δὴ ἀναμιμνησκώμεθα, τὰ ποῖα ἅττα ἔργα τούτων τῶν ἀγαθῶν ἐστὶν αἴτια· σκοπούμενοι γὰρ εὑρήσετε, τό τε ἀγρυπνῆσαι, ὅπου ἔδει, καὶ τὸ πονῆσαι, καὶ τὸ σπεῦσαι, καὶ τὸ μὴ εἶξαι τοῖς πολεμίοις. Οὕτως οὖν χρὴ καὶ τολοιπὸν ἄνδρας ἀγαθοὺς εἶναι, γιγνώσκοντας, ὅτι τὰς μεγάλας ἡδονὰς καὶ τὰ ἀγαθὰ τὰ μεγάλα ἡ πειθὼ, καὶ ἡ καρτερία, καὶ οἱ ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται.

9. Κατανοῶν δὲ ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ στρατιῶται, πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς, πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων. ἐπιστήμονες δὲ ἦσαν τὰ

προσήκοντα τῇ ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους· ἐκ τούτων οὖν ἐπεθύμει τι ἤδη πρὸς τοὺς πολεμίους πράττειν· γιγνώσκων, ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι καὶ τῆς καλῆς παρασκευῆς ἀλλοιοῦταί τι. 10. Ἔτι δ' ὁρῶν, ὅτι φιλοτίμως ἔχοντες, ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τῶνδε ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τάχιστα· εἰδὼς, ὅτι οἱ κοινοὶ κίνδυνοι φιλοφρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους, καὶ οὐκέτι ἐν τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις φθονοῦσιν, οὔτε τοῖς δόξης ἐφιεμένοις, ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους· νομίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. 11. Οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιάν, καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα· ἔπειτα δὲ συνεκάλεσε μυριάρχους, καὶ χιλιάρχους, καὶ ταξιάρχους, καὶ λοχαγούς. Οὗτοι γὰρ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακτικοῖς ἀριθμοῖς· καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατηγῷ, ἢ παραγγέλλειν τὶ, οὐδ' ὡς οὐδὲν ἄναρχον κατελείπετο, ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα τὰ καταλειπόμενα διεκοσμεῖτο. 12. Ἐπεὶ δὲ συνῆλθον οἱ ἐπικαίριοι, παράγων αὐτοὺς, ἐπεδείκνυέ τε αὐτοῖς τὰ καλῶς ἔχοντα, καὶ ἐδίδασκεν, ᾗ ἕκαστον ἰσχυρὸν ἦν τῶν συμμαχικῶν. Ἐπεὶ δὲ κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τι, εἶπεν αὐτοῖς, νῦν

μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς ἑαυτοῦ, ἅπερ αὐτὸς ἐκείνους, καὶ πειρᾶσθαι αὐτοὺς ἐπιθυμίαν ἐμβαλεῖν πᾶσι τοῦ στρατεύεσθαι, ὅπως εὐθυμότατα πάντες ἐξορμῶνται, πρωῒ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρους θύρας. 13. Τότε μὲν δὴ ἀπιόντες οὕτως ἐποίουν· τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. Σὺν τούτοις οὖν ὁ Κῦρος εἰσελθὼν πρὸς τὸν Κυαξάρην, ἤρξατο λόγου τοιοῦδε·

Οἶδα μέν, ἔφη, ὦ Κυαξάρη, ὅτι, ἃ μέλλω λέγειν, σοὶ πάλαι δοκεῖ οὐδὲν ἧττον, ἢ ἡμῖν· ἀλλ' ἴσως αἰσχύνῃ λέγειν ταῦτα, μὴ δοκῇς ἀχθόμενος, ὅτι τρέφεις ἡμᾶς, ἐξόδου μεμνῆσθαι. 14. Ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν. Ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευάσμεθα, μή, ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν χώραν, τότε μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς ὑπομένειν, ἀλλ' ἐέναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. 15. Νῦν μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες, πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες· ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν ἡδόμενοι. 16. Ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις, πολλὰ δαπανῶν· ἢν δ' ἐκστρατεύώμεθα, θρεψόμεθα ἐκ τῆς πολεμίας. 17. Ἔτι δὲ, εἰ μὲν μείζων τις ἡμῖν κίνδυνος ἔμελλεν εἶναι ἐκεῖ, ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρετέον. Νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἐάν τε ἐνθάδε ὑπομένωμεν, ἐάν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν αὐτοῖς· ἴσοι δὲ ἡμεῖς ὄντες μαχούμεθα, ἢν τε ἐν-

θάδε ἐπιόντας αὐτοὺς δεχώμεθα, ἤν τε ἐπ' ἐκείνους ἰόντες τὴν μάχην συνάπτωμεν. 18. Πολὺ μέντοι ἡμεῖς βελτίοσι καὶ ἐῤῥωμενεστέραις ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθροὺς, καὶ μὴ ἄκοντες δοκῶμεν ὁρᾶν τοὺς πολεμίους· πολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοβηθήσονται, ὅταν ἀκούσωσιν, ὅτι οὐχ ὡς φοβούμενοι πτήσσομεν αὐτοὺς οἶκοι καθήμενοι, ἀλλ', ἐπεὶ αἰσθανόμεθα προσιόντας, ἀπαντῶμέν τε αὐτοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν, καὶ οὐκ ἀναμένομεν, ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται, ἀλλὰ φθάνοντες ἤδη δηοῦμεν τὴν ἐκείνων γῆν. 19. Καίτοι, ἔφη, εἴ τι ἐκείνους μὲν φοβερωτέρους ποιήσομεν, ἡμᾶς δὲ αὐτοὺς θαῤῥαλεωτέρους, πολὺ τοῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω· καὶ τὸν κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς δὲ πολεμίοις μείζω πολὺ ἂν μᾶλλον. Καὶ ὁ πατὴρ αἰεὶ λέγει, καὶ σὺ φῂς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογοῦσιν, ὡς αἱ μάχαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς, ἢ ταῖς τῶν σωμάτων ῥώμαις. 20. Ὁ μὲν οὕτως εἶπε, Κυαξάρης δὲ ἀπεκρίνατο·

Ἀλλ' ὅπως μέν, ὦ Κῦρε, καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι τρέφων ὑμᾶς, μηδ' ὑπονοεῖτε· τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν ἤδη καὶ ἐμοὶ βέλτιον εἶναι δοκεῖ πρὸς πάντα. Ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονοῦμεν, συσκευαζώμεθα, καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκατανεῦῃ, ἐξίωμεν ὡς τάχιστα. 21. Ἐκ τούτου τοῖς μὲν στρατιώταις εἰπὼν συσκευάζεσθαι ὁ Κῦρος, ἦθυε, πρῶτον μὲν Διῒ βασιλεῖ,

ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς· καὶ ἠτεῖτο, ἵλεως καὶ εὐμενεῖς ὄντας, ἡγεμόνας γίγνεσθαι τῇ στρατιᾷ, καὶ παραστάτας ἀγαθοὺς, καὶ συμμάχους, καὶ συμβούλους τῶν ἀγαθῶν. Συμπαρεκάλει δὲ καὶ ἥρωας, γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας. 22. Ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ, οἰωνοῖς χρησάμενος αἰσίοις, ἐνέβαλεν εἰς τὴν πολεμίαν. Ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλάσκετο χοαῖς, καὶ θεοὺς θυσίαις, καὶ ἥρωας Ἀσσυρίας οἰκήτορας εὐμενίζετο. Ταῦτα δὴ ποιήσας, αὖθις Διὶ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἀνεφαίνετο, οὐδενὸς ἠμέλει.

23. Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, εὐθὺς τοὺς μὲν πεζοὺς προαγαγόντες οὐ πολλὴν ὁδὸν, ἐστρατοπεδεύσαντο· τοῖς δ' ἵπποις καταδρομὴν ποιησάμενοι, περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. Καὶ τὸ λοιπὸν δὲ, μεταστρατοπεδευόμενοι, καὶ ἔχοντες ἄφθονα τὰ ἐπιτήδεια, καὶ δηοῦντες τὴν χώραν, ἀνέμενον τοὺς πολεμίους. 24. Ἡνίκα δὲ προϊόντες ἐλέγοντο οὐκέτι δέχ' ἡμερῶν ἀπέχειν ὁδὸν, τότε δὴ ὁ Κῦρος λέγει· Ὦ Κυαξάρη, ὥρα δὴ ἀπαντᾶν, καὶ μήτε τοῖς πολεμίοις δοκεῖν, μήτε τοῖς ἡμετέροις, φοβουμένους μὴ ἀντιπροσιέναι· ἀλλὰ δῆλοι ὦμεν, ὅτι οὐκ ἄκοντες μαχούμεθα. 25. Ἐπεὶ δὲ ταῦτα συνέδοξε τῷ Κυαξάρει, οὕτω δὴ ἀεὶ συντεταγμένοι προῄεσαν τοσοῦτον καθ' ἡμέραν, ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν. Καὶ δεῖπνον μὲν ἀεὶ κατὰ φῶς ἐποιοῦντο, πυρὰ δὲ νύκτωρ οὐκ ἔκαιον ἐν τῷ στρατοπέδῳ· ἔμπροσθεν μέντοι τοῦ

στρατοπέδου ἔκαιον, ὅπως ὁρῷεν μὲν, εἴ τινες νυκτὸς προσίοιεν, διὰ τὸ πῦρ, μὴ ὁρῷντο δὲ ὑπὸ τῶν προσιόντων. Πολλάκις δὲ καὶ ὄπισθε τοῦ στρατοπέδου ἐπυρπόλουν, ἀπάτης ἕνεκα τῶν πολεμίων· ὥστ' ἔστιν ὅτε καὶ κατάσκοποι ἐνέπιπτον εἰς τὰς προφυλακὰς αὐτῶν, διὰ τὸ ὄπισθεν τὰ πυρὰ εἶναι ἔτι πόρρω τοῦ στρατοπέδου οἰόμενοι εἶναι.

26. Οἱ μὲν οὖν Ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπειδὴ ἐγγὺς ἀλλήλων τὰ στρατεύματα ἐγίγνετο, τάφρον περιεβάλλοντο· ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς· ὁπόταν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν· ἴσασι γὰρ, ὅτι ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι καὶ δύσχρηστον, ἄλλως τε καὶ βάρβαρον. 27. Πεποδισμένους γὰρ ἔχουσι τοὺς ἵππους ἐπὶ ταῖς φάτναις· καὶ εἴ τις ἐπ' αὐτοὺς ἴοι, ἔργον μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ' ἐπισάξαι, ἔργον δ' ἐπιθωρακίσασθαι· ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι διὰ τοῦ στρατοπέδου παντάπασιν ἀδύνατον. Τούτων δὴ ἕνεκα πάντων καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ ἑρύματα περιβάλλονται· καὶ ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυρῷ εἶναι καὶ ἐξουσίαν παρέχειν, ὅταν βούλωνται, μὴ μάχεσθαι. 28. Τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς ἀλλήλων ἐγίγνοντο. Ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον παρασάγγην, οἱ μὲν Ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο, ὥσπερ εἴρηται, ἐν περιτεταφρευμένῳ μὲν, καταφανεῖ δέ· ὁ δὲ Κῦρος, ὡς ἐδύνατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ γεωλόφους ἐπίπροσθεν ποιησάμενος· νομίζων

πάντα τὰ πολεμικὰ, ἐξαίφνης ὁρώμενα, φοβερώτερα τοῖς ἐναντίοις εἶναι. Καὶ ἐκείνην μὲν τὴν νύκτα, ὥσπερ ἔπρεπε, προφυλακὰς ποιησάμενοι ἑκάτεροι ἐκοιμήθησαν.

29. Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀσσύριος καὶ ὁ Κροῖσος καὶ οἱ ἄλλοι ἡγεμόνες ἀνέπαυον τὰ στρατεύματα ἐν τῷ ἐχυρῷ· Κῦρος δὲ καὶ Κυαξάρης συνταξάμενοι περιέμενον, ὡς, εἰ προίοιεν οἱ πολέμιοι, μαχούμενοι. Ὡς δὲ δῆλον ἐγένετο, ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ ἐρύματος, οὐδὲ μάχην ποιήσοιντο ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν Κυαξάρης, καλέσας τὸν Κῦρον καὶ τοὺς ἄλλους τῶν ἐπικαιρίων, ἔλεξε τοιάδε· 30. Δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥσπερ τυγχάνομεν συντεταγμένοι, οὕτως ἰέναι πρὸς τὸ τῶν ἀνδρῶν ἔρυμα, καὶ δηλοῦν, ὅτι θέλομεν μάχεσθαι. Οὕτω γὰρ, ἔφη, ἐπειδὰν μὴ ἀντεπεξίωσιν ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον θαῤῥήσαντες ἀπίασιν· οἱ πολέμιοι δὲ, τὴν τόλμαν ἰδόντες ἡμῶν, μᾶλλον φοβηθήσονται. 31. Τούτῳ μὲν δὴ οὕτως ἐδόκει. Ὁ δὲ Κῦρος, Μηδαμῶς, ἔφη, πρὸς τῶν Θεῶν, ὦ Κυαξάρη, οὕτω ποιήσωμεν. Εἰ γὰρ ἤδη ἐκφανέντες πορευσόμεθα, ἢ σὺ κελεύεις, νῦν τε προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται οὐδὲν φοβούμενοι, εἰδότες, ὅτι ἐν ἀσφαλεῖ εἶσι τοῦ μηδὲν παθεῖν· ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν, καταφρονήσουσι, καὶ αὖριον ἐξίασι πολὺ ἐῤῥωμενεστέραις ταῖς γνώμαις. 32. Νῦν δ', ἔφη, εἰδότες μὲν, ὅτι πάρεσμεν, οὐχ ὁρῶντες δὲ ἡμᾶς,

εὖ τοῦτο ἐπίστω, οὐ καταφρονοῦσιν, ἀλλὰ φροντίζουσι, τί ποτε τοῦτ' ἐστὶ, καὶ διαλεγόμενοι περὶ ἡμῶν ἐγὼ οἶδ' ὅτι οὐδὲν παύονται. Ὅταν δ' ἐξίωσι, τότε δεῖ αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι, καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφότας αὐτοὺς ἔνθα πάλαι ἐβουλόμεθα. 33. Λέξαντος δὲ ταῦτα Κύρου, συνέδοξε ταῦτα καὶ Κυαξάρει καὶ τοῖς ἄλλοις. Καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φύλακας καταστησάμενοι, καὶ πυρὰ πολλὰ πρὸ τῶν φυλάκων καύσαντες, ἐκοιμήθησαν. 34. Τῇ δ' ὑστεραίᾳ πρωῒ Κῦρος μὲν ἐστεφανωμένος ἦθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις, ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς, ἔλεξεν·

Ἄνδρες, οἱ μὲν θεοὶ, ὡς οἵ τε μάντεις φασὶ, καὶ ἐμοὶ συνδοκεῖ, μάχην τ' ἔσεσθαι προαγγέλλουσι, καὶ νίκην διδόασι, καὶ σωτηρίαν προϋπισχνοῦνται ἐν τοῖς ἱεροῖς. 35. Ἐγὼ δὲ ὑμῖν μὲν παραινῶν, ὁποίους τινὰς χρὴ εἶναι ἐν τῷ τοιῷδε, αἰσχυνοίμην ἄν· οἶδα γὰρ ὑμᾶς ταὐτὰ ἐμοὶ ἐπισταμένους, καὶ ταὐτὰ μεμελετηκότας τε καὶ ἀκηκοότας καὶ ἀκούοντας διὰ τέλους, ἅπερ ἐγὼ, ὥστε καὶ ἄλλους εἰκότως ἂν διδάσκοιτε τάδε. Εἰ δὲ μὴ τυγχάνετε κατανενοηκότες, ἀκούσατε. 36. Οὓς γὰρ νεωστὶ συμμάχους τε ἔχομεν, καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν, τούτους δεῖ ὑμᾶς ὑπομιμνήσκειν, ἐφ' οἷς τε ἐτρεφόμεθα ὑπὸ Κυαξάρους, ἃ τε ἠσκοῦμεν, ἐφ' ἃ τε αὐτοὺς παρακεκλήκαμεν, ὥς τε ἄσμενοι ἀνταγωνισταὶ ἔφασαν ἡμῖν ἔσεσθαι. 37. Καὶ τούτου δὲ αὐτοὺς ὑπομιμνήσκετε, ὅτι ἥδε ἡ ἡμέρα

δεῖξει, ὧν ἄξιος ἕκαστός ἐστιν. Ὧν γὰρ ἂν ἄνθρωποι ὠφιμαθεῖς γένωνται, οὐδὲν θαυμαστὸν, εἴ τινες αὐτῶν καὶ τοῦ ὑπομνήσοντος δέοιντο· ἀλλ' ἀγαπητὸν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντο ἄνδρες ἀγαθοὶ εἶναι. 38. Καὶ ταῦτα μέντοι πράττοντες, ἅμα καὶ ὑμῶν αὐτῶν πεῖραν λήψεσθε. Ὁ μὲν γὰρ δυνάμενος ἐν τῷ τοιῷδε καὶ ἄλλους βελτίους ποιεῖν, εἰκότως ἂν ἤδη καὶ ἑαυτῷ συνειδείη τελέως ἀγαθὸς ἀνὴρ ὤν· ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων, καὶ τοῦτο ἀγαπῶν, εἰκότως ἂν ἡμιτελῆ αὐτὸν νομίζοι. 39. Τούτου δ' ἕνεκεν οὐκ ἐγὼ, ἔφη, αὐτοῖς λέγω, ἀλλὰ ὑμᾶς κελεύω λέγειν, ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶντες· ὑμεῖς γὰρ καὶ πλησιάζετε αὐτοῖς, ἕκαστος τῷ ἑαυτοῦ μέρει. Εὖ δ' ἐπίστασθε, ἔφη, ἕως ἂν θαρρῶσιν τούτοις ὑμᾶς αὐτοὺς ἐπιδεικνύητε, καὶ τούτους καὶ ἄλλους πολλοὺς οὐ λόγῳ, ἀλλ' ἔργῳ θαρρεῖν διδάξετε. 40. Τέλος εἶπεν, ἀπιόντας ἀριστεῖα ἐστεφανωμένους, καὶ σπονδὰς ποιησαμένους ἥκειν εἰς τὰς τάξεις αὐτοῖς στεφάνοις. Ἐπεὶ δ' οὗτοι ἀπῆλθον, αὖθις τοὺς οὐραγοὺς προσεκάλεσε, καὶ τούτοις αὖ τοιάδε ἔλεξεν· 41. Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε, καὶ ἐπιλελεγμένοι ἐστὲ, οὓς δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὁμοῖοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι. Καὶ τοίνυν χώραν ἔχετε, οὐδὲν ἧττον ἡμῶν ἔντιμον τῶν προστατῶν· ὑμεῖς γὰρ ὄπισθεν ὄντες τοὺς τ' ἀγαθοὺς ἂν, ἐφορῶντες καὶ ἐπικελεύοντες αὐτοῖς, ἔτι κρείττους ποιοῖτε· εἴ τέ τις μαλακίζοιτο, καὶ τοῦτον ὁρῶντες οὐκ ἂν ἐπιτρέποιτε αὐτῷ·

42. Συμφέρει δ' ὑμῖν, εἴπερ τῳ καὶ ἄλλῳ, τὸ νικᾶν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ βάρος τῆς στολῆς. Ἂν δ' ἄρα ὑμᾶς καὶ οἱ ἔμπροσθεν ἀνακαλοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς· καὶ ὅπως μηδ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπαρακελευόμενοι αὐτοῖς, θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολεμίους. Καὶ ἀπιόντες, ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς, ἥκετε σὺν τοῖς ἄλλοις ἐστεφανωμένοι εἰς τὰς τάξεις. 43. Οἱ μὲν δὴ ἀμφὶ Κῦρον ἐν τούτοις ἦσαν· οἱ δ' Ἀσσύριοι καὶ δὴ ἡριστηκότες ἐξήεσάν τε θρασέως, καὶ παρετάττοντο ἐρρωμένως. Παρέτατε δὲ αὐτοὺς ὁ βασιλεὺς, ἐφ' ἅρματος παρελαύνων, καὶ τοιάδε παρεκελεύετο·

44. Ἄνδρες Ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι. Νῦν γὰρ περὶ ψυχῶν τῶν ὑμετέρων ὁ ἀγὼν, καὶ περὶ γῆς, ἐν ᾗ ἔφυτε, καὶ περὶ οἴκων, ἐν οἷς ἐτράφητε, καὶ περὶ γυναικῶν δὲ καὶ τέκνων, καὶ περὶ πάντων ὧν πέπασθε ἀγαθῶν. Νικήσαντες μὲν γὰρ, ἅπάντων τούτων ὑμεῖς, ὥσπερ πρόσθεν, κύριοι ἔσεσθε· εἰ δὲ ἡττηθήσεσθε, εὖ ἴστε, ὅτι παραδώσετε ταῦτα πάντα τοῖς πολεμίοις. 45. Ἄτε οὖν νίκης ἐρῶντες, μένοντες μάχεσθε. Μωρὸν γὰρ, τὸ, κρατεῖν βουλομένους, τὰ τυφλὰ τοῦ σώματος καὶ ἄοπλα καὶ ἄχειρα ταῦτα ἐναντία τάττειν τοῖς πολεμίοις φεύγοντας. Μωρὸς δὲ καὶ, εἴ τις ζῆν βουλόμενος φεύγειν ἐπιχειροίη· εἰδὼς, ὅτι οἱ μὲν νικῶντες σώζονται, οἱ δὲ φεύγοντες ἀποθνήσκουσι μᾶλλον τῶν μενόντων. Μωρὸς δὲ καὶ, εἴ τις χρημάτων ἐπιθυμῶν, ἧττον

προσίεται. Τίς γὰρ οὐκ οἶδεν, ὅτι οἱ μὲν νικῶντες τά τε ἑαυτῶν σώζουσι, καὶ τὰ τῶν ἡττωμένων προσλαμβάνουσιν· οἱ δ' ἡττώμενοι ἅμα ἑαυτούς τε καὶ τὰ ἑαυτῶν πάντα ἀποβάλλουσιν; 46. Ὁ μὲν δὴ Ἀσσύριος ἐν τούτοις ἦν.

Ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν, ὅτι ἤδη καιρὸς εἴη, ἄγειν ἐπὶ τοὺς πολεμίους· εἰ γὰρ νῦν, ἔφη, ἔτι ὀλίγοι εἰσὶν οἱ ἔξω τοῦ ῥεύματος, ἐν ᾧ ἂν προσίωμεν, πολλοὶ ἔσονται· μὴ οὖν ἀναμένωμεν, ἕως ἂν πλείους ἡμῶν γένωνται, ἀλλ' ἴωμεν, ἕως ἂν ἔτι οἰόμεθα εὐπετῶς αὐτῶν κρατῆσαι. 47. Ὁ δ' αὖ Κῦρος ἀπεκρίνατο· Ὦ Κυαξάρη, εἰ μὴ ὑπὲρ ἡμίσου αὐτῶν ἔσονται οἱ ἡττηθέντες, εὖ ἴσθι, ὅτι ἡμᾶς μὲν ἐροῦσι, φοβουμένους τὸ πλῆθος, τοῖς ὀλίγοις ἐπιχειρῆσαι· αὐτοὶ δὲ οὐ νομίσουσιν ἡττῆσθαι. ἄλλης οὖν σοι μάχης δεήσει, ἐν ᾗ ἄμεινον ἂν ἴσως βουλεύσαιντο, ἢ νῦν βεβούλευνται, παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥσθ', ὁπόσοις ἂν βούλώμεθα αὐτῶν, μάχεσθαι. 48. Οἱ μὲν δὴ ἄγγελοι ταῦτα ἀκούσαντες ᾤχοντο.

Ἐν τούτῳ δ' ἦλθε Χρυσάντας τε ὁ Πέρσης, καὶ ἄλλοι τινὲς τῶν ὁμοτίμων, αὐτομόλους ἄγοντες. Καὶ ὁ Κῦρος, ὥσπερ εἰκός, ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πολεμίων. Οἱ δ' ἔλεγον, ὅτι ἐξιοίεν τε ἤδη σὺν τοῖς ὅπλοις, καὶ παρατάττοι αὐτοὺς ὁ βασιλεὺς, ἔξω ὤν, καὶ παρακελεύοιτο μὲν δὴ τοῖς ἀεὶ ἔξω οὖσι πολλά τε καὶ ἰσχυρὰ, ὡς ἔφασαν λέγειν τοὺς ἀκούοντας. 49. Ἔνθα δὴ ὁ Χρυσάντας εἶπε· Τί δ', ἔφη, ὦ

Κῦρε, εἰ καὶ σὺ συγκαλέσας, ἕως ἔτι ἔξεστι, παρακελεύσαιο, εἰ ἄρα τι καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; Καὶ ὁ Κῦρος εἶπεν· 50. Ὦ Χρυσάντα, μηδέν σε λυπούντων αἱ τοῦ Ἀσσυρίου παρακελεύσεις· οὐδεμία γὰρ οὕτως ἔσται καλὴ παραίνεσις, ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθημερὸν ἀκούσαντας ἀγαθοὺς ποιήσει· οὐκ ἂν οὖν τοξότας γε, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν· οὐδ' ἀκοντιστὰς, οὐδὲ μὴν ἱππέας γε· οὐδὲ μὴν τά γε σώματα ἱκανοὺς πονεῖν, ἢν μὴ πρόσθεν ἠσκηκότες ὦσι. 51. Καὶ ὁ Χρυσάντας εἶπεν· Ἀλλ' ἀρκεῖ τοι, ὦ Κῦρε, ἐὰν τὰς ψυχὰς αὐτῶν παρακελευσάμενος ἀμείνους ποιήσῃς. Ἦ καὶ δύναιτ' ἄν, ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερὸν αἰδοῦς μὲν ἐμπλῆσαι τὰς ψυχὰς τῶν ἀκουσάντων, ἢ ἀπὸ τῶν αἰσχρῶν κωλῦσαι, προτρέψαι δὲ, ὡς χρὴ, ἐπαίνου μὲν ἕνεκα πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύεσθαι, λαβεῖν δ' ἐν ταῖς γνώμαις βεβαίως τοῦτο, ὡς αἱρετώτερόν ἐστι μαχομένους ἀποθνήσκειν μᾶλλον, ἢ φεύγοντας σωθῆναι; 52. Ἆρ' οὖν, ἔφη, εἰ μέλλουσι τοιαῦται διάνοιαι ἐγγενήσεσθαι ἀνθρώποις, καὶ ἔμμονοι ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους, δι' ὧν τοῖς μὲν ἀγαθοῖς ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται, τοῖς δὲ κακοῖς ταπεινός τε καὶ ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται; 53. Ἔπειτα δὲ διδασκάλους, οἶμαι, δεῖ καὶ ἄρχοντας ἐπὶ τούτοις γενέσθαι, οἵτινες δείξουσί τε ὀρθῶς, καὶ διδάξουσι, καὶ ἐθίσουσι ταῦτα δρᾷν, ἕστ' ἂν ἐγγένηται αὐτοῖς,

τοὺς μὲν ἀγαθοὺς καὶ εὐκλεεῖς εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν, τοὺς δὲ κακοὺς καὶ δυσκλεεῖς ἀθλιωτάτους ἁπάντων ἡγεῖσθαι. Οὕτω γὰρ δεῖ διατεθῆναι τοὺς μέλλοντας τοῦ ἀπὸ τῶν πολεμίων φόβου τὴν μάθησιν κρείττονα παρέξεσθαι. 54. Εἰ δέ τοι, ἰόντων εἰς μάχην σὺν ὅπλοις, ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μαθημάτων ἐξίστανται, ἐν τούτῳ δυνήσεταί τις ἀποῤῥαψῳδήσας παραχρῆμα ἄνδρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν ῥᾷστον εἴη, καὶ μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν ἀνθρώποις ἀρετήν. 55. Ἐπεὶ ἔγωγ', ἔφη, οὐδ' ἂν τούτοις ἐπίστευον ἐμμόνους ἔσεσθαι, οὓς νῦν ἔχοντες παρ' ἡμῖν αὐτοῖς ἠκούομεν, εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παραδείγματα αὐτοῖς ἔσεσθε, οἷους χρὴ εἶναι, καὶ ὑποβάλλειν δυνήσεσθε, ἤν τι ἐπιλανθάνωνται. Τοὺς δ' ἀπαιδεύτους παντάπασιν ἀρετῆς θαυμάζοιμ' ἄν, ἔφη, ὦ Χρυσάντα, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν, ἢ τοὺς ἀπαιδεύτους μουσικῆς ᾄσμα καλῶς ᾀσθὲν εἰς μουσικήν.

56. Οἱ μὲν τοιαῦτα διελέγοντο. Ὁ δὲ Κυαξάρης πάλιν πέμπων ἔλεγεν, ὅτι ἐξαμαρτάνοι διατρίβων, καὶ οὐκ ἄγων ὡς τάχιστα ἐπὶ τοὺς πολεμίους. Καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ τότε τοῖς ἀγγέλοις· Ἀλλ' εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω εἰσὶν ἕξω, ὅσους ἔδει· καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν ἅπασιν· ὅμως δὲ, ἐπεὶ ἐκείνῳ δοκεῖ, ἄξω ἤδη. 57. Ταῦτα εἰπὼν, καὶ προσευξάμενος τοῖς Θεοῖς αὐτοῦ, ἐξῆγε τὸ στράτευμα. Ὡς δ' ἤρξατο ἄγειν ἔτι θᾶττον, ὁ μὲν ἡγεῖτο, οἱ δ'

εἴποντο, εὐτάκτως μὲν, διὰ τὸ ἐπίστασθαι καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι· ἐῤῥωμένως δὲ, διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους, καὶ διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι, καὶ διὰ τὸ πάντας ἄρχοντας τοὺς πρωτοστάτας εἶναι· ἡδέως δὲ, διὰ τὸ φρονίμως ἔχειν· ἠπίσταντο γὰρ, καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν, ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις, ἄλλως τε καὶ τοξόταις, καὶ ἀκοντισταῖς, καὶ ἱππεῦσιν.

58. Ἕως δ' ἔτι ἔξω βελέων ἦσαν, παρηγγύα ὁ Κῦρος σύνθημα, ΖΕΥΣ ΣΤΜΜΑΧΟΣ ΚΑΙ ΗΓΕΜΩΝ. Ἐπεὶ δὲ πάλιν ἦκε τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ ὁ Κῦρος παιᾶνα τὸν νομιζόμενον· οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν μεγάλῃ τῇ φωνῇ· ἐν τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧττον τοὺς ἀνθρώπους φοβοῦνται. 59. Ἐπεὶ δ' ὁ παιὰν ἐγένετο, ἅμα πορευόμενοι οἱ ὁμότιμοι φαιδροὶ, καὶ πεπαιδευμένοι, παρορῶντες εἰς ἀλλήλους, ὀνομάζοντες παραστάτας, ἐπιστάτας, λέγοντες πολὺ τὸ, Ἄγετε ἄνδρες φίλοι, Ἄγετ' ἄνδρες ἀγαθοὶ, παρεκάλουν ἀλλήλους ἕπεσθαι. Οἱ δ' ὄπισθεν, αὐτῶν ἀκούσαντες, ἀντιπαρεκελεύοντο τοῖς πρώτοις ἡγεῖσθαι ἐῤῥωμένως. Ἦν δὲ μεστὸν τὸ στράτευμα τῷ Κύρῳ προθυμίας, φιλοτιμίας, ῥώμης, θάρσους, παρακελευσμοῦ, σωφροσύνης, πειθοῦς· ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναντίοις. 60. Τῶν δ' Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἁρμάτων προμαχοῦντες, ὡς ἐγγὺς ἤδη προσεμίγνυε τὸ Περσικὸν πλῆθος, ἀνέβαινον ἐπὶ τὰ ἅρματα, καὶ

ὑπεξῆγον πρὸς τὸ ἑαυτῶν πλῆθος· οἱ δὲ τοξόται, καὶ ἀκοντισταὶ, καὶ σφενδονῆται αὐτῶν ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. 61. Ὡς δ' ἐπιόντες οἱ Πέρσαι ἐπέβησαν τῶν ἀφιεμένων βελέων, ἐφθέγξατο δὴ ὁ Κῦρος· Ἄνδρες ἄριστοι, ἤδη θᾶττόν τις ἰὼν ἐπιδεικνύτω ἑαυτὸν καὶ παρεγγυάτω. Οἱ μὲν δὴ παρεδίδοσαν τοῦτο· ὑπὸ δὲ προθυμίας καὶ μένους καὶ τοῦ σπεύδειν συμμίξαι, δρόμου τινὲς ἤρξαντο· συνεφείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ δρόμῳ. 62. Καὶ αὐτὸς δὲ ὁ Κῦρος, ἐπιλαθόμενος τοῦ βάδην, δρόμῳ ἠγεῖτο· καὶ ἅμα ἐφθέγγετο, Τίς ἐφέπεται; Τίς ἀγαθός; Τίς πρῶτος ἄνδρα καταβαλεῖ; Οἱ δὲ ἀκούσαντες, τοαὐτὸ τοῦτο ἐφθέγγοντο· καὶ διὰ πάντων δὴ, ὥσπερ παρηγγύα, οὕτως ἐχώρει, Τίς ἕψεται; Τίς ἀγαθός; Οἱμὲν δὴ Πέρσαι οὕτως ἔχοντες ὁμόσε ἐφέροντο· 63. οἵ γε μὴν πολέμιοι οὐκέτι ἐδύναντο μένειν, ἀλλὰ στραφέντες ἔφευγον εἰς τὸ ἔρυμα. 64. Οἱ δ' αὖ Πέρσαι κατὰ τὰς εἰσόδους ἐφεπόμενοι, ὠθουμένων αὐτῶν, πολλοὺς κατεστρώννυσαν· τοὺς δ' εἰς τὰς τάφρους ἐμπίπτοντας ἐπεισπηδῶντες ἐφόνευον, ἀνδραμόμοῦ καὶ ἵππους· ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους ἠναγκάσθη φεύγοντα συνεισπεσεῖν. 65. Καὶ οἱ τῶν Μήδων δὲ ἱππεῖς, ὁρῶντες ταῦτα, ἤλαυνον εἰς τοὺς ἵππους τῶν πολεμίων· οἱ δ' ἐνέκλιναν καὶ τούτους. Ἔνθα δὴ καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος ἐξ ἀμφοτέρων. 66. Οἱ δ' ἐντὸς τοῦ ἐρύματος τῶν Ἀσσυρίων, ἑστηκότες ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου, τοξεύειν μὲν καὶ ἀκοντίζειν εἰς τοὺς κατακαίνοντας

οὔτε ἐφρόνουν, οὔτ' ἐδύναντο, διά τε τὰ δεινὰ δρά-
ματα, καὶ διὰ τὸν φόβον. Τάχα δὲ καὶ καταμα-
θόντες τῶν Περσῶν τινὰς διακεκοφότας πρὸς τὰς
εἰσόδους τοῦ ἑρύματος, ἐτράποντο, καὶ ἀπὸ τῶν κεφα-
λῶν ἔφευγον. 67. Ἰδοῦσαι δὲ αἱ γυναῖκες τῶν Ἀσσυρί-
ων καὶ τῶν συμμάχων φυγὴν ἤδη καὶ ἐν τῷ στρατοπε-
δῳ, ἀνέκραγον, καὶ ἔθεον ἐκπεπληγμέναι, αἱ μὲν καὶ τὰ
τέκνα ἔχουσαι, αἱ δὲ καὶ νεώτεραι καταῤῥηγνύμεναι
τοὺς πέπλους, καὶ δρυπτόμεναι, καὶ ἱκετεύουσαι
πάντας, ὅτῳ ἐντυγχάνοιεν, μὴ φεύγειν καταλιπόντας
αὐτὰς, ἀλλ' ἀμῦναι καὶ τέκνοις καὶ ἑαυταῖς καὶ
σφίσιν αὐτοῖς. 68. Ἔνθα δὴ καὶ αὐτοὶ οἱ βασιλεῖς σὺν
τοῖς πιστοτάτοις στάντες ἐπὶ τὰς εἰσόδους, καὶ ἀνα-
βάντες ἐπὶ τὰς κεφαλὰς, καὶ αὐτοὶ ἐμάχοντο, καὶ
τοῖς ἄλλοις παρεκελεύοντο. 69. Ὡς δ' ἔγνω ὁ Κῦρος τὸ
γιγνόμενον, δείσας, μὴ, εἰ καὶ βιάσαιντο εἴσω,
ὀλίγοι ὄντες ὑπὸ πολλῶν σφαλεῖέν τι, παρηγγύησεν ἐπὶ
πόδα ἀνάγειν ἔξω βελέων, καὶ πείθεσθαι. 70. Ἔνθα
δὴ ἔγνω τις ἂν τοὺς δμοτίμους καὶ πεπαιδευμένους
ὡς δεῖ· ταχὺ μὲν γὰρ αὐτοὶ ἐπείθοντο, ταχὺ δὲ καὶ
τοῖς ἄλλοις παρήγγελλον. Ὡς δ' ἔξω βελῶν ἐγέ-
νοντο, ἔστησαν κατὰ χώραν πολὺ μᾶλλον χοροῦ,
ἀκριβῶς εἰδότες, ὅπου ἔδει ἕκαστον αὐτῶν γενέσθαι.

ΞΕΝΟΦΩΝΤΟΣ
ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Δ.

CAPVT I.

1. ΜΕΙΝΑΣ δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρατεύματι, καὶ δηλώσας, ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις ἐξέρχοιτο, ὡς δὴ οὐδεὶς ἀντεξῇει, ἀπήγαγεν, ὅσον ἐδόκει καλῶς ἔχειν, καὶ κατεστρατοπεδεύσατο. Φύλακας δὲ καταστησάμενος, καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας, καὶ ἔλεξε τοιάδε· 2. Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε ἐπαινῶ, ὅσον δύναμαι, καὶ ὑμεῖς δὲ πάντες, οἶμαι· νίκης τε γὰρ τετυχήκαμεν καὶ σωτηρίας. Τούτων μὲν οὖν χρὴ χαριστήρια, ὧν ἂν ἔχωμεν, τοῖς θεοῖς ἀποτελεῖν. Ἐγὼ δὲ σύμπαντας μὲν ὑμᾶς ἤδη ἐπαινῶ· τὸ γὰρ γεγενημένον ἔργον σύμπασιν ὑμῖν καλὸν ἀποτετέλεσται· ὧν δ' ἕκαστος ἄξιος, ἐπειδὰν παρ' ὧν προσῆκει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ λόγῳ καὶ ἔργῳ πειράσομαι ἀποδιδόναι. 3. Τὸν δ' ἐμοῦ ἐγγύτατα ταξίαρχον Χρυσάνταν οὐδὲν παρ' ἄλλων δέομαι πυνθάνεσθαι, ἀλλ' αὐτὸς οἶδα, οἷος ἦν· τὰ μὲν γὰρ ἄλλα, ὅσαπερ, οἶμαι, καὶ πάντες ὑμεῖς, ἐποίει·

ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν, καλέσας ὀνομαστὶ αὐτὸν, ἀνατεταμένος οὗτος τὴν μάχαιραν, ὡς παίσων πολέμιον, ὑπήκουσέ τέ μου εὐθὺς, καὶ ἀφεὶς, ὃ ἔμελλε ποιεῖν, τὸ κελευόμενον ἔπραττεν αὐτός τε γὰρ ἐπανῆγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα· ὥςτ' ἔφθασεν ἐξω βελέων τὴν τάξιν ποιήσας, πρὶν τοὺς πολεμίους κατανοῆσαί τε, ὅτι ἀνεχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ τὰ παλτὰ ἐπαφεῖναι· ὥςτ' αὐτός τε ἀβλαβὴς, καὶ τοὺς ἑαυτοῦ ἄνδρας ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται. 4. Ἄλλους δ', ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψάμενος, ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦμαι. Χρυσάνταν δὲ, ὡς καὶ ἐργάτην τῶν πολεμικῶν, καὶ φρόνιμον, καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν, χιλιαρχίᾳ μὲν ἤδη τιμῶ· ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν ὁ Θεὸς δῷ, οὐδὲ τότε ἐπιλήσομαι αὐτοῦ. 5. Καὶ πάντας δὲ ὑμᾶς βούλομαι, ἔφη, ὑπομνῆσαι· ἃ γὰρ νῦν εἴδετε ἐν τῇ μάχῃ ταῦτα, ταῦτα ἐνθυμούμενοι μήποτε παύσησθε, ἵνα παρ' ὑμῖν αὐτοῖς ἀεὶ κρίνητε, πότερον ἡ ἀρετὴ μᾶλλον, ἢ ἡ φυγὴ σώζει τὰς ψυχὰς, καὶ πότερον οἱ μάχεσθαι θέλοντες ῥᾷον ἀπαλλάττουσιν, ἢ οἱ οὐκ ἐθέλοντες, καὶ ποίαν τινὰ ἡδονὴν τὸ νικᾶν παρέχει· ταῦτα γὰρ νῦν ἄριστα κρίναιτ' ἄν, πεῖράν τε αὐτῶν ἔχοντες, καὶ ἄρτι γεγενημένου τοῦ πράγματος. 6. Καὶ ταῦτα μὲν, ἔφη, ἀεὶ διανοούμενοι, βελτίους ἂν εἶητε· νῦν δὲ, ὡς καὶ Θεοφιλεῖς, καὶ ἀγαθοὶ, καὶ σώφρονες ἄνδρες, δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς Θεοῖς

ποιεῖσθε, καὶ παιᾶνα ἐξάρχεσθε, καὶ ἅμα τὸ παραγγελλόμενον προνοεῖτε.

7. Εἰπὼν δὲ ταῦτα, ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε, καὶ πρὸς Κυαξάρην ἦλθε· καὶ συνησθεὶς ἐκείνῳ κοινῇ, ὡς εἰκὸς, καὶ ἰδὼν τἀκεῖ, καὶ ἐρόμενος, εἴ τι δέοιτο, ἀπήλαυνεν εἰς τὸ ἑαυτοῦ στράτευμα. Καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, ὡς ἔδει, ἐκοιμήθησαν.

8. Οἱ δὲ Ἀσσύριοι, ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες, πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατοπέδου. Ὁρῶντες δὲ ταῦτα ὅ τε Κροῖσος καὶ οἱ ἄλλοι σύμμαχοι αὐτῶν, πάντες ἠθύμουν· πάντα μὲν γὰρ ἦν χαλεπά· ἀθυμίαν δὲ πᾶσι πλείστην παρεῖχεν, ὅτι τὸ ἡγούμενον τῆς στρατιᾶς φῦλον διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. Οὕτω δὴ ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται τῆς νυκτός. 9. Ὡς δ' ἡμέρα ἐγένετο, καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν πολεμίων στρατόπεδον, εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς Πέρσας πρώτους· καταλέλειπτο δὲ ὑπὸ τῶν πολεμίων πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι, πολλῶν ἀγαθῶν μεστοί· ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ οἱ ἀμφὶ Κυαξάρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο ἐνταῦθα. 10. Ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἑαυτοῦ ταξιάρχους, καὶ ἔλεξε τοιάδε· Οἷα μὲν δοκοῦμεν καὶ ὅσα ἀγαθὰ, ὦ ἄνδρες, ἀφεῦναι, θεῶν ἡμῖν αὐτὰ διδόντων. Νῦν γὰρ ὅτι μὲν οἱ πολέμιοι φοβού-

μενοι ἡμᾶς ἀποδεδράκασιν, αὐτοὶ ὁρᾶτε. Οἵτινες δὲ ἐν ἐρύματι ὄντες, ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς τούτους οἴεται ἄν τις μεῖναι, ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; Οἵτινες δὲ ἄπειροι ἡμῶν ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ' ἂν ὑπομείνειαν, ἐπεὶ ἥττηνταί τε καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν πεπόνθασιν; Ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ φαυλότεροι ἐκείνων μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; 11. Καί τις εἶπε, Τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕτω τῶν ἀγαθῶν ὄντων; Καὶ ὃς εἶπεν, Ὅτι ἵππων προσδεόμεθα· οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς ἦν ἢ λαβεῖν ἢ κατακαίνειν, οὗτοι ἐφ' ἵππων νέονται· οὓς ἡμεῖς τρέπεσθαι μὲν σὺν θεοῖς ἱκανοί, διώκοντες δὲ αἱρεῖν οὐχ ἱκανοί. 12. Τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρει ταῦτα λέγεις; Καὶ ὃς εἶπε· Συνέπεσθε τοίνυν μοι πάντες, ὡς εἰδῇ, ὅτι πᾶσιν ἡμῖν ταυτὰ δοκεῖ. Ἐκ τούτου εἵποντό τε πάντες, καὶ ἔλεγον, οἷα ἐπιτήδεια ἐδόκουν εἶναι, ὑπὲρ ὧν ἐδέοντο.

13. Καὶ ὁ Κυαξάρης ἅμα μέν, ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου, ὥσπερ ὑπεφθόνει· ἅμα δὲ ἴσως καλῶς ἐδόκει ἔχειν αὐτῷ, μὴ πάλιν κινδυνεύειν· (καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὢν, καὶ τῶν ἄλλων Μήδων ἑώρα πολλοὺς τὸ αὐτὸ τοῦτο ποιοῦντας) εἶπε δ' οὖν ὧδε· 14. Ἀλλ', ὦ Κῦρε, ὅτι μὲν μάλιστα ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι, μηδὲ πρὸς μίαν ἡδονὴν ἁπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα· ἐμοὶ δὲ δοκεῖ, τῆς μεγίστης ἡδονῆς πολὺ μᾶλ-

λον συμφέρειν ἐγκρατῆ εἶναι. Μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυχίας, ἣ νῦν ἡμῖν παραγεγένηται; 15. Ἦν μὲν τοίνυν, ἐπεὶ εὐτυχοῦμεν, σωφρόνως διαφυλάττωμεν αὐτὴν, ἴσως δυναίμεθ' ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾷν· εἰ δ' ἁπλήστως χρώμενοι ταύτῃ, ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε, μὴ πάθωμεν, ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν οὐκ ἐθέλοντας παύσασθαι πλέοντας, ἕως ἂν ἀπόλωνται· πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσθεν ἀποβαλεῖν. 16. Καὶ γάρ εἰ μὲν οἱ πολέμιοι ἦττους ὄντες ἡμῶν ἔφευγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς εἶχε· νῦν δὲ κατανόησον, πόστῳ αὐτῶν μέρει πάντες μαχεσάμενοι νενικήκαμεν· οἱ δ' ἄλλοι ἄμαχοί εἰσιν· οὓς εἰ μὲν μὴ ἀναγκάσομεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυτοὺς, δι' ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν· εἰ δὲ γνώσονται, ὅτι καὶ ἀπιόντες οὐδὲν ἧττον κινδυνεύουσιν ἢ μένοντες, ὅπως μὴ ἀναγκάσομεν αὐτοὺς, καὶ εἰ μὴ βούλονται, ἀγαθοὺς γενέσθαι. 17. Ἴσθι γάρ, ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας καὶ παῖδας ἐπιθυμεῖς λαβεῖν, ἢ ἐκεῖνοι σῶσαι. Ἐννόει δ', ὅτι καὶ αἱ σύες, ἐπειδὰν ὀφθῶσι, φεύγουσι καὶ πολλαὶ οὖσαι σὺν τοῖς τέκνοις· ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκέτι φεύγει, οὐδ' ἢν μία τύχῃ οὖσα, ἀλλ' ἴεται ἐπὶ τὸν λαμβάνειν πειρώμενον. 18. Καὶ νῦν μὲν κατακλείσαντες ἑαυτοὺς εἰς ἔρυμα, παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι· εἰ δ' ἐν εὐ-

ρυχωρίᾳ πρόιμεν αὐτοῖς, καὶ μαθήσονται, χωρὶς γενόμενοι, οἱ μὲν κατὰ πρόσωπον ἡμῖν, ὥσπερ καὶ νῦν, ἐναντιοῦσθαι, οἱ δ' ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν· ὅρα, μὴ πολλῶν ἑκάστῳ ἡμῶν καὶ ὀφθαλμῶν καὶ χειρῶν δεήσει. Πρὸς δ' ἔτι, ἔφη, οὐ βουλοίμην ἂν ἔγωγε νῦν, ὁρῶν Μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας ἰέναι.

19. Καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν· Ἀλλὰ μηδένα σί γε ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός· καὶ ἴσως ἂν σοι καὶ τῶν σῶν φίλων τούτων ἡκοιμεν ἑκάστῳ ἄγοντες, ἐφ' οἷς ὕπαντες εὐθυμήσεσθε. Τὸ μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων οὐ διωξόμεθα· (πῶς γὰρ ἄν καὶ καταλάβοιμεν;) ἤν δέ τι ἢ ἀπεσχισμένον τοῦ στρατεύματος λάβωμεν, ἢ τι ὑπολειπόμενον, ἥξομεν πρός σε ἄγοντες. 20. Ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς, ἐπεὶ σὺ ἐδέου, ἤλθομεν, σοὶ χαριζόμενοι, μακρὰν ὁδόν· καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα καὶ ἔχοντές τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν θησαυρὸν πάντες οἵδε ὁρῶμεν. 21. Ἐνταῦθα δὴ ἔλεξεν ὁ Κυαξάρης· Ἀλλ' εἴγε μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν ἔγωγέ σοι εἰδείην ἄν. Σύμπεμψον τοίνυν μοί τινα, ἔφη, τῶν ἀξιοπίστων τούτων, ὃς ἐρεῖ, ἃ ἂν σὺ ἐπιστείλῃς. 22. Λαβὼν δὴ ἴθι, ἔφη, ὅντινα ἐθέλεις τουτωνί. Ἔνθα δὴ ἐτύγχανεν ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι, καὶ φιληθεὶς, παρών. Εὐθὺς οὖν ὁ Κῦρος εἶπεν, Ἀρκεῖ, ἔφη, ἔμοιγε οὗτος. Οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω. Καὶ, λέγε σὺ, ἔφη, τὸν θέλοντα ἰέναι

μετὰ Κύρου. Οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῆει. 23. Ἐπεὶ δ' ἐξῆλθεν, εὐθὺς ὁ Κῦρος εἶπε· Νῦν δὴ σὺ δηλώσεις, εἰ ἀληθῆ ἔλεγες, ὅτε ἔφης ἥδεσθαί με θεώμενος. Οὔκουν ἀπολείψομαί γε σοῦ, ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. Καὶ ὁ Κῦρος εἶπεν, Οὐκοῦν, ἔφη, καὶ ἄλλοις προθύμως λέξεις; Κἀκεῖνος ἐπομόσας, Νὴ τὸν Δί', ἔφη, ἔστε γ' ἂν ποιήσω, καὶ σὲ ἡδέως ἐμὲ θεᾶσθαι. 24. Τότε δὴ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρους, τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις, καὶ προσετίθει, ὅτι αὐτός γε οὐκ ἀπολείποιτο ἀνδρὸς καλλίστου καὶ ἀρίστου, καὶ, τὸ μέγιστον, ἀπὸ θεῶν γεγονότος.

CAP II.

1. Πράττοντος δὲ ταῦτα τοῦ Κύρου, θεῖός πως ἀφικνοῦνται ἀπὸ Ὑρκανίων ἄγγελοι. Οἱ δὲ Ὑρκάνιοι ὅμοροι μὲν τῶν Ἀσσυρίων εἰσὶν, ἔθνος δ' οὐ πολὺ· διὸ καὶ ὑπήκοοι τῶν Ἀσσυρίων ἦσαν· ἔφιπποι δὲ καὶ τότε ἐδόκουν εἶναι, καὶ νῦν ἔτι δοκοῦσι· διὸ καὶ ἐχρῶντο αὐτοῖς οἱ Ἀσσύριοι, ὥσπερ καὶ οἱ Λακεδαιμόνιοι τοῖς Σκιρίταις· οὐδὲν φειδόμενοι αὐτῶν οὔτ' ἐν πόνοις οὔτ' ἐν κινδύνοις. Καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν αὐτοὺς ἐκέλευον ὡς χιλίους ὄντας ἱππέας, ἵνα, εἴ τι ὄπισθεν δεινὸν εἴη, ἐκεῖνοι πρὸ ἑαυτῶν τοῦτ' ἔχοιεν. 2. Οἱ δὲ Ὑρκάνιοι, ἅτε μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁμάξας τὰς ἑαυτῶν καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. Στρατεύονται γὰρ δὴ οἱ κατὰ τὴν Ἀσίαν ἔχοντες οἱ πολλοὶ, μεθ' ὧνπερ

καὶ οἰκοῦσι· καὶ τότε δὴ ἐστρατεύοντο οἱ Τρκάνιοι οὕτως. 3. Ἐννοηθέντες δέ, οἷά τε πάσχουσιν ὑπὸ τῶν Ἀσσυρίων, καὶ ὅτι νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημένοι δ' εἶεν, φόβος δὲ πολὺς εἴη ἐν τῷ στρατεύματι, οἱ δὲ σύμμαχοι αὐτῶν ὡς ἀθύμως ἔχοιεν καὶ ἀπολείποιεν· ταῦτα ἐνθυμουμένοις ἔδοξεν αὐτοῖς νῦν καλὸν εἶναι ἀποστῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. Καὶ πέμπουσιν ἀγγέλους πρὸς Κῦρον· ἀπὸ γὰρ τῆς μάχης τὸ τούτου ὄνομα μέγιστον ἠΰξετο. 4. Οἱ δὲ πεμφθέντες λέγουσι Κύρῳ, ὅτι μισοῖεν τοὺς Ἀσσυρίους δικαίως, νῦν τε, εἰ βούλοιτο εἶναι ἐπ' αὐτοὺς, καὶ σφεῖς σύμμαχοι ὑπάρξοιεν καὶ ἡγήσοιντο· ἅμα δὲ πρὸς τούτοις διηγοῦντο τὰ τῶν πολεμίων, ὡς ἔχοι, οἷα δὴ ἐπαίρειν βουλόμενοι ὡς μάλιστα στρατεύεσθαι αὐτόν. 5. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτοὺς, Καὶ δοκεῖτε ἄν, ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐτοὺς, πρὶν ἐν τοῖς ἐρύμασιν εἶναι; ἡμεῖς μὲν γὰρ, ἔφη, μάλα συμφορὰν τοῦτο ἡγούμεθα εἶναι, ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. Ταῦτα δὲ ἔλεγε, βουλόμενος αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν. 6. Οἱ δὲ ἀπεκρίναντο, ὅτι, κἂν αὔριον ἕωθεν εὖ ζωνοι πορεύοιντο, καταλήψοιντο· ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πορεύεσθαι αὐτούς· καὶ ἅμα, ἔφασαν, ἅτε τὴν προτεραίαν νύκτα ἀγρυπνήσαντες, νῦν μικρὸν πορευθέντες ἐστρατοπέδευνται. 7. Καὶ ὁ Κῦρος ἔφη, Ἔχετε οὖν, ὧν λέγετε, πιστόν τι ἡμᾶς διδάσκειν, ὡς ἀληθεύετε; Ὁμήρους γ', ἔφασαν, ἐθέλομεν ἐλάσαντες αὐτίκα τῆς νυκτὸς ἀγαγεῖν,

μόνον καὶ σὺ ἡμῖν πιστὰ θεῶν πεποίησο, καὶ δεξιὰν δὸς, ἵνα φέρωμεν καὶ τοῖς ἄλλοις ταῦτα, ἅπερ ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ. 8. Ἐκ τούτου τὰ πιστὰ δίδωσιν αὐτοῖς, ἢ μὴν, ἐὰν ἐμπεδώσωσιν, ἃ λέγουσιν, ὡς φίλοις καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς, ὡς μήτε Περσῶν μήτε Μήδων μεῖον ἔχειν παρ' αὐτῷ. Καὶ νῦν ἔτι ἰδεῖν ἐστιν Τρκανίους καὶ πιστευομένους καὶ ἀρχὰς ἔχοντας, ὥσπερ καὶ Περσῶν καὶ Μήδων οἳ ἂν δοκῶσιν ἄξιοι εἶναι.

9. Ἐπεὶ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα ἔτι φάους ὄντος, καὶ τοὺς Τρκανίους περιμένειν ἐκέλευσεν, ἵνα ἅμα ἴοιεν. Οἱ μὲν δὴ Πέρσαι πάντες, ὥσπερ εἰκὸς, εὐθὺς ἕξω ἦσαν, καὶ Τιγράνης, ἔχων τὸ ἑαυτοῦ στράτευμα· 10. τῶν δὲ Μήδων ἐξῆσαν οἱ μὲν, διὰ τὸ παιδὶ Κύρῳ ὄντι παῖδες ὄντες φίλοι γενέσθαι· οἱ δὲ, διὰ τὸ ἐν θήραις συγγενόμενοι ἀγασθῆναι αὐτοῦ τὸν τρόπον· οἱ δὲ, διὰ τὸ χάριν εἰδέναι, ὅτι μέγαν αὐτοῖς φόβον ἀπεληλακέναι ἐδόκει· οἱ δὲ, καὶ ἐλπίδας ἔχοντες, διὰ τὸ ἄνδρα φαίνεσθαι ἀγαθὸν, καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτόν· οἱ δὲ, ὅτε ἐτρέφετο ἐν Μήδοις, εἴ τι ἀγαθόν τῳ συνέπραξεν, ἀντιχαρίζεσθαι ἐβούλοντο· (πολλοῖς δὲ πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ πάππου ἀγαθὰ διεπέπρακτο) πολλοὶ δ', ἐπεὶ καὶ τοὺς Τρκανίους εἶδον, καὶ λόγος διεδόθη, ὡς ἡγήσουντο ἐπὶ πολλὰ ἀγαθὰ, ἐξῆσαν καὶ τοῦ λαβεῖν τι ἕνεκα. 11. Οὕτω δὴ καὶ οἱ Μῆδοι σχεδὸν ἅπαντες ἐξῆλθον, πλὴν ὅσοι σὺν Κυαξάρει ἔτυχον σκηνοῦντες·

οὗτοι δὲ κατέμειναν, καὶ οἱ τούτων ὑπήκοοι. Οἱ δὲ ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξιόντες. 12. Ἐπεὶ δὲ ἔξω ἦσαν, πρῶτον μὲν πρὸς τοὺς Μήδους ἐλθὼν ἐπήνεσέ τε αὐτοὺς, καὶ ἐπηύξατο, μάλιστα μὲν θεοὺς αὐτοῖς ἵλεως ὄντας ἡγεῖσθαι καὶ σφίσιν, ἔπειτα δὲ καὶ αὐτὸς δυνηθῆναι χάριν αὐτοις ταύτης τῆς προθυμίας ἀποδοῦναι. Τέλος δ' οὖν εἶπεν, ὅτι ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοὶ, ἐκείνους δὲ ἕπεσθαι σὺν τοῖς ἵπποις ἐκέλευσε· καὶ ὅπου ἂν ἢ ἀναπαύωνται, ἢ ἐπίσχωσι τῆς πορείας, ἐνετείλατο αὐτοῖς πρὸς ἑαυτὸν παρελαύνειν τινὰς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον.

13. Ἐκ τούτου ἡγεῖσθαι ἐκέλευσε τοὺς Ὑρκανίους. Καὶ οἳ ἠρώτων, Τί δέ; οὐ γὰρ ἀναμένεις, ἔφασαν, τοὺς ὁμήρους ἕως ἂν ἀγάγωμεν, ἵνα καὶ σὺ ἔχων τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ; Καὶ τὸν ἀποκρίνασθαι λέγεται, Ἐννοῶ γὰρ, φάναι, ὅτι ἔχομεν πάντες τὰ πιστὰ ἐν ταῖς ἡμετέραις χερσίν. Οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι, ὡς, ἐὰν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς οὐχ ἡμᾶς ἐφ' ὑμῖν ἔσεσθαι, ἀλλὰ μᾶλλον, ἐὰν οἱ θεοὶ βούλωνται, ὑμᾶς ἐφ' ἡμῖν γενέσθαι. Καὶ μέντοι, ἔφη, ὦ Ὑρκάνιοι, ἐπειδήπερ φατὲ ὑστάτους πορεύεσθαι τοὺς ὑμετέρους, ἐπειδὰν ἴδητε αὐτοὺς, σημαίνετε ἡμῖν, ὅτι οἱ ὑμέτεροί εἰσιν, ἵνα φειδώμεθα αὐτῶν. 14. Ἀκούσαντες ταῦτα οἱ Ὑρκάνιοι, τὴν μὲν ὁδὸν ἡγοῦντο, ὥσπερ ἐκέλευε, τὴν δὲ

φώμην τῆς ψυχῆς ἐθαύμαζον· καὶ οὔτε τοὺς Ἀσσυρίους, οὔτε τοὺς Αὐδοὺς, οὔτε τοὺς συμμάχους αὐτῶν ἔτι ἐφοβοῦντο, ἀλλὰ, μὴ παντάπασιν ὁ Κῦρος μικράν τινα ἑαυτῶν οἴοιτο ῥόπὴν εἶναι καὶ παρόντων καὶ ἀπόντων.

15. Πορευομένων δὲ, ἐπεὶ νὺξ ἐπεγένετο, λέγεται φῶς τῷ Κύρῳ καὶ τῷ στρατεύματι ἐκ τοῦ οὐρανοῦ προφανὲς γενέσθαι, ὥστε πᾶσι φρίκην μὲν πρὸς τὸ θεῖον ἐγγίγνεσθαι, θάρσος δὲ πρὸς τοὺς πολεμίους. Ὡς δὲ εὖ ζωνοί τε καὶ ταχὺ ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν διήνυσαν, καὶ ἅμα κέφᾳ πλησίον γίγνονται τοῦ τῶν Τρκανίων στρατεύματος. 16. Ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι, λέγουσι τῷ Κύρῳ, ὅτι οὗτοί εἰσιν οἱ σφέτεροι· τῷ τε γὰρ ὑστάτους εἶναι γιγνώσκειν ἔφασαν καὶ τῷ πλήθει τῶν πυρῶν. 17. Ἐκ τούτου πέμπει τὸν ἕτερον αὐτῶν πρὸς αὐτοὺς, προστάξας λέγειν, εἰ φίλοι εἰσὶν, ὡς τάχιστα ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας. Συμπέμπει δὲ τινὰ καὶ τῶν σὺν ἑαυτῷ, καὶ λέγειν ἐκέλευσε τοῖς Τρκανίοις, ὅτι, ὡς ἂν ὁρῶσιν αὐτοὺς προσφερομένους, οὕτω καὶ αὐτοὶ ποιήσουσιν. Οὕτω δὴ ὁ μὲν μένει τῶν ἀγγέλων παρὰ τῷ Κύρῳ, ὁ δὲ προσελαύνει πρὸς τοὺς Τρκανίους.

18. Ἐν ᾧ δ' ἐσκόπει τοὺς Τρκανίους ὁ Κῦρος, ὅ τι ποιήσουσιν, ἐπέστησε τὸ στράτευμα· καὶ παρελαύνουσι πρὸς αὐτὸν οἱ τῶν Μήδων προεστηκότες καὶ ὁ Τιγράνης, καὶ ἐρωτῶσι, τί δεῖ ποιεῖν. Ὁ δὲ λέγει αὐτοῖς, ὅτι τοῦτ' ἔστι τὸ πλησίον Τρκανίων στράτευμα, καὶ οἴχεται ὁ ἕτερος τῶν ἀγγέλων πρὸς αὐ-

τοὺς, καὶ τῶν ἡμετέρων τὶς σὺν αὐτῷ, ἐροῦντες, εἰ φίλοι εἰσὶν, ὑπαντιάζειν τὰς δεξιὰς ἀπατείναντας πάντας. Ἐὰν μὲν οὖν οὕτω ποιῶσι, δεξιοῦσθέ τε αὐτοὺς, καθ' ὃν ἂν ᾖ ἕκαστος, καὶ ἅμα θαῤῥύνετε· ἐὰν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, πρώτων εὐθὺς πειρᾶσθε μηδένα λιπεῖν. 19. Ὁ μὲν τοιαῦτα παρήγγειλεν. Οἱ δὲ Ὑρκάνιοι, ἀκούσαντες τῶν ἀγγέλων, ἥσθησάν τε, καὶ ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους παρῆσαν, τὰς δεξιὰς, ὥσπερ εἴρητο, προτείνοντες· οἱ δὲ Μῆδοι καὶ οἱ Πέρσαι ἀντεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάῤῥυνον. 20. Ἐκ τούτου δὴ λέγει ὁ Κῦρος, Ἡμεῖς μὲν δὴ, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν· καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. Τοῦτο δ', ἔφη, ἡμῖν πρῶτον εἰπατε, ὁπόσον ἀπέχει ἐνθένδε, ἔνθα αἱ ἀρχαὶ εἰσι τῶν πολεμίων, καὶ τὸ ἀθρόον αὐτῶν. Οἱ δὲ ἀπεκρίναντο, ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην.

21. Ἐνταῦθα δὴ λέγει ὁ Κῦρος, Ἄγετε δὴ, ἔφη, ὦ ἄνδρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς, ὦ Ὑρκάνιοι, (ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς συμμάχους καὶ κοινωνοὺς διαλέγομαι) εὖ χρὴ εἰδέναι, νῦν ὅτι ἐν τούτῳ ἐσμὲν, ἔνθα δὴ μαλακισάμενοι μὲν, πάντων ἂν τῶν χαλεπωτάτων τύχοιμεν· (ἴσασι γὰρ οἱ πολέμιοι, ἐφ' ἃ ἥκομεν) ἢν δὲ κατὰ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ῥώμῃ καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε, ὥσπερ δούλων ἀποδιδρασκόντων καὶ εὑρημένων, τοὺς μὲν ἱκετεύοντας αὐτῶν, τοὺς δὲ φεύγοντας, τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυ-

ναμένους. Ἡττημένοι γὰρ ὄψονταί τε ἡμᾶς, καὶ οὔτε οἰόμενοι ἥξειν, οὔτε συντεταγμένοι, οὔτε μάχεσθαι παρεσκευασμένοι, κατειλημμένοι ἔσονται. 22 Εἰ οὖν ἡδέως βουλοίμεθα καὶ δειπνῆσαι καὶ νυκτερεῦσαι καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν αὐτοῖς σχολὴν μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι μηδὲν ἀγαθὸν ἑαυτοῖς, μηδὲ γνῶναι πάμπαν, ὅτι ἄνθρωποί ἐσμεν· ἀλλὰ γέρρα καὶ κοπίδας καὶ σαγάρεις ἅπαντα καὶ πληγὰς ἥκειν νομιζόντων. 23. Καὶ ὑμεῖς μέν, ἔφη, ὦ Ἀρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν, προπορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμένων λανθάνωμεν ὅτι πλεῖστον χρόνον. Ἐπειδὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολεμίων, παρ' ἐμοὶ μὲν καταλείπετε ἕκαστοι τάξιν ἱππέων, ὡς, ἐάν τι δέῃ, χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. 24. Ὑμῶν δὲ οἱ μὲν ἄρχοντες καὶ οἱ πρεσβύτεροι ἐν τάξει ἐλαύνετε ἀθρόοι, εἰ σωφρονεῖτε, ἵνα μήποτε ἀθρόῳ τινὶ ἐντυχόντες ἀποβιασθῆτε· τοὺς δὲ νεωτέρους ἐφίετε διώκειν· οὗτοι δὲ καινόντων· τοῦτο γὰρ ἀσφαλέστατον νῦν ὡς ἐλαχίστους τῶν πολεμίων λιπεῖν. 25. Ἢν δὲ νικῶμεν, ἔφη, ὃ πολλοῖς δὴ κρατοῦσι τὴν τύχην ἀνέτρεψε, φυλάξασθαι δεῖ τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι· ὡς ὁ τοῦτο ποιῶν οὐκέτι ἀνὴρ ἐστιν, ἀλλὰ σκευοφόρος· καὶ ἔξεστι τῷ βουλομένῳ ἤδη χρῆσθαι τούτῳ ὡς ἀνδραπόδῳ. 26. Ἐκεῖνο δὲ χρὴ γνῶναι, ὅτι οὐδέν ἐστι κερδαλεώτερον τοῦ νικᾶν. Ὁ γὰρ κρατῶν ἅμα πάντα συνήρπακε, καὶ τοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ

τὰ χρήματα, καὶ πᾶσαν ἅμα τὴν χώραν. Πρὸς ταῦτα τοῦτο μόνον ὁρᾶτε, ὅπως τὴν νίκην διασώσομεν· ἐν γὰρ ταύτῃ καὶ αὐτὸς ὁ ὑρπάζων ἔχεται. Καὶ τοῦτο ἅμα διώκοντες μέμνησθε, ἥκειν πάλιν ὡς ἐμὲ ἔτι φάους ὄντος· ὡς σκότους γενομένου οὐδένα ἔτι προσδεξόμεθα.

27. Ταῦτα εἰπὼν ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους, καὶ ἐκέλευεν ἅμα πορευομένους τοῖς ἑαυτοῦ ἕκαστον δεκαδάρχοις ταὐτὰ σημαίνειν· (ἐν μετώπῳ γὰρ οἱ δεκάδαρχοι ἦσαν, ὥστε ἀκούειν) τοὺς δὲ δεκαδάρχους τῇ δεκάδι ἕκαστον κελεύειν παραγγέλλειν. Ἐκ τούτου προηγοῦντο μὲν οἱ Τρκάνιοι, αὐτὸς δὲ τὸ μέσον ἔχων σὺν τοῖς Πέρσαις ἐπορεύετο· τοὺς δὲ ἱππέας ἑκατέρωθεν, ὥσπερ εἰκὸς, παρέταξε. 28. Τῶν δὲ πολεμίων, ἐπεὶ φῶς ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ ὁρώμενα, οἱ δὲ ἐγίγνωσκον ἤδη· οἱ δ' ἤγγελλον, οἱ δὲ ἐβόων, οἱ δ' ἵλλυον ἵππους, οἱ δὲ συνεσκευάζοντο, οἱ δ' ἐῤῥίπτουν τὰ ὅπλα ἀπὸ τῶν ὑποζυγίων, οἱ δ' ὡπλίζοντο· οἱ δὲ ἀνεπήδων ἐπὶ τοὺς ἵππους, οἱ δὲ ἐχαλίνουν· οἱ δὲ τὰς γυναῖκας ἀνεβίβαζον ἐπὶ τὰ ὀχήματα· οἱ δὲ τὰ πλείστου ἄξια ἐλάμβανον, ὡς διασωσόμενοι, οἱ δὲ κατορύττοντες τὰ τοιαῦτα ἡλίσκοντο· οἱ δὲ πλεῖστοι εἰς φυγὴν ὥρμων. Οἴεσθαι δὲ χρὴ καὶ ἄλλα πολλά τε καὶ παντοδαπὰ ποιεῖν αὐτούς· πλὴν ἐμάχετο οὐδεὶς, ἀλλ' ἀμαχητεὶ ἀπώλλυντο. 29. Κροῖσος δὲ ὁ Λυδῶν βασιλεὺς, ὡς θέρος ἦν, τάς τε γυναῖκας ἐν ταῖς ἁρμαμάξαις προαπεπέμψατο τῆς νυκτὸς, ὡς ἂν ῥᾷον πορεύοιντο κατὰ τὸ ψύχος,

καὶ αὐτὸς ἔχων τοὺς ἱππέας ἐπηκολούθει. 30. Καὶ τὸν Φρύγα ταῦτά φασι ποιῆσαι, τὸν τῆς παρ' Ἕλλησποντον ἄρχοντα Φρυγίας. Ὡς δὲ παρῄνθοντο τῶν φευγόντων καὶ καταλαμβανόντων ἑαυτούς, πυθόμενοι τὸ γιγνόμενον, ἔφευγον δὴ καὶ αὐτοὶ ἀνὰ κράτος. 31. Τὸν δὲ τῶν Καππαδοκῶν βασιλέα καὶ τὸν τῶν Ἀραβίων ἔτι ἐγγὺς ὄντας καὶ ὑποστάντας ἀθωράκιστους κατακαίνουσιν οἱ Τρκάνιοι. Τὸ δὲ πλεῖστον ἦν τῶν ἀποθανόντων Ἀσσυρίων καὶ Ἀραβίων· ἐν γὰρ τῇ ἑαυτῶν ὄντες χώρᾳ, ἀσυντονώτατα πρὸς τὴν πορείαν εἶχον. 32. Οἱ μὲν δὴ Μῆδοι καὶ Τρκάνιοι, οἷα δὴ εἰκὸς κρατοῦντας, τοιαῦτα ἐποίουν διώκοντες. Ὁ δὲ Κῦρος τοὺς παρ' ἑαυτῷ ἱππέας καταλειφθέντας περιελαύνειν ἐκέλευσε τὸ στρατόπεδον, καὶ εἴ τινας σὺν ὅπλοις ἐξιόντας ἴδοιεν, κατακαίνειν· τοῖς δ' ὑπομένουσιν ἐκήρυξεν, ὁπόσοι τῶν πολεμίων στρατιωτῶν ἦσαν ἱππεῖς, ἢ πελτασταὶ, ἢ τοξόται, ἀποφέρειν τὰ ὅπλα συνδεδεμένα, τοὺς δὲ ἵππους ἐπὶ ταῖς σκηναῖς καταλιπεῖν· ὅστις δὲ μὴ ταῦτα ποιήσοι, αὐτίκα τῆς κεφαλῆς στερήσεσθαι· τὰς δὲ κοπίδας προχείρους ἔχοντες ἐν τάξει περιέστησαν. 33. Οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες ἐρρίπτουν ἀποφέροντες εἰς ἓν χωρίον, ὅποι ἐκέλευσε· καὶ ταῦτα μὲν, οἷς ἐπέταξεν, ἔκαιον.

34. Ὁ δὲ Κῦρος ἐνενόησεν, ὅτι ἦλθον μὲν οὔτε σῖτα οὔτε ποτὰ ἔχοντες, ἄνευ δὲ τούτων οὔτε στρατεύεσθαι δυνατὸν, οὔτ' ἄλλο ποιεῖν οὐδέν. Σκοπῶν δὲ, ὡς ἂν ταῦτα τάχιστα καὶ κάλλιστα γένοιτο, ἐνθυμεῖται,

ὅτι ἀνάγκη πᾶσι τοῖς στρατευομένοις ἐστὶν, εἶναί τινα, ὅτῳ καὶ σκηνῆς μελήσει, καὶ ὅπως τὰ ἐπιτήδεια παρεσκευασμένα τοῖς στρατιώταις εἰσιοῦσιν ἔσται. 35. Καὶ τοίνυν ἔγωγε, ὅτι τούτους εἰκὸς μάλιστα πάντων ἐν τῷ στρατοπέδῳ νῦν κατειλῆφθαι ἂν ἦν, διὰ τὸ ἀμφὶ συσκευασίαν ἔχειν· ἐκήρυξε δὴ, παρεῖναι πάντας τοὺς ἐπιτρόπους· εἰ δέ που μὴ εἴη ἐπίτροπος, τὸν πρεσβύτατον ἀπὸ σκηνῆς· τῷ δὲ ἀπειθοῦντι πάντα τὰ χαλεπὰ ἀνεῖπεν. Οἱ δὲ, ὁρῶντες καὶ τοὺς δεσπότας πειθομένους, ταχὺ ἐπείθοντο. 36. Ἐπεὶ δὲ παρεγένοντο, πρῶτον μὲν ἐκέλευσε καθίζεσθαι αὐτῶν, ὅσοις ἐστὶ πλέον ἢ δυοῖν μηνῶν ἐν τῇ σκηνῇ τὰ ἐπιτήδεια. Ἐπεὶ δὲ τούτους εἶδεν, αὖθις ἐκέλευσεν, ὅσοις μηνὸς ἦν· ἐν δὲ τούτῳ σχεδὸν σύμπαντες ἐκαθίζοντο. 37. Ἐπεὶ δὲ ταῦτα ἔμαθεν, εἶπεν ὧδε αὐτοῖς, Ἄγετε νῦν, ἔφη, ὦ ἄνδρες, εἴ τινες ὑμῶν τὰ μὲν κακὰ μισεῖτε, ἀγαθοῦ δέ τινος παρ' ἡμῶν βούλοισθ' ἂν τυγχάνειν, ἐπιμελήθητε προθύμως, ὅπως διπλάσια ἐν τῇ σκηνῇ ἑκάστῃ σῖτα καὶ ποτὰ παρεσκευασμένα ᾖ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις, ἢ ἃ καθ' ἡμέραν ἐποιεῖτε· καὶ τἆλλα δὲ πάντα, ὁπόσα καλὴν δαῖτα παρέξει, ἕτοιμα ποιεῖτε· ὡς αὐτίκα μάλα παρέσονται, ὁπότεροι ἂν κρατῶσι, καὶ ἀξιώσουσιν ἔκπλεω ἔχειν πάντα τὰ ἐπιτήδεια. Εὖ οὖν ἴστε, ὅτι συμφέροι ἂν ὑμῖν, ἀμέμπτως δέχεσθαι τοὺς ἄνδρας. 38. Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες, πολλῇ σπουδῇ τὰ παρηγγελμένα ἔπραττον. Ὁ δ' αὖ συγκαλέσας τοὺς ταξιάρχους ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, γιγνώσκω μὲν, ὅτι νῦν ἔξεστιν ἡμῖν προτέροις τῶν ἀπόντων συμμάχων ἀρίστου τυχεῖν, καὶ τοῖς μάλα ἐσπουδασμένοις σίτοις καὶ ποτοῖς χρῆσθαι· ἀλλ᾽ οὔ μοι δοκεῖ τοῦτ᾽ ἂν τὸ ἄριστον πλέον ὠφελῆσαι ἡμᾶς, ἢ τὸ τῶν συμμάχων ἐπιμελεῖς φανῆναι, οὐδ᾽ ἂν αὕτη ἡ εὐωχία ἰσχυροτέρους τοσοῦτον ποιῆσαι, ὅσον εἰ δυναίμεθα τοὺς συμμάχους προθύμους ποιεῖσθαι. 39. Εἰ δὲ τῶν νυνὶ διωκόντων καὶ κατακαινόντων τοὺς ἡμετέρους πολεμίους, καὶ μαχομένων, εἴ τις ἐναντιοῦται, τούτων δόξομεν οὕτως ἀμελεῖν, ὥστε, καὶ πρὶν εἰδέναι, ὅ τι πράττουσιν, ἠριστηκότες φαίνεσθαι, ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα, ἀσθενεῖς δ᾽ ἐσόμεθα, συμμάχων ἀποροῦντες. Τὸ δὲ τῶν πονούντων καὶ κινδυνευόντων ἐπιμεληθῆναι, ὅπως εἰσιόντες τὰ ἐπιτήδεια ἕξουσιν, αὕτη ἂν ἡμᾶς ἡ θοίνη πλείω εὐφράνειεν, ὡς ἐγώ φημι, ἢ τὸ παραχρῆμα τῇ γαστρὶ χαρίσασθαι. 40. Ἐννοήσατε δ᾽, ἔφη, ὡς, εἰ μηδ᾽ ἐκείνους αἰσχυντέον ἦν, οὐδ᾽ ὡς ἡμῖν νῦν προσήκει οὔτε πλησμονῆς πω, οὔτε μέθης· οὐ γάρ πω διαπέπρακται ἡμῖν, ἃ βουλόμεθα, ἀλλ᾽ αὐτὰ πάντα νῦν ἀκμάζει ἐπιμελείας δεόμενα. Ἔχομεν γὰρ ἐν τῷ στρατοπέδῳ πολεμίους πολλαπλασίους ἡμῶν αὐτῶν, καὶ τούτους λελυμένους· οὓς καὶ φυλάττεσθαι ἴσως ἔτι προσήκει, καὶ φυλάττειν, ὅπως ὧσι καὶ οἱ ποιήσοντες ἡμῖν τὰ ἐπιτήδεια. Ἔτι δ᾽ οἱ ἱππεῖς ἡμῖν ἄπεισι, φροντίδα παρέχοντες, ὅπου εἰσί· κἂν ἔλθωσιν, εἰ παραμενοῦσιν. 41. Ὥρτε, ὦ ἄνδρες, νῦν μοι δοκεῖ τοιοῦτον σῖ-

τον προσφέρεσθαι δεῖν ἡμᾶς καὶ τοιοῦτον ποτὸν, ὁποῖόν τις οἴεται μάλιστα σύμφορον εἶναι πρὸς τὸ μήτε ὕπνου, μήτε ἀφροσύνης ἐμπίπλασθαι. 42. Ἔτι δὲ καὶ χρήματα ἐγὼ οἶδα ὅτι πολλὰ ἐν τῷ στρατοπέδῳ ἐστὶν, ὧν οὐκ ἀγνοῶ ὅτι δυνατὸν ἡμῖν (κοινῶν αὐτῶν ὄντων τοῖς συγκατειληφόσι) νοσφίσασθαι, ὁπόσα ἂν βουλώμεθα· ἀλλ' οὔ μοι δοκεῖ τὸ λαβεῖν κερδαλεώτερον εἶναι τοῦ, δικαίους φαινομένους ἐκείνοις, τούτῳ πειρᾶσθαι ἔτι μᾶλλον ποιεῖν αὐτοὺς ἢ νῦν ἀσπάζεσθαι ἡμᾶς. 43. Δοκεῖ δ' ἔμοιγ', ἔφη, καὶ τὸ νεῖμαι τὰ χρήματα, ἐπειδὴν ἔλθωσι, Μήδοις καὶ Ἀρκανίοις καὶ Τιγράνῃ ἐπιτρέψαι· κἄν τι μεῖον ὑμῖν δώσωνται, κέρδος ἡγήσασθαι· διὰ γὰρ τὰ κέρδη ἥδιον ἡμῖν παραμενοῦσι. 44. Τὸ μὲν γὰρ νῦν πλεονεκτῆσαι, ὀλιγοχρόνιον ἂν ἡμῖν τὸν πλοῦτον παράσχοι· τὸ δὲ, ταῦτα προεμένους, ἐκεῖνα κτήσασθαι, ὅθεν ὁ πλοῦτος φύεται, τοῦθ', ὡς ἐγὼ δοκῶ, ἀενναότερον ἡμῖν δύναιτ' ἂν τὸν ὄλβον καὶ πᾶσι τοῖς ἡμετέροις παρέχειν. 45. Οἶμαι δ', ἔφη, καὶ οἴκοι ὑμᾶς τούτου ἕνεκεν ἀσκεῖν, καὶ γαστρὸς κρείττονες εἶναι καὶ κερδέων ἀκαίρων, ἵν', εἴ ποτε δέοι, δυναίμεθα αὐτοῖς συμφόρως χρῆσθαι· ποῦ δ' ἂν ἐν μείζοσι τῶν νῦν παρόντων ἐπιδειξαίμεθα τὴν παιδείαν, ἐγὼ μὲν οὐχ ὁρῶ.

46. Ὁ μὲν οὕτως εἶπε· συνεῖπε δ' αὐτῷ Ὑστάσπας, ἀνὴρ Πέρσης τῶν ὁμοτίμων, ὧδε· Δεινὸν γάρ τ' ἂν εἴη, ὦ Κῦρε, εἰ ἐν θήρᾳ μὲν πολλάκις ἄσιτοι καρτεροῦμεν, ὅπως θηρίον τι ὑποχείριον ποιησώμεθα

καὶ μάλα μικροῦ ἴσως ἄξιον· ὄλβον δὲ ὅλον πειρώμενοι θηρᾶν, εἰ ἐμποδών τι ποιησαίμεθα γενέσθαι ἡμῖν, ἃ τῶν μὲν κακῶν ἀνθρώποις ἄρχει, τοῖς δ' ἀγαθοῖς πείθεται· οὐκ ἂν πρέποντα ἡμῖν δοκοίημεν ποιεῖν. 47. Ὁ μὲν Ὑστάσπας δὴ οὕτω συνεῖπεν· οἱ δ' ἄλλοι πάντες ταῦτα συνῄνουν. Ὁ δὲ Κῦρος εἶπεν, Ἄγετε δή, ἔφη, ἐπειδὴ ὁμονοοῦμεν ταῦτα, πέμψατε ἀπὸ λόχου πέντε ἄνδρας ἕκαστος τῶν σπουδαιοτάτων· οὗτοι δὲ περιιόντες, οὓς μὲν ἂν ὁρῶσι πορσύνοντας τὰ ἐπιτήδεια, ἐπαινούντων· οὓς δ' ἂν ἀμελοῦντας, κολαζόντων ἀφειδέστερον, ἢ ὡς δεσπόται. Οὗτοι μὲν δὴ ταῦτα ἐποίουν.

CAPVT III.

1. Τῶν δὲ Μήδων τινὲς ἤδη οἱ μὲν, ἅμ' ἕῳ προωρμημένας καταλαβόντες καὶ ἀποστρέψαντες, προσῆλαυνον μεστὰς, ὧν ἐδεῖτο ἡ στρατιά, οἱ δὲ καὶ ἁρμαμάξας γυναικῶν τῶν βελτίστων, τῶν μὲν γνησίων, τῶν δὲ καὶ παλλακίδων, διὰ τὸ κάλλος συμπεριαγομένων, καὶ ταύτας εἰληφότες προσῆγον. 2. Πάντες γὰρ ἔτι καὶ νῦν οἳ κατὰ τὴν Ἀσίαν στρατευόμενοι, ἔχοντες τὰ πλείστου ἄξια, στρατεύονται, λέγοντες, ὅτι μᾶλλον μάχοιντ' ἄν, εἰ τὰ φίλτατα παρείη· τούτοις γὰρ φασιν ἀνάγκην εἶναι προθύμως ἀλέξειν. Ἴσως μὲν οὖν οὕτως ἔχει· ἴσως δὲ καὶ ποιοῦσιν αὐτὰ τῇ ἡδονῇ χαριζόμενοι.

3. Ὁ δὲ Κῦρος, θεωρῶν τὰ τῶν Μήδων ἔργα καὶ Ὑρκανίων, ὥσπερεὶ κατεμέμφετο καὶ ἑαυτὸν καὶ τοὺς

σὺν αὐτῷ, εἰ οἱ ἄλλοι τοῦτον τὸν χρόνον ἀκμάζειν τε μᾶλλον ἑαυτῶν ἐδόκουν καὶ προσκτᾶσθαί τι, αὐτοὶ δ' ἐν ἀργοτέρᾳ χώρᾳ ὑποκαταμένειν. Καὶ γὰρ δὴ οἱ ἀπάγοντες καὶ ἀποδεικνύντες Κύρῳ, ἃ ἦγον, πάλιν ἀπήλαυνον, μεταδιώκοντες τοὺς ἄλλους· ταῦτα γὰρ ἔφασαν σφίσι προστετάχθαι ποιεῖν ὑπὸ τῶν ἀρχόντων. Δακνόμενος δὴ ὁ Κῦρος ἐπὶ τούτοις, ταῦτα μὲν ὅμως κατεχώριζε· συνεκάλει δὲ πάλιν τοὺς ταξιάρχους, καὶ στὰς, ὅπου ἔμελλεν ἂν ἐξακούεσθαι τὰ λεγόμενα, εἶπε τάδε·

4. Ὅτι μέν, ὦ ἄνδρες φίλοι, εἰ κατάσχοιμεν τὰ νῦν προφαινόμενα, μεγάλα μὲν ἂν ἅπασι Πέρσαις ἀγαθὰ γένοιτο, μέγιστα δ' ἂν εἰκότως ἡμῖν, δι' ὧν πράσσεται, πάντες, οἶμαι, γιγνώσκομεν· ὅπως δ' ἂν αὐτῶν ἡμεῖς κύριοι γενοίμεθα, μὴ αὐτάρκεις ὄντες κτήσασθαι αὐτά, εἰ μὴ ἔσται οἰκεῖον ἱππικὸν Πέρσαις, τοῦτ' ἐγὼ οὐκέτι ὁρῶ. 5. Ἐννοεῖτε γὰρ δή, ἔφη, ἔχομεν ἡμεῖς οἱ Πέρσαι ὅπλα, οἷς δοκοῦμεν τρέπεσθαι τοὺς πολεμίους ὁμόσε ἰόντες· καὶ δὴ τρεπόμενοι, ποίους ἢ ἱππέας, ἢ τοξότας, ἢ πελταστὰς, ἢ ἀκοντιστὰς, ἄνευ ἵππων ὄντες δυναίμεθα ἂν φεύγοντας ἢ λαβεῖν, ἢ κατακαίνειν; Τίνες δ' ἂν φοβοῖντο ἡμᾶς προσιόντες κακουργεῖν ἢ τοξόται, ἢ ἀκοντισταὶ, ἢ ἱππεῖς, εὖ εἰδότες, ὅτι οὐδεὶς αὐτοῖς κίνδυνος, ὑφ' ἡμῶν κακόν τι παθεῖν μᾶλλον, ἢ ὑπὸ τῶν πεφυκότων δένδρων; 6. Εἰ δ' οὕτω ταῦτα ἔχει, οὐκ εὔδηλον, ἔφη, ὅτι οἱ νῦν παρόντες ἡμῖν ἱππεῖς νομίζουσι, ταῦτα πάντα ὑποχείρια γιγνόμενο

εἶναι ἑαυτῶν οὐχ ἧττον, ἢ ἡμέτερα; Ἴσως δὲ, νὴ Δία, καὶ μᾶλλον. 7. Νῦν μὲν οὖν οὕτω ταῦτα ἔχει κατ' ἀνάγκην. Εἰ δὲ ἡμεῖς ἱππικὸν κτησαίμεθα μὴ χεῖρον τούτων, οὐ παντάπασιν ἡμῖν καταφανὲς, ὅτι τούς τ' ἂν πολεμίους δυναίμεθα καὶ ἄνευ τούτων ποιεῖν, ὅσαπερ νῦν σὺν τούτοις, τούτους τε ἔχοιμεν ἂν τότε μετριώτερον πρὸς ἡμᾶς φρονοῦντας; Ὁπότε γὰρ ἢ παρεῖναι ἢ ἀπεῖναι βούλοιντο, ἧττον ἂν ἡμῖν μέλοι, εἰ αὐτοὶ ἄνευ τούτων ἀρκοίημεν ἡμῖν αὐτοῖς. Εἶεν. 8. Ταῦτα μὲν δὴ, οἶμαι, οὐδεὶς ἂν ἀντιγνωμονήσειε, μὴ οὐχὶ τὸ πᾶν διαφέρειν, τῶν Περσῶν γενέσθαι οἰκεῖον ἱππικόν. Ἀλλ' ἐκεῖνο ἴσως ἐννοεῖτε, πῶς ἂν τοῦτο γένοιτο. Ἆρ' οὖν σκεψώμεθα, εἰ βουλοίμεθα καθιστάναι ἱππικὸν, τί ἡμῖν ὑπάρχει, καὶ τίνος ἐνδεῖ. 9. Οὐκοῦν ἵπποι μὲν οὗτοι πολλοὶ ἐν τῷ στρατοπέδῳ κατειλημμένοι, καὶ χαλινοὶ, οἷς πείθονται, καὶ τἆλλα, ὅσα δεῖ ἵπποις ἔχουσι χρῆσθαι. Ἀλλὰ μὴν καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα χρῆσθαι ἔχομεν, θώρακας μὲν, ἐρύματα τῶν σωμάτων, παλτὰ δὲ, οἷς καὶ μεθιέντες καὶ ἔχοντες χρώμεθ' ἄν. 10. Τί δὴ τὸ λοιπόν; Δηλονότι ἀνδρῶν δεῖ. Οὐκοῦν τοῦτο μάλιστα ἔχομεν; οὐδὲν γὰρ οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι οὐκ ἐπιστάμεθα. Μὰ Δί'· οὐδὲ γὰρ τούτων τῶν ἐπισταμένων νῦν, πρὶν μαθεῖν, οὐδεὶς ἠπίστατο. 11. Ἀλλ' εἶποι ἄν τις, ὅτι παῖδες ὄντες ἐμάνθανον. Καὶ πότερα παῖδές εἰσι φρονιμώτεροι, ὥστε μαθεῖν τὰ φραζόμενα καὶ δεικνύμενα, ἢ ἄνδρες; πότεροι δὲ, ἃ ἂν

μάθωσιν, ἱκανώτεροι τοῖς σώμασιν ἐκπονεῖν, οἱ παῖδες ἢ οἱ ἄνδρες; 12. Ἀλλὰ μὴν σχολή γε ἡμῖν μανθάνειν, ὅση οὔτε παισὶν οὔτε ἄλλοις ἀνδράσιν· οὔτε γὰρ τοξεύειν ἡμῖν μαθητέον, ὥσπερ τοῖς παισί· προεπιστάμεθα γὰρ τοῦτο· οὔτε μὴν ἀκοντίζειν· ἐπιστάμεθα γὰρ καὶ τοῦτο· ἀλλ' οὐδὲ μήν, ὥσπερ τοῖς ἄλλοις ἀνδράσι, τοῖς μὲν γεωργίαι ἀσχολίαν παρέχουσι, τοῖς δὲ τέχναι, τοῖς δὲ ἄλλα οἰκεῖα· ἡμῖν δὲ στρατεύεσθαι οὐ μόνον σχολή, ἀλλὰ καὶ ἀνάγκη. 13. Ἀλλὰ μὴν οὐχ ὥσπερ ἄλλα πολλὰ τῶν πολεμικῶν, χαλεπὰ μέν, χρήσιμα δέ· ἱππικὴ δὲ οὐκ ἐν ὁδῷ μὲν ἡδίων, ἢ αὐτοὺς τοὺς ποδοῦν πορεύεσθαι; ἐν δὲ σπουδῇ οὐχ ἥδιστον μὲν φίλῳ παραγενέσθαι, εἰ δέοι, ταχὺ δέ, εἴτε ἄνδρα εἴτε θῆρα δέοι διώκεσθαι, καταλαβεῖν; Ἐκεῖνο δὲ οὐχὶ εὐπετές, τὸ, ὅ τι ἂν δέῃ ὅπλον φέρειν, τὸν ἵππον τοῦτο συμφέρειν; οὐκοῦν ταὐτό γ' ἐστὶν ἔχειν τε καὶ φέρειν. 14. Ὅ γε μὴν μάλιστ' ἂν τις φοβηθείη, μή, εἰ δεήσει ἐφ' ἵππου κινδυνεύειν πρότερον ἡμᾶς, πρὶν ἀκριβοῦν τὸ ἔργον τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν μήτε πω ἱππεῖς ἱκανοί, ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον· ὅπου γὰρ ἂν βουλώμεθα, ἑξόμεθα ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι· οὐδὲν γὰρ τῶν πεζικῶν ἀπομαθησόμεθα, ἱππεύειν μανθάνοντες. 15. Κῦρος μὲν οὕτως εἶπε· Χρυσάντας δὲ, συναγορεύων αὐτῷ, ὧδε ἔλεξεν·

Ἀλλ' ἐγὼ μέν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν, ὡς νομίζω, ἢν ἱππεὺς γένωμαι, ἄνθρωπος πτηνὸς γενέσθαι. 16. Νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ, ἢν

γ' ἐξ ἴσου τῷ θεῖν ὁρμηθεὶς ἀνθρώπῳ, μόνον τῇ κεφαλῇ προσχῶ, ἄντε, θηρίον παραθέον ἰδών, δυνηθῶ διατεινάμενος φθάσαι, ὥστε ἀκοντίσαι ἢ τοξεῦσαι, πρὶν πάνυ πρόσω αὐτὸ γενέσθαι. Ἢν δὲ ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄνδρα ἐξ ὄψεως μήκους καθαιρεῖν· δυνήσομαι δὲ, θηρία διώκων, τὰ μὲν ἐκ χειρὸς παίειν καταλαμβάνων, τὰ δὲ ἀκοντίζειν ὥσπερ ἑστηκότα· καὶ γὰρ, ἐὰν ἀμφότερα ταχέα ᾖ, ὅμως δὲ πλησίον γίγνηται ἀλλήλων, ὥσπερ τὰ ἑστηκότα ἔσται. 17. Ὃ δὲ δὴ μάλιστα δοκῶ ζῶον, ἔφη, ἐζηλωκέναι ἱπποκενταύρους, εἰ ἐγένοντο, ὥστε προβουλεύεσθαι μὲν ἀνθρώπου φρονήσει, ταῖς δὲ χερσὶ τὸ δέον παλαμᾶσθαι, ἵππου δὲ τάχος ἔχειν καὶ ἰσχὺν, ὥστε τὸ μὲν φεῦγον αἱρεῖν, τὸ δὲ ὑπομένον ἀνατρέπειν· οὐκοῦν πάντα ταῦτα, ἱππεὺς γενόμενος, συγκομίζομαι πρὸς ἐμαυτόν. 18. Προνοεῖν μέν γε ἔξω πάντα τῇ ἀνθρωπίνῃ γνώμῃ, ταῖς δὲ χερσὶν ὁπλοφορήσω, διώξομαι δὲ τῷ ἵππῳ, τὸν δὲ ἐναντίον ἀνατρέψω τῇ τοῦ ἵππου ῥώμῃ. Ἀλλ' οὐ συμπεφυκὼς δεδήσομαι, ὥσπερ οἱ ἱπποκένταυροι· οὐκοῦν τοῦτό γε κρεῖττον, ἢ συμπεφυκέναι. 19. Τοὺς μὲν γὰρ ἱπποκενταύρους οἶμαι ἐγωγε πολλοῖς μὲν ἀπορεῖν τῶν ἀνθρώποις εὑρημένων ἀγαθῶν ὅπως δεῖ χρῆσθαι, πολλῶν δὲ τῶν ἵπποις πεφυκότων ἡδέων πῶς αὐτῶν χρὴ ἀπολαύειν. 20. Ἐγὼ δὲ, ἣν ἱππεύειν μάθω, ὅταν μὲν ἐπὶ τοῦ ἵππου γένωμαι, τὰ τοῦ ἱπποκενταύρου διαπράξομαι· ὅταν δὲ καταβῶ, δειπνήσω, καὶ ἀμφιέσομαι, καὶ καθευδήσω, ὥσπερ

οἱ ἄλλοι ἄνθρωποι· ὥστε τί ἄλλο ἢ διαιρετὸς ἱππο-
κένταυρος καὶ πάλιν σύνθετος γίγνομαι; 21. Ἔτι δ',
ἔφη, καὶ τοῖσδε πλεονεκτήσω τοῦ ἱπποκενταύρου· ὁ
μὲν γὰρ δυοῖν ὀφθαλμοῖν προεωρᾶτο, καὶ δυοῖν
ὥτοιν ἤκουεν· ἐγὼ δὲ τέτταρσι μὲν ὀφθαλμοῖς τε-
κμαροῦμαι, τέτταρσι δὲ ὠσὶ προαισθήσομαι· πολλὰ
γὰρ φασιν ἀνθρώπους καὶ ἵππον τοῖς ὀφθαλμοῖς
προορῶντα δηλοῦν, πολλὰ δὲ τοῖς ὠσὶ προακούοντα
σημαίνειν. Ἐμὲ μὲν οὖν, ἔφη, γράφε τῶν ἱππεύειν
ὑπερεπιθυμούντων. Νὴ Δί', ἔφασαν οἱ ἄλλοι πάν-
τες, καὶ ἡμᾶς γε. 22. Ἐκ τούτου δὴ ὁ Κῦρος λέγει·
Τί οὖν; ἔφη, ἐπεὶ σφόδρα ἡμῖν ταῦτα δοκεῖ, εἰ καὶ
νόμον ἡμῖν αὐτοῖς ποιησαίμεθα, αἰσχρὸν εἶναι, οἷς
ἂν ἵππους ἐγὼ πορίσω, ἂν τις φανῇ πεζῇ ἡμῶν πο-
ρευόμενος, ἐάν τε πολλήν, ἐάν τε ὀλίγην ὁδὸν δέῃ
διελθεῖν; ἵνα καὶ παντάπασιν ἱπποκενταύρους οἴων-
ται ἡμᾶς οἱ ἄνθρωποι εἶναι. 23. Ὁ μὲν οὕτως ἐπή-
ρετο· οἱ δὲ πάντες συνεπήνεσαν· ὥστε ἔτι καὶ νῦν ἐξ
ἐκείνου οὕτω χρῶνται Πέρσαι, καὶ οὐδεὶς ἂν τῶν κα-
λῶν κἀγαθῶν ἑκὼν ὀφθείη Περσῶν οὐδαμοῦ πεζὸς
ἰών. Οἱ μὲν δὴ ἐν τούτοις τοῖς λόγοις ἦσαν.

CAP. IV.

1. Ἡνίκα δ' ἦν ἔξω μέσου ἡμέρας, προσῆλαυνον οἱ
Μῆδοι ἱππεῖς καὶ οἱ Ἑρκάνιοι, ἵππους τε ἄγοντες
κἀκμαλώτους καὶ ἄνδρας· ὅσοι γὰρ τὰ ὅπλα παρε-
δίδοσαν, οὐκ ἀπέκτεινον. 2. Ἐπεὶ δὲ προσῆλασαν,
πρῶτον μὲν αὐτῶν ἐπυνθάνετο ὁ Κῦρος, εἰ σῶοι

πάντες εἶεν αὐτῷ· ἐπεὶ δὲ τοῦτ' ἔφασαν, ἐκ τούτου ἠρώτα, ὅ τι ἔπραξαν. Οἱ δὲ διηγοῦντο, ἅπερ ἐποίησαν, καὶ ὡς ἀνδρείως ἕκαστα, ἐμεγαληγόρουν. 3. Ὁ δὲ διήκουε πάντα ἡδέως, ὅσα ἐβούλοντο λέγειν· ἔπειτα δὲ καὶ ἐπῄνεσεν αὐτοὺς οὕτως· Ἀλλὰ καὶ δῆλοί τοι, ἔφη, ἐστὲ, ὡς ἄνδρες ἀγαθοὶ ἐγένεσθε· καὶ γὰρ μείζους φαίνεσθε, καὶ καλλίους, καὶ γοργότεροι, ἢ πρόσθεν, ἰδεῖν. 4. Ἐκ δὲ τούτου ἐπυνθάνετο ἤδη αὐτῶν, καὶ ὁπόσην ὁδὸν διήλασαν, καὶ εἰ οἰκοῖτο ἡ χώρα. Οἱ δ' ἔλεγον, ὅτι καὶ πολλὴν διελάσειαν, καὶ πᾶσα οἰκοῖτο ἡ χώρα, καὶ μεστὴ εἴη καὶ οἰῶν, καὶ αἰγῶν, καὶ βοῶν, καὶ ἵππων, καὶ σίτου, καὶ πάντων ἀγαθῶν. 5. Δυοῖν ἄν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη, ὅπως τε κρείττους ἐσόμεθα τῶν ἐχόντων αὐτὰ, καὶ ὅπως αὐτοὶ μενοῦσιν· οἰκουμένη μὲν γὰρ χώρα πολλοῦ ἄξιον κτῆμα· ἐρήμη δ' ἀνθρώπων οὖσα, ἐρήμη καὶ τῶν ἀγαθῶν γίγνεται. 6. Τοὺς μὲν οὖν ἀμυνομένους οἶδα, ἔφη, ὅτι ἀπεκτείνατε, ὀρθῶς ποιοῦντες· τοῦτο γὰρ μάλιστα σώζει τὴν νίκην· τοὺς δὲ παραδιδόντας [τὰ ὅπλα] αἰχμαλώτους ἠγάγετε· οὓς εἰ ἀφείημεν, τοῦτ' αὖ συμφορον ἄν, ὡς ἐγώ φημι, ποιήσαιμεν. 7. Πρῶτον μὲν γὰρ νῦν οὐκ ἂν φυλάττεσθαι οὐδὲ φυλάττειν τούτους ἡμᾶς δέοι, οὐδ' αὖ σιτοποιεῖν τούτοις· (οὐ γὰρ λιμῷ γε δήπου ἀποκτενοῦμεν αὐτοὺς) ἔπειτα δὲ καὶ τούτους ἀφέντες, πλείοσιν αἰχμαλώτοις χρησόμεθα. 8. Ἐὰν γὰρ κρατῶμεν τῆς χώρας, ἅπαντες ἡμῖν οἱ ἐν αὐτῇ οἰκοῦντες αἰχμάλωτοι ἔσονται· μᾶλλον δὲ

τούτους ζῶντας ἰδόντες καὶ ἀφεθέντας μενοῦσιν οἱ ἄλλοι, καὶ πείθεσθαι αἱρήσονται μᾶλλον ἢ μάχεσθαι. Ἐγὼ μὲν οὖν οὕτω γιγνώσκω· εἰ δ' ἄλλο τις ὁρᾷ ἄμεινον, λεγέτω. 9. Οἱ δὲ ἀκούσαντες συνήνουν ταῦτα ποιεῖν. Οὕτω δὴ ὁ Κῦρος καλέσας τοὺς αἰχμαλώτους λέγει τάδε· 10. Ἄνδρες, ἔφη, νῦν τε, ὅτι ἐπείθεσθε, τὰς ψυχὰς περιεποιήσασθε· τοῦ τε λοιποῦ, ἢν οὕτω ποιῆτε, οὐδ' ὁτιοῦν κακὸν ἔσται ὑμῖν ἄλλ', ἢ οὐχ ὁ αὐτὸς ἄρξει ὑμῶν, ὅσπερ καὶ πρότερον· οἰκήσετε δὲ τὰς αὐτὰς οἰκίας, καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε, καὶ γυναιξὶ ταῖς αὐταῖς συνοικήσετε, καὶ παίδων τῶν ὑμετέρων ἄρξετε, ὥσπερ νῦν. 11. Ἡμῖν μέντοι οὐ μαχεῖσθε, οὐδὲ ἄλλῳ οὐδενί· ἡνίκα δ' ἄν τις ὑμᾶς ἀδικῇ, ἡμεῖς ὑπὲρ ὑμῶν μαχούμεθα Ὅπως δὲ μηδ' ἐπαγγέλλῃ μηδεὶς ὑμῖν στρατεύειν, τὰ ὅπλα πρὸς ἡμᾶς κομίσατε· καὶ τοῖς μὲν κομίζουσιν ἔσται εἰρήνη, καὶ ἃ λέγομεν, ἀδόλως· ὁπόσοι δ' ἂν τὰ πολεμικὰ μὴ ἀποτίθωνται ὅπλα, ἐπὶ τούτους ἡμεῖς καὶ δὴ στρατευσόμεθα. 12. Ἐὰν δέ τις ὑμῶν καὶ ἰὼν ὡς ἡμᾶς εὐνοϊκῶς καὶ πράττων τι καὶ διδάσκων φαίνηται, τοῦτον ἡμεῖς ὡς εὐεργέτην καὶ φίλον, οὐχ ὡς δοῦλον, περιέψομεν. Ταῦτ' οὖν, ἔφη, αὐτοί τε ἴστε, καὶ τοῖς ἄλλοις διαγγέλλετε. 13. Ἂν δ' ἄρα, ἔφη, ὑμῶν βουλομένων ταῦτα, μὴ πείθωνταί τινες, ἐπὶ τούτους ἡμᾶς ἄγετε, ὅπως ὑμεῖς ἐκείνων, μὴ ἐκεῖνοι ὑμῶν ἄρχωσιν. Ὁ μὲν δὴ ταῦτ' εἶπεν· οἱ δὲ προσεκύνησάν τε καὶ ταῦτα ἔφασαν ποιήσειν.

CAP. V.

1. Ἐπεὶ δὲ ἐκεῖνοι ᾤχοντο, ὁ Κῦρος εἶπεν· Ὥρα δή, ὦ Μῆδοί τε καὶ Ἀρμένιοι, δειπνεῖν πᾶσιν ἡμῖν· παρεσκεύασται δὲ ὑμῖν τὰ ἐπιτήδεια, ὡς ἡμεῖς βέλτιστα ἠδυνάμεθα. Ἀλλ᾽ ἴτε, καὶ ἡμῖν πέμπετε τοῦ πεποιημένου σίτου τὸν ἥμισυν· ἱκανὸς δὲ ἀμφοτέροις πεποίηται· ὄψον δὲ μὴ πέμπετε, μηδὲ πιεῖν· ἱκανὰ γὰρ ἔχομεν παρ᾽ ἡμῖν αὐτοῖς παρεσκευασμένα. 2. Καὶ ὑμεῖς δ᾽, ἔφη, ὦ Τρκάνιοι, διάγετε αὐτοὺς ἐπὶ τὰς σκηνάς, τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, (γιγνώσκετε δὲ) τοὺς δ᾽ ἄλλους ὡς ἂν δοκῇ κάλλιστα ἔχειν· καὶ αὐτοὶ δὲ δειπνεῖτε, ὅπουπερ ἥδιστον ὑμῖν· σῶαι μὲν γὰρ ὑμῖν καὶ ἀκέραιοι αἱ σκηναὶ παρεσκεύασται δὲ καὶ ἐνθάδε, ὥςπερ καὶ τούτοις. 3. Τοῦτο δ᾽ ἴστε ἀμφότεροι, ὅτι τὰ μὲν ἔξω ὑμῖν ἡμεῖς νυκτοφυλακήσομεν, τὰ δ᾽ ἐν ταῖς σκηναῖς αὐτοὶ ὁρᾶτε, καὶ τὰ ὅπλα εὖ τίθεσθε· οἱ γὰρ ἐν ταῖς σκηναῖς οὔπω φίλοι ἡμῖν. 4. Οἱ μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τιγράνην ἐλοῦντο, καὶ ἱμάτια (ἦν γὰρ παρεσκευασμένα) μεταλαβόντες ἐδείπνουν· καὶ οἱ ἵπποι αὐτοῖς εἶχον τὰ ἐπιτήδεια· καὶ τοῖς Πέρσαις διέπεμπον τῶν ἄρτων ἑκάστοις τοὺς ἡμίσεις· ὄψον δὲ οὐκ ἔπεμπον οὐδὲ οἶνον, οἰόμενοι ἔχειν τοὺς ἀμφὶ Κῦρον, ὅτι ἔφη ἄφθονα ταῦτα ἔχειν· Ὁ δὲ Κῦρος ταῦτα ἔλεγεν, ὄψον μὲν τὸν λιμόν, πιεῖν δ᾽ ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. 5. Ὁ μὲν οὖν Κῦρος δειπνίσας τοὺς Πέρσας, ἐπεὶ συνεσκότασε, κατὰ πεμπάδος καὶ κατὰ δεκάδας πολλοὺς αὐτῶν διέπεμψε· καὶ ἐκε-

λευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν, νομίζων ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἐάν τις ἔξωθεν προσίῃ, ἅμα δὲ, ἐάν τις ἔξω χρήματα φέρων ἀποδιδράσκῃ, ἁλώσεσθαι αὐτόν· καὶ ἐγένετο οὕτως· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον, πολλοὶ δὲ ἑάλωσαν. 6. Ὁ δὲ Κῦρος τὰ μὲν χρήματα τοὺς λαβόντας εἶα ἔχειν, τοὺς δὲ ἀνθρώπους ἐκέλευσεν ἀποσφάξαι· ὥστε τοῦ λοιποῦ οὐδὲ βουλόμενος ἂν εὕρες ῥᾳδίως τὸν νύκτωρ πορευόμενον. 7. Οἱ μὲν δὴ Πέρσαι οὕτω διῆγον· οἱ δὲ Μῆδοι καὶ ἔπινον, καὶ εὐωχοῦντο, καὶ ηὐλοῦντο, καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο· πολλὰ γὰρ καὶ τοιαῦτα ἑάλω, ὥς τε μὴ ἀπορεῖν ἔργου τοὺς ἐργηγορότας.

8. Ὁ δὲ Κυαξάρης, ὁ τῶν Μήδων βασιλεὺς, τὴν μὲν νύκτα, ἐν ᾗ ἐξῆλθεν ὁ Κῦρος, αὐτός τε ἐμεθύσκετο μεθ' ὧνπερ ἐσκήνου, ὡς ἐπ' εὐτυχίᾳ, καὶ τοὺς ἄλλους δὲ Μήδους ᾤετο παρεῖναι ἐν τῷ στρατοπέδῳ, πλὴν ὀλίγων, ἀκούων θόρυβον πολὺν· οἱ γὰρ οἰκέται τῶν Μήδων, ἅτε τῶν δεσποτῶν ἀπεληλυθότων, ἀνειμένως καὶ ἔπινον καὶ ἐθορύβουν, ἄλλως τε καὶ ἐκ τοῦ Ἀσσυρίου στρατεύματος καὶ οἶνον καὶ ἄλλα πολλὰ τοιαῦτα εἰληφότες. 9. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ἐπὶ θύρας οὐδεὶς ἦκε, πλὴν οἵπερ καὶ συνεδείπνουν, καὶ τὸ στρατόπεδον κενὸν ἤκουεν εἶναι τῶν Μήδων καὶ τῶν ἱππέων, ὥρα δ', ἐπεὶ ἐξῆλθεν, οὕτως ἔχοντα· ἐνταῦθα δὴ ἐβριμοῦτό τε τῷ Κύρῳ καὶ τοῖς Μήδοις, τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι· καὶ εὐθὺς, ὥςπερ λέγεται ὠμὸς εἶναι καὶ

ἀγνώμων, κελεύει τῶν παρόντων τινὰ, λαβόντα τοὺς παρ' ἑαυτῷ ἵππέας, πορεύεσθαι ὡς τάχιστα πρὸς τὸ ἀμφὶ Κῦρον στράτευμα, καὶ λέγειν τάδε· 10. Ὤιμην μὲν ἔγωγε, οὐδ' ἂν σέ, ὦ Κῦρε, οὕτως ἀπρονοήτως περὶ ἐμοῦ βουλεύεσθαι· εἰ δὲ Κῦρος οὕτω γιγνώσκοι, οὐκ ἂν ὑμᾶς γε, ὦ Μῆδοι, ἐθελῆσαι οὕτως ἔρημον ἐμὲ καταλιπεῖν. Καὶ νῦν, ἐὰν μὲν Κῦρος βούληται· εἰ δὲ μὴ, ὑμεῖς γε τὴν ταχίστην πάρεστε. Ταῦτα δὴ ἐπέστελλεν. 11. Ὁ δὲ ταρσόμενος πορεύεσθαι ἔφη, Καὶ πῶς, ὦ δέσποτα, ἐγὼ εὑρήσω ἐκείνους; Πῶς δὲ Κῦρος, ἔφη, καὶ οἱ σὺν αὐτῷ, ἐφ' οἷς ἐπορεύοντο; Ὅτι νὴ Δί', ἔφη, ἀκούω ἀφεστηκότας τῶν πολεμίων Ὑρκανίους τινὰς, καὶ ἐλθόντας δεῦρο, οἴχεσθαι ἡγουμένους αὐτῶν. 12. Ἀκούσας ταῦτα ὁ Κυαξάρης, πολὺ μᾶλλον ἔτι τῷ Κύρῳ ὠργίζετο, τῷ μηδ' εἰπεῖν αὐτῷ ταῦτα· καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμπεν ἐπὶ τοὺς Μήδους, ὡς ψιλώσων αὐτόν· καὶ ἰσχυρότερον ἔτι ἢ πρόσθεν τοῖς Μήδοις ἀπειλῶν ἀπεκάλει· καὶ τῷ πεμπομένῳ δὲ ἠπείλει, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγγέλλοι.

13. Ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο, ἔχων τοὺς ἑαυτοῦ ἵππέας ὡς ἑκατόν· ἀνιώμενος, ὅτι οὐκ ἐπορεύθη καὶ αὐτὸς μετὰ τοῦ Κύρου. Ἐν δὲ τῇ ὁδῷ πορευόμενοι, διασχιζόμενοι τρίβῳ τινὶ, ἐπλανῶντο· καὶ οὐ πρόσθεν ἀφίκοντο ἐπὶ τὸ φίλιον στράτευμα, πρὶν ἐντυχόντες ἀποχωροῦσι τισὶ τῶν Ἀσσυρίων, ἠνάγκασαν αὐτοὺς ἡγεῖσθαι· καὶ οὕτω δὴ ἀφικνοῦνται, τὰ πυρὰ κατιδόντες, ἀμφὶ μέσας πως νύκτας. 14. Ἐπεὶ δ'

ἐγένοντο πρὸς τῷ στρατοπέδῳ, οἱ φύλακες, ὥσπερ εἰρημένον ἦν ὑπὸ Κύρου, οὐκ εἰσαφῆκαν αὐτοὺς πρὸ ἡμέρας. Ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο, πρῶτον μὲν τοὺς μάγους καλέσας ὁ Κῦρος, τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις ἀγαθοῖς ἐξαιρεῖσθαι ἐκέλευσε. 15. Καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶχον· ὁ δὲ, συγκαλέσας τοὺς ὁμοτίμους, εἶπεν· Ἄνδρες, ὁ μὲν θεὸς προφαίνει πολλὰ καὶ ἀγαθὰ, ἡμεῖς δὲ, ὦ Πέρσαι, ἐν τῷ παρόντι ὀλίγοι ἐσμὲν, ὡς ἐγκρατεῖς εἶναι αὐτῶν. Εἴτε γὰρ, ὅσα ἂν κατεργασώμεθα, μὴ φυλάξομεν, πάλιν ταῦτα ἀλλότρια ἔσται· εἴτε καταλείψομέν τινας ἡμῶν αὐτῶν φύλακας ἐπὶ τοῖς ἐφ' ἡμῖν γιγνομένοις, αὐτίκα οὐδεμίαν ἕξοντες ἰσχὺν ἀναφανούμεθα. 16. Δοκεῖ οὖν μοι ὡς τάχιστα ἰέναι τινὰ ὑμῶν εἰς Πέρσας, καὶ διδάσκειν, ἅπερ ἐγὼ λέγω, καὶ κελεύειν ὡς τάχιστα πέμπειν στράτευμα, εἴπερ ἐπιθυμοῦσι Πέρσαι τὴν ἀρχὴν τῆς Ἀσίας αὐτοῖς καὶ τὴν κάρπωσιν γενέσθαι. 17. Ἴθι μὲν οὖν, ἔφη, σὺ ὁ πρεσβύτατος, καὶ ἐλθὼν ταῦτα λέγε, καὶ ὅτι, οὓς ἂν πέμπωσι στρατιώτας, ἐπιδὰν ἔλθωσι παρ' ἐμὲ, ἐμοὶ μελήσει περὶ τῆς τροφῆς αὐτῶν. Ἃ δὲ ἔχομεν ἡμεῖς, ὁρᾷς μὲν αὐτὰ, κρύπτε δὲ τούτων μηδέν· ὅ τι δὲ τούτων ἐγὼ πέμπων εἰς Πέρσας καλῶς καὶ νομίμως ποιοίην ἄν, τὰ μὲν πρὸς τοὺς θεοὺς, τὸν πατέρα ἐρώτα· τὰ δὲ πρὸς τὸ κοινὸν, τὰς ἀρχάς. Πεμψάντων δὲ καὶ ὀπτῆρας, ὧν πράττομεν, καὶ φραστῆρας, ὧν ἐρωτῶμεν. Καὶ σὺ μὲν, ἔφη, συσκευάζου, καὶ τὸν λόχον προπομπὸν ἄγε.

18. Ἐκ τούτου δὲ καὶ τοὺς Μήδους ἐκάλει, καὶ ἅμα ὁ παρὰ τοῦ Κυαξάρους ἄγγελος παρίσταται, καὶ ἐν πᾶσι τήν τε πρὸς τὸν Κῦρον ὀργὴν καὶ τὰς πρὸς τοὺς Μήδους ἀπειλὰς αὐτοῦ ἔλεγε· καὶ τέλος εἶπεν, ὅτι ἀπιέναι Μήδους κελεύει, καὶ εἰ Κῦρος μένειν βούλεται. 19. Οἱ μὲν δὴ Μῆδοι ἀκούσαντες τοῦ ἀγγέλου ἐσίγησαν, ἀποροῦντες μέν, πῶς χρὴ καλοῦντος ἀπειθεῖν, φοβούμενοι δὲ, πῶς ἀπειλοῦντι ὑπακούσειαν, ἄλλως τε καὶ εἰδότες τὴν ὠμότητα αὐτοῦ. 20. Ὁ δὲ Κῦρος εἶπεν· Ἀλλ' ἐγὼ, ὦ ἄγγελέ τε καὶ Μῆδοι, οὐδὲν, ἔφη, θαυμάζω, εἰ Κυαξάρης, πολλοὺς μὲν πολεμίους τότ' ἰδὼν, ἡμᾶς δὲ οὐκ εἰδὼς, ὅ τε πράττομεν, ὁκνεῖ περί τε ἡμῶν καὶ περὶ αὐτοῦ· ἐπειδὰν δὲ αἴσθηται πολλοὺς μὲν τῶν πολεμίων ἀπολωλότας, πάντας δὲ ἀπεληλαμένους, πρῶτον μὲν παύσεται φοβούμενος, ἔπειτα δὲ γνώσεται, ὅτι νῦν ἔρημος οὖ γίγνεται, ἡνίκα οἱ φίλοι αὐτοῦ τοὺς ἐκείνου ἐχθροὺς ἀπολλύουσιν. 21. Ἀλλὰ μὴν μέμψεώς γε πῶς ἴσμεν ἄξιοι, εὖ τε ποιοῦντες ἐκεῖνον, καὶ οὐδὲ ταῦτα αὐτομάτισαντες; ἀλλ' ἐγὼ μὲν ἐκεῖνον ἔπεισα ἐᾶσαί με λαβόντα ὑμᾶς ἐξελθεῖν· ὑμεῖς δὲ οὐχ, ὡς ἐπιθυμοῦντες τῆς ἐξόδου, ἠρωτήσατε, εἰ ἐξίοιτε, καὶ νῦν δεῦρο ἥκετε· ἀλλ' ὑπ' ἐκείνου κελευσθέντες ἐξιέναι, ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη. Καὶ ἡ ὀργὴ οὖν αὕτη, σάφ' οἶδ', ὑπό τε τῶν ἀγαθῶν πεπανθήσεται, καὶ σὺν τῷ φόβῳ λήγοντι ἄπεισι. 22. Νῦν μὲν οὖν, ἔφη, σὺ, ὦ ἄγγελε, ἀνάπαυσαι, ἐπεὶ πεπόνηκας· ἡμεῖς τε, ὦ Πέρσαι, ἐπεὶ καὶ προσδεχόμεθα πολεμίους

ἤτοι μαχουμένους γε ἢ πεισομένους παρέσεσθαι, ταχθῶμεν ὡς κάλλιστα· οὕτω γὰρ ὁρωμένους εἰκὸς πλέον προανύτειν, ὧν χρῄζομεν. Σὺ δ', ἔφη, ὁ τῶν Ὑρκανίων ἄρχων, ὑπόμεινον προστάξας τοῖς ἡγεμόσι τῶν σῶν στρατιωτῶν ἐξοπλίζειν αὐτούς. 23. Ἐπεὶ δὲ ταῦτα ποιήσας ὁ Ὑρκάνιος προσῆλθε, λέγει ὁ Κῦρος, Ἐγὼ δ', ἔφη, ὦ Ὑρκάνιε, ἥδομαι αἰσθανόμενος, ὅτι οὐ μόνον φιλίαν ἐπιδεικνύμενος πάρει, ἀλλὰ καὶ ξύνεσιν φαίνῃ μοι ἔχειν. Καὶ νῦν ὅτι συμφέρει ἡμῖν τὰ αὐτά, δῆλον· ἐμοί τε γὰρ πολέμιοι Ἀσσύριοι, σοί τε νῦν ἐχθίονές εἰσιν ἢ ἐμοί· 24. οὕτως οὖν ἡμῖν ἀμφοτέροις βουλευτέον, ὅπως τῶν μὲν νῦν παρόντων μηδεὶς ἀποστατήσει ἡμῖν συμμάχων, ἄλλους δὲ, ἐὰν δυνώμεθα, προσληψόμεθα. Τοῦ δὲ Μήδου ἤκουσας ἀποκαλοῦντος τοὺς ἱππέας· εἰ δὲ οὗτοι ἀπίασι, πῶς ἡμεῖς μόνοι πεζοὶ μενοῦμεν; 25. Οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σὲ, ὅπως ὁ ἀποκαλῶν οὗτος καὶ αὐτὸς μένειν βουλήσεται παρ' ἡμῖν. Σὺ μὲν οὖν σκηνὴν εὑρὼν, δὸς αὐτῷ, ὅπου κάλλιστα διάξει πάντα τὰ δέοντα ἔχων· ἐγὼ δ' αὖ πειράσομαι ἔργον τι αὐτῷ προστάξαι, ὅπερ ἥδιον πράξει, ἢ ἄπεισι· καὶ διαλέγου δὲ αὐτῷ, ὁπόσα ἐλπὶς γενέσθαι ἀγαθὰ πᾶσι τοῖς φίλοις, ἢν ταῦτ' εὖ γένηται· ποιήσας μέντοι αὐτὰ ἧκε πάλιν παρ' ἐμέ.

26. Ὁ μὲν δὴ Ὑρκάνιος ᾤχετο τὸν Μῆδον ἐπὶ σκηνὴν ἄγων· ὁ δὲ εἰς Πέρσας ἰὼν, παρῆν συνεσκευασμένος· ὁ δὲ Κῦρος αὐτῷ ἐπέστελλε πρὸς μὲν Πέρσας λέγειν, ἃ καὶ πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται, Κυαξάρει δὲ

ἀποδοῦναι τὰ γράμματα. Ἀναγνῶναι δέ σοι, ἔφη, καὶ ἃ ἐπιστέλλω, βούλομαι· ἵνα εἰδὼς αὐτὰ ὁμολογῇς, ἄν τί σε πρὸς ταῦτα ἐρωτᾷ. Ἐνῆν δὲ τῇ ἐπιστολῇ τάδε·

27. ΚΥΡΟΣ ΚΥΑΞΑΡΕΙ ΧΑΙΡΕΙΝ. Ἡμεῖς σε οὔτε ἔρημον κατελίπομεν, (οὐδεὶς γὰρ ὅταν τῶν ἐχθρῶν κρατῇ, τότε τῶν φίλων ἔρημος γίνεται) οὐδὲ μὴν ἀποχωροῦντές γέ σε οἰόμεθα ἐν κινδύνῳ καθιστάναι· ἀλλ' ὅσῳ πλέον σοῦ ἀπέχομεν, τοσούτῳ πλείονά σοι τὴν ἀσφάλειαν ποιεῖν νομίζομεν· 28. οὐ γὰρ οἱ ἐγγύτατα τῶν φίλων καθήμενοι μάλιστα τοῖς φίλοις τὴν ἀσφάλειαν παρέχουσιν, ἀλλ' οἱ τοὺς ἐχθροὺς μήκιστον ἀπελαύνοντες μᾶλλον τοὺς φίλους ἐν ἀκινδύνῳ καθιστᾶσι. 29. Σκέψαι δὲ καὶ οὕτω ὄντι μοι περὶ σὲ, οἷος ὢν περὶ ἐμὲ ἔπειτά μοι μέμφῃ. Ἐγὼ μέν γέ σοι ἦγαγον συμμάχους, οὐχ ὅσους σὺ ἔπεισας, ἀλλ' ὁπόσους ἐγὼ πλείστους ἐδυνάμην· σὺ δέ μοι ἔδωκας μὲν ἐν τῇ φιλίᾳ ὄντι, ὁπόσους πεῖσαι δυνηθείην· νῦν δ' ἐν τῇ πολεμίᾳ ὄντος, οὐ τὸν θέλοντα, ἀλλὰ πάντας ἀποκαλεῖς. 30. Τοιγαροῦν τότε μὲν ὤμην ἀμφοτέροις ὑμῖν χάριν ὀφείλειν· νῦν δὲ σὺ μὲν ἀναγκάζεις σοῦ μὲν ἐπιλαθέσθαι, τοῖς δ' ἀκολουθήσασι πειρᾶσθαι πᾶσαν τὴν χάριν ἀποδιδόναι. 31. Οὐ μέντοι ἔγωγε σοὶ δύναμαι ὅμοιος γενέσθαι· ἀλλὰ καὶ νῦν πέμπων ἐπὶ στράτευμα εἰς Πέρσας ἐπιστέλλω, ὁπόσοι ἂν ὦσιν ὡς ἐμὲ, ἤν τι σὺ αὐτῶν δέῃ, πρὶν ἡμᾶς ἐλθεῖν, σοὶ ὑπάρχειν, οὐχ ὅπως ἂν ἐθέλωσιν, ἀλλ' ὅπως ἂν σὺ βούλῃ, χρῆσθαι αὐτοῖς

32. Συμβουλεύω δέ σοι, καίπερ νεώτερος ὤν, μὴ ἀφαιρεῖσθαι, ἃ ἂν δῷς· ἵνα μή σοι ἀντὶ χαρίτων ἔχθραι ὀφείλωνται· μηδ' ὅταν τινὰ βούλῃ πρός σε ταχὺ ἐλθεῖν ἀπειλοῦντα μεταπέμπεσθαι· μηδὲ φάσκοντα ἔρημον εἶναι, ἅμα πολλοῖς ἀπειλεῖν, ἵνα μὴ διδάσκῃς αὐτοὺς σοῦ μὴ φροντίζειν. 33. Ἡμεῖς δὲ πειρασόμεθα παρεῖναι, ὅταν τάχιστα διαπραξώμεθα, ἃ σοί τ' ἂν καὶ ἡμῖν νομίζομεν πραχθέντα κοινὰ γενέσθαι ἀγαθά. Ἐρῶσο.

34. Ταύτην αὐτῷ ἀπόδος, καὶ ὅ τι ἄν σε τούτων ἐρωτᾷ, ἥπερ γέγραπται, σύμφαθι. Καὶ γὰρ ἐγὼ ἐπιστέλλω σοι περὶ τῶν Περσῶν, ἥπερ γέγραπται. Τούτῳ μὲν οὖν οὕτως εἰπών, καὶ δοὺς τὴν ἐπιστολήν, ἀπέπεμψε· προσεντειλάμενος οὕτω σπεύδειν, ὥσπερ οἶδεν, ὅτι συμφέρει ταχὺ παρεῖναι.

35. Ἐκ τούτου δὴ ἑώρα μὲν ἐξωπλισμένους ἤδη πάντας καὶ τοὺς Ὑρκανίους, καὶ τοὺς ἀμφὶ Τιγράνην· καὶ οἱ Πέρσαι δὲ ἐξωπλισμένοι ἦσαν· ἤδη δέ τινες τῶν προσχώρων καὶ ἵππους ἀπήγαγον, καὶ ὅπλα ἀπέφερον. 36. Ὁ δὲ τὰ μὲν παλτὰ, ὅπου περ καὶ τοὺς πρόσθεν, καταβάλλειν ἐκέλευσε, καὶ κατακωλύειν, οἷς τοῦτο ἔργον ἦν, ὁπόσων μὴ αὐτοὶ δέοιντο· τοὺς δὲ ἵππους ἐκέλευσε φυλάττειν μένοντας τοὺς ἀγαγόντας, ἕως ἄν τι σημανθείη αὐτοῖς· τοὺς δ' ἄρχοντας τῶν ἱππέων καὶ Ὑρκανίων καλέσας, τοιάδε ἔλεξεν·

37. Ἄνδρες φίλοι καὶ σύμμαχοι, μὴ θαυμάζετε, ἔφη, ὅτι πολλάκις ὑμᾶς συγκαλῶ· καινὰ γὰρ ἡμῖν ὄντα τὰ παρόντα πολλὰ αὐτῶν ἐστιν ἀσύντακτα· ἃ δ' ἂν

ἀσύντακτα ᾖ, ἀνάγκη ταῦτα ἀεὶ πράγματα παρέχειν, ἕως ἂν χώραν λάβῃ. 38. Καὶ νῦν ἐστι μὲν ἡμῖν πολλὰ τὰ αἰχμάλωτα χρήματα, καὶ ἄνδρες ἐπ' αὐτοῖς· διὰ δὲ τὸ μὴθ' ἡμᾶς εἰδέναι, ποῖα τούτων ἑκάστου ἐστὶν ἡμῶν, μήτε τούτους εἰδέναι, ὅστις ἑκάστῳ αὐτῶν δεσπότης, περαίνοντας μὲν δὴ τὰ δέοντα οὐ πάνυ ἐστὶν ὁρᾶν αὐτῶν πολλούς, ἀποροῦντας δέ, ὅ τι χρὴ ποιεῖν, σχεδὸν πάντας. 39. Ἵνα οὖν μὴ οὕτως ἔχῃ, διορίσατε αὐτά· καὶ ὅστις μὲν ἔλαβε σκηνὴν ἔχουσαν ἱκανὰ καὶ σῖτα καὶ ποτά, καὶ τοὺς ὑπηρετήσοντας, καὶ στρωμνὴν καὶ ἐσθῆτα, καὶ τἄλλ', οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιωτική, ἐνταῦθα μὲν οὐδὲν ἄλλο δεῖ προσγενέσθαι, ἢ τὸν λαβόντα εἰδέναι, ὅτι τούτων, ὡς οἰκείων, ἐπιμέλεσθαι δέοι· ὅστις δὲ εἰς ἐνδεόμενά του κατεσκήνωσε, τούτους ὑμεῖς σκεψάμενοι, τὸ ἐλλεῖπον ἐκπληρώσατε. 40. Πολλὰ δὲ καὶ τὰ περιττὰ οἶδα, ὅτι ἔσται· πλείω γὰρ ἅπαντα, ἢ κατὰ τὸ ἡμέτερον πλῆθος, εἶχον οἱ πολέμιοι. Ἦλθον δὲ πρὸς ἐμὲ καὶ χρημάτων ταμίαι, οἵ τε τοῦ Ἀσσυρίων βασιλέως καὶ ἄλλων δυναστῶν, οἳ ἔλεγον, ὅτι χρυσίον εἴη παρὰ σφίσιν ἐπίσημον, δασμούς τινας λέγοντες. 41. Καὶ ταῦτα οὖν κηρύττετε πάντα ἀποφέρειν πρὸς ὑμᾶς, ὅπου ἂν καθέζησθε· καὶ φόβον ἐπιτίθεσθε τῷ μὴ ποιοῦντι τὸ παραγγελλόμενον· ὑμεῖς δὲ λαβόντες διαδίδοτε ἱππεῖ μὲν τὸ διπλοῦν, πεζῷ δὲ τὸ ἁπλοῦν· ἵνα ἔχητε, ἧν τινος προσδεηθῆτε, καὶ ὅτου ὠνήσεσθε. 42. Τὴν δ' ἀγορὰν τὴν οὖσαν ἐν τῷ στρατοπέδῳ κηρυξάτω μὲν

ἤδη, ἔφη, μὴ ἀδικεῖν μηδένα, πωλεῖν δὲ τοὺς καπήλους [καὶ ἐμπόρους], ὅ τι ἔχει ἕκαστος πράσιμον· καὶ ταῦτα διαθεμένους, ἄλλα ἄγειν, ὅπως οἰκῆται ἡμῖν τὸ στρατόπεδον. Καὶ ταῦτα μὲν εὐθὺς ἐκήρυττον. 43. Οἱ δὲ Μῆδοι καὶ Ὑρκάνιοι εἶπον ὧδε· Καὶ πῶς ἄν, ἔφασαν, ἡμεῖς ἄνευ σοῦ καὶ τῶν σῶν διανέμοιμεν ταῦτα; 44. Ὁ δ' οὖν Κῦρος πρὸς τοῦτον τὸν λόγον ὧδε προσηνέχθη· Ἦ γὰρ οὕτως, ἔφη, ὦ ἄνδρες, γιγνώσκετε, ὡς, ὅ τι ἂν δέῃ πραχθῆναι, ἐπὶ πᾶσι πάντας ἡμᾶς δεήσει παρεῖναι, καὶ οὔτε ἐγὼ ἀρκέσω ὑμῖν πράττων πρὸ ὑμῶν, ὅ τι ἂν δέῃ, οὔτε ὑμεῖς πρὸ ἡμῶν; Καὶ πῶς ἂν ἄλλως πλείω μὲν πράγματα ἔχοιμεν, μείω δὲ διαπραττοίμεθα, ἢ οὕτως; 45. Ἀλλ' ὁρᾶτε, ἔφη, ὑμεῖς· ἡμεῖς μὲν γὰρ διεφυλάξαμεν ὑμῖν τάδε, καὶ ὑμεῖς ἡμῖν ἐπιστεύσατε καλῶς διαπεφυλάχθαι· ὑμεῖς δ' αὖ διανείματε, καὶ ἡμεῖς πιστεύσομεν ὑμῖν καλῶς διανενεμηκέναι. 46. Καὶ ἐν τούτῳ αὖ ἄλλό τι ἡμεῖς πειρασόμεθα κοινὸν ἀγαθὸν πράττειν. Ὁρᾶτε γὰρ δή, ἔφη, νυνὶ πρῶτον, ἵπποι ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ προσάγονται· τούτους οὖν εἰ μὲν ἐάσομεν ἀναμβάτους, ὠφελήσουσι μὲν οὐδὲν ἡμᾶς, πράγματα δὲ παρέξουσιν ἐπιμελέσθαι· ἢν δ' ἱππέας ἐπ' αὐτοὺς καταστήσωμεν, ἅμα πραγμάτων τε ἀπαλλαξόμεθα, καὶ ἰσχὺν ἡμῖν αὐτοῖς προσθησόμεθα. 47. Εἰ μὲν οὖν ἄλλους ἔχετε, οἷς τισιν ἂν δοίητε αὐτούς, μεθ' ὧν ἂν καὶ κινδυνεύοιτε ἥδιον, εἴ τι δέοι, ἢ μεθ' ἡμῶν, ἐκείνοις δίδοτε· εἰ μέντοι ἡμᾶς ἂν βούλοισθε παραστάτας μάλιστα ἔχειν, ἡμῖν

αὐτοὺς δότε. 48. Καὶ γὰρ νῦν, ὅτε ἄνευ ἡμῶν προσελάσαντες ἐκινδυνεύετε, πολὺν μὲν φόβον ἡμῖν παρείχετε, μή τι πάθητε, μάλα δὲ αἰσχύνεσθαι ἡμᾶς ἐποιήσατε, ὅτι οὐ παρῆμεν, ὅπου περ ὑμεῖς· ἢν δὲ λάβωμεν τοὺς ἵππους, ἑψόμεθα ὑμῖν. 49. Κἂν μὲν δοκῶμεν ὠφελεῖν πλείονα ἐπὶ τῶν ἵππων συναγωνιζόμενοι, οὕτω προθυμίας οὐδὲν ἐλλείψομεν· ἢν δὲ πεζοὶ γενόμενοι δοκῶμεν καιριωτέρως ἂν παρεῖναι, τότε καταβάντες ἐν μέσῳ καὶ εὐθὺς πεζοὶ ὑμῖν παρεσόμεθα· τοὺς δ' ἵππους μηχανησόμεθα οἷς ἂν παραδοίημεν. 50. Ὁ μὲν οὕτως ἔλεξεν· οἱ δὲ ἀπεκρίναντο· Ἀλλ' ἡμεῖς μέν, ὦ Κῦρε, οὔτε ἄνδρας ἔχομεν, οὓς ἀναβιβάσαιμεν ἂν ἐπὶ τοὺς ἵππους τούτους, οὔτε, εἰ ἔχοιμεν, σοῦ ταῦτα βουλομένου οὐκ ἂν ἄλλο ἀντὶ τούτων αἱροίμεθα. Καὶ νῦν, ἔφασαν, τούτους λαβὼν ποίει, ὅπως ἄριστόν σοι δοκεῖ εἶναι. 51. Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά. Πρῶτον μὲν οὖν, ἔφη, τοῖς θεοῖς ἐξαιρεῖτε, ὅ τι ἂν οἱ μάγοι ἐξηγῶνται· ἔπειτα δὲ καὶ Κυαξάρει ἐξέλετε, ὁποῖ ἂν οἴεσθε αὐτῷ μάλιστα χαρίζεσθαι. 52. Καὶ οἳ γελάσαντες εἶπον, ὅτι γυναῖκας καλὰς ἐξαιρετέον ἂν εἴη. Γυναῖκάς τε τοίνυν ἐξαιρεῖτε, ἔφη, καὶ ὅ τι ἄλλο ἂν δοκῇ ὑμῖν. Ἐπεὶ δ' ἂν ἐκείνῳ ἐξέλητε, ὦ Ἀρκάνιοι, τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἐπισπομένους πάντας ἀμέμπτους ποιεῖτε εἰς δύναμιν. 53. Ὑμεῖς δ' αὖ, ὦ Μῆδοι, τοὺς πρώτους συμμάχους γενομένους τούτους τιμᾶτε, ὅπως εὖ βεβουλεῦσθαι ἡγήσον-

ται ἡμῖν φίλοι γενόμενοι. Νείματε δὲ πάντων τὸ μέρος καὶ τῷ παρὰ Κυαξάρους ἥκοντι ἀγγέλῳ, αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ· καὶ συνδιαμένειν δὲ παρακαλεῖτε, ὡς καὶ ἐμοὶ τοῦτο συνδοκοῦν· ἵνα καὶ Κυαξάρει μᾶλλον εἰδὼς περὶ ἑκάστου ἀπαγγείλῃ τὰ ὄντα. 54. Πέρσαις δ', ἔφη, τοῖς μετ' ἐμοῦ, ὅσα ἂν περιττὰ γένηται, ὑμῶν καλῶς κατεσκευασμένων, ταῦτα ἀρκέσει· καὶ γάρ, ἔφη, μάλα πως ἡμεῖς οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωριτικῶς· ὥστε ἴσως ὑμῶν καταγελάσαιτε, εἴ τι σεμνὸν ἡμῖν περιτεθείη· ὥσπερ, ἔφη, οἶδα, ὅτι πολὺν ὑμῖν γέλωτα παρέξομεν καὶ ἐπὶ τῶν ἵππων καθήμενοι· οἶμαι δὲ, ἔφη, καὶ ἐπὶ τῆς γῆς κατα πίπτοντες.

55. Ἐκ τούτου οἱ μὲν ἦσαν ἐπὶ τὴν διαίρεσιν, μάλα ἐπὶ τῷ ἱππικῷ γελῶντες· ὁ δὲ τοὺς ταξιάρχους καλέσας, ἐκέλευσε τοὺς ἵππους λαμβάνειν, καὶ τὰ τῶν ἵππων σκεύη, καὶ τοὺς ἱπποκόμους, καὶ ἀριθμήσαντας λαβεῖν κληρωσαμένους εἰς τάξιν ἴσους ἑκάστοις. 56. Αὖθις δὲ ὁ Κῦρος ἀνειπεῖν ἐκέλευσεν, εἴ τις εἴη ἐν τῷ Ἀσσυρίων ἢ Σύρων ἢ Ἀραβίων στρατεύματι ἀνὴρ δοῦλος, ἢ Μήδων, ἢ Περσῶν, ἢ Βακτριανῶν, ἢ Καρῶν, ἢ Κιλίκων, ἢ Ἑλλήνων, ἢ ἄλλοθέν ποθεν βεβιασμένος, ἐκφαίνεσθαι. 57. Οἱ δ' ἀκούσαντες τοῦ κηρύγματος, ἅσμενοι πολλοὶ προσεφάνησαν· ὁ δὲ, ἐκλεξάμενος αὐτῶν τοὺς τὰ εἴδη βελτίστους, ἔλεγεν, ὅτι ἐλευθέρους αὐτοὺς ὄντας δεήσει ὅπλα ὑποφέρειν, ἃ ἂν αὐτοῖς διδῶσι· τὰ δὲ ἐπιτήδεια ὅπως ἔχωσιν, ἔφη, αὐτῷ μελήσειν. 58. Καὶ εὐθὺς ἄγων πρὸς τοὺς ταξιάρ-

НБ ОНУ ім. І. Мечникова

χους συνέστησεν αὐτοὺς· καὶ ἐκέλευσε τά τε γέρρα καὶ τὰς ψιλὰς μαχαίρας τούτοις διδόναι, ὅπως ἔχοντες τοῖς ἵπποις ἕπωνται, καὶ τὰ ἐπιτήδεια τούτοις ὥσπερ καὶ τοῖς μεθ' ἑαυτοῦ Πέρσαις λαμβάνειν· αὐτοὺς δὲ, τοὺς Θώρακας καὶ τὰ ξυστὰ ἔχοντας, ἐπὶ τῶν ἵππων ὀχεῖσθαι· (καὶ αὐτὸς οὕτω ποιῶν κατῆρχεν·) ἐπὶ δὲ τοὺς πεζοὺς τῶν ὁμοτίμων ἀνθ' ἑαυτοῦ ἕκαστον καθιστάναι ἄλλον ἄρχοντα τῶν ὁμοτίμων.

CAPVT VI.

1. Οἱ μὲν δὴ ἀμφὶ ταῦτα εἶχον. Γωβρύας δ' ἐν τούτῳ παρῆν ὁ Ἀσσύριος, πρεσβύτης ἀνὴρ, ἐφ' ἵππου σὺν ἱππικῇ θεραπείᾳ· εἶχον δὲ πάντες τὰ ἐφ' ἵππων ὅπλα. Καὶ οἱ μὲν ἐπὶ τῷ τὰ ὅπλα παραλαμβάνειν τεταγμένοι ἐκέλευον παραδιδόναι τὰ ξυστὰ, ὅπως κατακαίοιεν, ὥσπερ καὶ τἄλλα. Ὁ δὲ Γωβρύας ἔλεγεν, ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν· καὶ οἱ ὑπηρέται τοὺς μὲν ἄλλους ἱππέας αὐτοῦ κατέλιπον, τὸν δὲ Γωβρύαν ἄγουσι πρὸς τὸν Κῦρον. 2. Ὁ δὲ, ὡς εἶδε τὸν Κῦρον, ἔλεξεν ὧδε· Ὦ δέσποτα, ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος· ἔχω δὲ καὶ τεῖχος ἰσχυρὸν, καὶ χώρας ἐπάρχω πολλῆς· καὶ ἵππον εἰς χιλίαν τῷ τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην, καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα· ἐπεὶ δὲ ἐκεῖνος μὲν τέθνηκεν ὑφ' ὑμῶν, ἀνὴρ ἀγαθὸς ὤν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει, ἔχθιστος ὢν ἐμοὶ, ἦκω πρὸς σὲ, καὶ ἱκέτης προσπίπτω, καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι ἐμοὶ γενέσθαι· καὶ παῖδα οὕτως

ὡς δυνατόν σε ποιοῦμαι· ἄπαις δέ εἰμι ἀῤῥένων παίδων. 3. Ὅς γὰρ ἦν μοι μόνος, καὶ καλὸς, ὦ δέσποτα, καὶ ἀγαθὸς, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν, ὥσπερ ἂν εὐδαίμονα πατέρα παῖς τιμῶν τιθείη, τοῦτον ὁ νυνὶ βασιλεὺς οὗτος, καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν θυγατέρα τῷ ἐμῷ παιδί· ἐγὼ μὲν ἀπεπεμψάμην, μέγα φρονῶν, ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὠφείλην τὸν ἐμὸν υἱὸν γαμέτην· ὁ δὲ νῦν βασιλεὺς ἐπὶ θήραν αὐτὸν παρακαλέσας, καὶ ἀνεὶς αὐτῷ θηρᾶν ἀνὰ κράτος, ὡς πολὺ κρείσσων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι· ὁ μὲν ὡς φίλῳ συνεθήρα· φανείσης δ' ἄρκτου, διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος ἀκοντίσας ἥμαρτεν· (ὡς μήποτ' ὤφελεν) ὁ δ' ἐμὸς παῖς βαλὼν, (οὐδὲν δέον) καταβάλλει τὴν ἄρκτον. 4. Καὶ τότε μὲν δὴ ἀνιαθεὶς ἄρα κατέσχεν οὗτος ὑπὸ σκότου τὸν φθόνον· ὡς δὲ πάλιν λέοντος παρατυχόντος ὁ μὲν αὖ ἥμαρτεν, (οὐδὲν, οἶμαι, θαυμαστὸν παθών) ὁ δ' αὖ ἐμὸς παῖς δυστυχῶς τυχὼν κατειργάσατό τε τὸν λέοντα, καὶ εἶπεν, Ἆρα βέβληκα μιᾷ δὶς ἐφεξῆς, καὶ καταβέβληκα θῆρα ἑκατεράκις· ἐν τούτῳ δὴ οὐκέτι κατέσχεν ὁ ἀνόσιος τὸν φθόνον, ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα, τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο τὴν ψυχήν. 5. Κἀγὼ μὲν ὁ τάλας νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην, καὶ ἔθαψα, τηλικοῦτος ὤν, ἄρτι γενειάσκοντα τὸν ἄριστον παῖδα τὸν ἀγαπητόν· ὁ δὲ κατακτανὼν, ὥσπερ ἐχθρὸν ἀπολέσας, οὔτε μεταμελόμενος πώποτε φανε-

ρὸς ἐγένετο, οὔτε ἀντὶ τοῦ κακοῦ ἔργου τιμῆς τινος ἠξίωσε τὸν κατὰ γῆς. Ὅ γε μὴν πατὴρ αὐτοῦ καὶ συνῴκισέ με, καὶ δῆλος ἦν συναχθόμενός μου τῇ συμφορᾷ. 6. Ἐγὼ μὲν οὖν, εἰ μὲν ἔζη ἐκεῖνος, οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου κακῷ· (πολλὰ γὰρ φιλικὰ ἔπαθον ὑπ' ἐκείνου, καὶ ὑπηρέτησα ἐκείνῳ) ἐπεὶ δὲ εἰς τὸν τοῦ ἐμοῦ παιδὸς φονέα ἡ ἀρχὴ περιήκει, οὐκ ἄν ποτε ἐγὼ τούτῳ δυναίμην εὔνους γενέσθαι, οὐδὲ οὗτός με εὖ οἶδ' ὅτι φίλον ἄν ποτε ἡγήσαιτο. Οἶδε γάρ, ὡς ἐγὼ πρὸς αὐτὸν ἔχω, καὶ ὡς, πρόσθεν φαιδρῶς βιοτεύων, νυνὶ διάκειμαι, ἔρημος ὤν, καὶ διὰ πένθους τὸ γῆρας διάγων. 7. Εἰ μὲν οὖν ἐμὲ σὺ δέχῃ, καὶ ἐλπίδα τινὰ λάβοιμι, τῷ φίλῳ παιδὶ τιμωρίας ἄν τινος μετὰ σοῦ τυχεῖν, καὶ ἀνηβῆσαι ἂν πάλιν δοκῶ μοι, καὶ οὔτ' ἂν ζῶν ἔτι αἰσχυνοίμην, οὔτε ἀποθνήσκων ἀνιώμενος ἂν τελευτᾷν δοκῶ. 8. Ὁ μὲν οὕτως εἶπε· Κῦρος δ' ἀπεκρίνατο·

Ἀλλ' ἦνπερ, ὦ Γωβρύα, καὶ φρονῶν φαίνῃ, ὅσαπερ λέγεις πρὸς ἡμᾶς, δέχομαί τε ἑκέτην σε, καὶ τιμωρήσειν σοι τοῦ παιδὸς τὸν φονέα σὺν θεοῖς ὑπισχνοῦμαι. Λέξον δέ μοι, ἔφη, εἰ ἀν σοι ταῦτα ποιῶμεν, καὶ τὰ τείχη ἐῶμεν ἔχειν σε καὶ τὴν χώραν καὶ τὴν δύναμιν, ἥνπερ πρόσθεν εἶχες, σὺ ἡμῖν τί ἀντὶ τούτων ὑπηρετήσεις; 9. Ὁ δὲ εἶπε· Τὰ μὲν τείχη, ὅταν ἔλθῃς, οἰκόν σοι παρέξω· δασμὸν δὲ τῆς χώρας, ὅνπερ ἔφερον ἐκείνῳ, σοὶ ἀποίσω· καὶ ὅποι ἂν στρατεύῃ, συστρατεύσομαί σοι, τὴν ἐκ τῆς χώρας δύναμιν ἔχων. Ἔστι δέ μοι, ἔφη, καὶ θυγάτηρ παρθέ-

νος, ἀγαπητή, γάμου ἤδη ὡραία, ἣν ἐγὼ πρόσθεν μὲν ὤμην τῷ νῦν βασιλεύοντι γυναῖκα τρέφειν· νῦν δέ με αὐτή τε ἡ θυγάτηρ, πολλὰ γοωμένη, ἱκέτευσε, μὴ δοῦναι αὐτὴν τῷ τοῦ ἀδελφοῦ φονεῖ, ἐγώ τε ὡς αὐτως γιγνώσκω. Νῦν δέ σοι δίδωμι βουλεύσασθαι καὶ περὶ ταύτης οὕτως, ὥσπερ ἂν καὶ ἐγὼ βουλεύων περὶ σοῦ φαίνωμαι. 10. Οὕτω δὴ ὁ Κῦρος εἶπεν, Ἐπὶ τούτοις, ἔφη, ἐγὼ ἀληθευομένοις δίδωμί τέ σοι πὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν· θεοὶ δὲ ἡμῶν μάρτυρες ἔστων. Ἐπεὶ δὲ ταῦτα ἐπράχθη, ἀπιέναι τε κελεύει τὸν Γωβρύαν, ἔχοντα τὰ ὅπλα, καὶ ἐπήρετο, πόση τις ὁδὸς ὡς αὐτὸν εἴη, ὡς ἥξων. Ὁ δ' ἔλεγεν· Ἥν αὔριον ἧς πρωΐ, τῇ ἑτέρᾳ ἂν αὐλίζοιο παρ' ἡμῖν.

11. Οὕτω δὴ οὗτος μὲν ᾤχετο, ἡγεμόνα καταλιπών.

Οἱ δὲ Μῆδοι παρῆσαν, ἃ μὲν οἱ μάγοι ἔφασαν τοῖς θεοῖς ἐξελεῖν, ἀποδόντες τοῖς μάγοις· Κύρῳ δ' ἐξηρηκότες τὴν καλλίστην σκηνήν, καὶ τὴν Σουσίδα γυναῖκα, ἣ καλλίστη δὴ λέγεται τῶν ἐν τῇ Ἀσίᾳ γεγενῆσθαι, καὶ μουσουργοὺς δὲ δύο τὰς κρατίστας δεύτερον δέ, Κυαξάρει τὰ δεύτερα· τοιαῦτα δ' ἄλλα, ὧν ἐδέοντο, ἐκπληρώσαντες ἑαυτοῖς, ὡς μηδενὸς δεόμενοι στρατεύοιντο· πάντα γὰρ ἦν πολλά. 12. Προσέλαβον δὲ καὶ οἱ Τρκάνιοι, ὧν ἐδέοντο· ἰσόμοιρον δ' ἐποιήσαντο καὶ τὸν παρὰ Κυαξάρους ἄγγελον· τὰς δὲ περισσὰς σκηνάς, ὅσαι ἦσαν, Κύρῳ παρέδοσαν, ὡς τοῖς Πέρσαις γένοιντο. Τὸ δὲ νόμισμα ἔφασαν, ἐπειδὰν ἅπαν συναχθῇ, διαδώσειν· καὶ διέδωκαν.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Β.

CAPVT I.

Οἱ μὲν δὴ ταῦτα ἔπραξάν τε καὶ ἔλεξαν· ὁ δὲ Κῦρος ἐκέλευσε τὶ μὲν Κυαξάρους διαλαβόντας φυλάττειν, οὓς ἥδει οἰκειοτάτους αὐτῷ ὄντας· καὶ ὅσα δὲ ἐμοὶ δίδοτε, ἡδέως, ἔφη, δεχομαι· χρήσεται δ' αὐτοῖς ὑμῶν ὁ ἀεὶ μάλιστα δεόμενος. Φιλόμουσος δέ τις τῶν Μήδων εἶπε· Καὶ μὴν ἐγὼ, ὦ Κῦρε, τῶν μουσουργῶν ἀκούσας ἐσπέρας, οὓς σὺ νῦν ἔχεις, ἤκουσά τε ἡδέως, καὶ ἦν μοι δῶς αὐτῶν μίαν, στρατεύσεσθαι ἄν μοι δοκῶ ἥδιον, ἢ οἴκοι μένειν. Ὁ δὲ Κῦρος εἶπεν, Ἀλλ' ἔγωγε, ἔφη, καὶ δίδωμι, καὶ χάριν οἶμαί σοι πλείω ἕξειν, ὅτι με ᾔτησας, ἢ σὺ ἐμοὶ, ὅτι λαμβάνεις· οὕτως ἐγὼ ὑμῖν διψῶ χαρίζεσθαι. Ταύτην μὲν οὖν ἔλαβεν ὁ αἰτήσας.

2. Καλέσας δὲ ὁ Κῦρος Ἀράσπην Μῆδον, (ὃς ἦν ἐκ παιδὸς αὐτῷ ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς ἔδωκε τὴν Μηδικὴν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἐπῄει) τοῦτον ἐκέλευσε διαφυλάξαι αὐτῷ τήν τε γυναῖκα καὶ τὴν σκηνήν. 3. ἦν δὲ αὕτη ἡ γυνὴ Ἀβραδάτα, τοῦ Σουσίου· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων

στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὤν, ἀλλὰ πρὸς τὸν τῶν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ· ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως ἂν αὐτὸς λάβῃ. 4. Κελευσάντων δὲ ὁ Ἀράσπης ἐπήρετο, Ἐώρακας δ', ἔφη, ὦ Κῦρε, τὴν γυναῖκα, ἣν με κελεύεις φυλάττειν; Μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε. Ἀλλ' ἔγωγε, ἔφη, ἡνίκα ἐξηροῦμεν σοὶ αὐτήν· καὶ δῆτα, ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς, τὸ πρῶτον οὐ διέγνωμεν αὐτήν· (χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα) ἐπεὶ δὲ, γνῶναι βουλόμενοι, ποία εἴη ἡ δέσποινα, πάσας περιεβλέψαμεν, ταχὺ πάνυ καὶ πασῶν ἐφαίνετο διαφέρουσα τῶν ἄλλων, καίπερ καθημένη κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. 5. Ὡς δὲ ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ πᾶσαι αἱ ἀμφ' αὐτήν· διήνεγκε δὲ ἐνταῦθα πρῶτον μὲν τῷ μεγέθει, ἔπειτα δὲ τῇ ῥώμῃ καὶ τῇ ἀρετῇ καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. Δῆλα δ' ἦν αὐτῇ καὶ τὰ δάκρυα καταστάζοντα, τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. 6. Ὡς δ' ἡμῶν ὁ γεραίτερος εἶπε, Θάῤῥει, ὦ γύναι· καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι· νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε εὖ ἴσθι ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι, οὔτε τὴν γνώμην, οὔτε τὴν δύναμιν·

ἀλλ', ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε· ὡς οὖν τοῦτο ἤκουσεν ἡ γυνὴ, περικατερρήξατό τε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. 7. Ἐν τούτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω φῦναι μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θεάσῃ αὐτήν. 8. Καὶ ὁ Κῦρος ἔφη, Ναὶ μὰ Δία, πολύ γε ἥττον, εἰ τοιαύτη ἐστὶν, οἵαν σὺ λέγεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, εἰ νυνὶ, σοῦ ἀκούσας, ὅτι καλή ἐστιν, ἐλθεῖν πεισθήσομαι θεασόμενος, οὐ πάνυ μοι σχολῆς οὔσης, δέδοικα, μὴ πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασόμενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας, ὧν με δεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος.

9. Καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν· Οἴει γὰρ, ἔφη, ὦ Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον; Εἰ μέντοι τοῦτο, ἔφη, οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκαζεν ὁμοίως. 10. Ὁρᾷς, ἔφη, τὸ πῦρ, ὡς πάντας ὁμοίως καίει; (πέφυκε γὰρ τοιοῦτον) τῶν δὲ καλῶν, τῶν μὲν ἐρῶσι, τῶν δ' οὔ· καὶ ἄλλος γε ἄλλου. Ἐθελούσιον γάρ, ἔφη, ἐστὶ, καὶ ἐρᾷ ἕκαστος, ὧν ἂν βούληται. Αὐτίκα δὲ οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος δὲ ταύτης· οὐδὲ πατὴρ θυγατρὸς,

ἄλλος δὲ ταύτης. Καὶ γὰρ φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. 11. Εἰ δέ γ', ἔφη, νόμος τεθείη, μὴ ἐσθίοντας μὴ πεινῆν, καὶ μὴ πίνοντας μὴ διψῆν, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος, μηδὲ θάλπεσθαι τοῦ θέρους, οὐδεὶς ἂν νόμος δυνηθείη διαπράξασθαι ἀνθρώπους ταῦτα πείθεσθαι· πεφύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι. Τὸ δ' ἐρᾶν ἐθελούσιόν ἐστιν· ἕκαστος γοῦν τῶν καθ' αὑτὸν ἐρᾷ, ὥσπερ ἱματίων καὶ ὑποδημάτων. 12. Πῶς οὖν, ἔφη ὁ Κῦρος, εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσασθαί ἐστιν, ὅταν τις βούληται; Ἀλλ' ἐγὼ, ἔφη, ἐώρακα καὶ κλαίοντας ὑπὸ λύπης δι' ἔρωτα, καὶ δουλεύοντάς γε τοῖς ἐρωμένοις· καὶ μάλα κακὸν νομίζοντας, πρίν γε ἐρᾶν, τὸ δουλεύειν, καὶ διδόντας γε πολλὰ, ὧν οὐ βέλτιον αὐτοῖς στέρεσθαι· καὶ εὐχομένους ὥσπερ καί τινος ἄλλης νόσου ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι, ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ τινὶ ἀνάγκῃ, ἢ εἰ σιδήρῳ ἐδέδεντο. Παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις πολλὰ καὶ εἰκῆ ὑπηρετοῦντας· καὶ μέντοι οὐδ' ἀποδιδράσκειν ἐπιχειροῦσι, τοιαῦτα κακὰ ἔχοντες, ἀλλὰ καὶ φυλάττουσι τοὺς ἐρωμένους, μή ποι ἀποδρῶσι.

13. Καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα· Ποιοῦσι γὰρ, ἔφη, ταῦτα· εἰσὶ μέντοι οἱ τοιοῦτοι, ἔφη, μοχθηροί· διόπερ, οἶμαι, καὶ εὔχονται μὲν ἀεὶ, ὡς ἄθλιοι ὄντες, ἀποθανεῖν· μυρίων δ' οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου, οὐκ ἀπαλλάττονται. Οἱ αὐτοὶ δέ γε οὗτοι καὶ κλέπτειν ἐπιχειροῦσι, καὶ οὐκ

ἀπέχονται τῶν ἀλλοτρίων· ἀλλ' ἐπειδάν τι ἁρπάσωσιν ἢ κλέψωσιν, ὁρᾷς, ἔφη, ὅτι σὺ πρῶτος, ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν κλέπτοντα, καὶ ἁρπάζοντα, καὶ οὐ συγγιγνώσκεις, ἀλλὰ κολάζεις. 14. Οὕτω μέντοι, ἔφη, καὶ οἱ καλοὶ οὐκ ἀναγκάζουσιν ἐρᾶν ἑαυτῶν, οὐδὲ ἐφίεσθαι ἀνθρώπους, ὧν μὴ δεῖ· ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι, τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κἄπειτα ἔρωτα αἰτιῶνται· οἱ δέ γε καλοὶ κἀγαθοὶ, ἐπιθυμοῦντες καὶ χρυσίου καὶ ἵππων ἀγαθῶν καὶ γυναικῶν καλῶν, ὅμως ἁπάντων τούτων ῥᾳδίως δύνανται ἀπέχεσθαι, ὥστε μὴ ἅπτεσθαι αὐτῶν παρὰ τὸ δίκαιον. 15. Ἐγὼ οὖν, ἔφη, ταύτην ἑωρακὼς, καὶ πάνυ μοι καλῆς δοξάσης εἶναι, ὅμως παρὰ σοὶ εἰμι, καὶ ἱππεύω, καὶ τἆλλα τὰ ἐμοὶ προσήκοντα ἀποτελῶ. 16. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· ἴσως γὰρ θᾶττον ἀπῆλθες, ἢ ἐν ὅσῳ χρόνῳ ὁ ἔρως πέφυκε συσκευάζεσθαι ἄνθρωπον. Καὶ πυρὸς γὰρ τοί ἐστι θιγόντα μὴ εὐθὺς καίεσθαι, καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει· ὅμως δὲ ἔγωγε οὔτε πυρὸς ἑκὼν εἶναι ἅπτομαι, οὔτε τοὺς καλοὺς ἐρῶ. Οὐδέ γε σοὶ συμβουλεύω, ἔφη, ὦ Ἀράσπα, ἐν τοῖς καλοῖς ἐᾶν τὴν ὄψιν ἐνδιατρίβειν· ὡς τὸ μὲν πῦρ τοὺς ἁπτομένους καίει, οἱ δὲ καλοὶ καὶ τοὺς ἄποθεν θεωμένους ὑφάπτουσιν, ὥστε αἴθεσθαι τῷ ἔρωτι. 17. Θάῤῥει, ἔφη, ὦ Κῦρε, οὐδὲ, ἢν μηδέποτε παύσωμαι θεώμενος, οὐ μὴ κρατηθῶ, ὥστε ποιεῖν τι, ὧν μὴ χρὴ ποιεῖν. Κάλλιστα, ἔφη, λέγεις· φύλαττε τοίνυν, ἔφη, ὥσπερ σε κελεύω, καὶ ἐπιμελοῦ

αὐτῆς· ἴσως γὰρ ἂν καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γὲ νοιτο αὕτη ἡ γυνή. 18. Τότε μὲν δὴ ταῦτα εἰπόντε διελύθησαν.

Ὁ δὲ νεανίσκος, ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν γυναῖκα, ἅμα δὲ αἰσθανόμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα δὲ θεραπεύων αὐτὴν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ αἰσθανόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ' ἀντεπιμελουμένην διὰ τῶν αὐτῆς οἰκετῶν, ὡς καὶ εἰσιόντι εἴη αὐτῷ τὰ δέοντα, καὶ, εἴ ποτε ἐκπέσοι, ὡς μηδενὸς ἂν δέοιτο· ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι, καὶ ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε. Καὶ ταῦτα μὲν δὴ οὕτως ἐπράττετο.

19. Βουλόμενος δὲ ὁ Κῦρος ἐθελοντὰς μένειν μεθ' ἑαυτοῦ τούς τε Μήδους καὶ τοὺς συμμάχους, συνεκάλεσε πάντας τοὺς ἐπικαιρίους· ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε· 20. Ἄνδρες Μῆδοι, καὶ πάντες οἱ παρόντες, ἐγὼ ὑμᾶς οἶδα σαφῶς, ὅτι οὔτε χρημάτων δεόμενοι σὺν ἐμοὶ ἐξήλθετε, οὔτε Κυαξάρει νομίζοντες τοῦτο ὑπηρετεῖν· ἀλλ' ἐμοὶ βουλόμενοι τοῦτο χαρίζεσθαι, καὶ ἐμὲ τιμῶντες, καὶ νυκτοπορεῖν καὶ κινδυνεύειν σὺν ἐμοὶ ἠθελήσατε. 21. Καὶ χάριν τούτων ἐγὼ ὑμῖν ἔχω μὲν, εἴ γε μὴ ἀδικῶ, ἀποδιδόναι δὲ οὔπω ἀξίαν δύναμιν ἔχειν μοι δοκῶ. Καὶ τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δὲ, Ἣν μένητε παρ' ἐμοὶ, ἀποδώσω, εὖ ἴστε, ὅτι τοῦτο αἰσχυνοίμην ἂν εἰπεῖν· νομίζοιμι γὰρ ἐμαυτὸν ἐοικέναι λέγοντι ταῦτα ἕνεκα τοῦ ὑμᾶς ἐθέλειν μᾶλλον παρ' ἐμοὶ καταμένειν· ἀντὶ δὲ τούτου τάδε λέγω· ἐγὼ γὰρ ὑμῖν, κἂν ἤδη ἀπίητε

Κναξάρει πειθόμενοι, ὅμως, ἤν τι ἀγαθὸν πράξω, πειράσομαι οὕτω ποιεῖν, ὥστε καὶ ὑμᾶς ἐμὲ ἐπαινεῖν. 22. Οὐ γὰρ δὴ αὐτός γε ἄπειμι· ἀλλὰ καὶ Τρκανίοις τοὺς ὅρκους καὶ τὰς δεξιὰς, ἃς ἔδωκα, ἐμπεδώσω, καὶ οὔποτε τούτους προδιδοὺς ἁλώσομαι· καὶ τῷ νῦν διδόντι Γωβρύᾳ καὶ τείχη ἡμῖν καὶ χώραν καὶ δύναμιν, πειράσομαι ποιεῖν μήποτε μεταμελῆσαι τῆς πρὸς ἐμὲ ὁδοῦ. 23. Καὶ τὸ μέγιστον δὴ, τῶν θεῶν οὕτω διδόντων περιφανῶς ἀγαθὰ, καὶ φοβοίμην ἂν αὐτοὺς καὶ αἰσχυνοίμην, ἀπολιπὼν ταῦτα, εἰκῆ ἀπελθεῖν. Ἐγὼ μὲν οὖν, ἔφη, οὕτω ποιήσω· ὑμεῖς δὲ ὅπως γιγνώσκετε, οὕτω καὶ ποιεῖτε, καὶ ἐμοὶ εἴπατε, ὅ τι ἂν ὑμῖν δόξῃ. Ὁ μὲν οὕτως εἶπε.

24. Πρῶτος δὲ ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι πρὸς ταῦτα ἔλεξεν· Ἀλλ' ἐγὼ μέν, ἔφη, ὦ βασιλεῦ· βασιλεὺς μὲν γὰρ ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι, οὐδὲν ἧττον, ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών· ἐκείνῳ τε γὰρ ἀεὶ αἱ μέλιτται ἑκοῦσαι πείθονται· ὅπου δ' ἂν μένῃ, καὶ οὐδὲ μία ἐντεῦθεν ἀπέρχεται· ἢν δέ που ἐξίῃ, οὐδὲ μία αὐτοῦ ἀπολείπεται· οὕτω δεινός τις αὐταῖς ἔρως τοῦ ἄρχεσθαι ὑπ' ἐκείνου ἐγγίγνεται· 25. καὶ πρὸς σὲ δέ μοι δοκοῦσι παραπλησίως πως οἱ ἄνθρωποι οὗτοι διακεῖσθαι. Καὶ γὰρ εἰς Πέρσας ὅτε παρ' ἡμῶν ἀπῄεις, τίς Μήδων ἢ νέος ἢ γέρων σοῦ ἀπελείφθη, τοῦ μή σοι ἀκολουθεῖν, ἕως ὅτε Ἀστυάγης ἡμᾶς ἀπέστρεψεν; Ἐπεὶ δὲ ἐκ Περσῶν βοηθὸς ἡμῖν ὥρμήθης, σχεδὸν αὖ ὁρῶμεν τοὺς φίλους σου πάντας ἑθελου-

σίους συνεπομένους. Ὅτε δ' αὖ τῆς δεῦρο στρατείας ἐπεθύμησας, πάντες σοι Μῆδοι ἑκόντες ἠκολούθησαν. 26. Νῦν δ' αὖ οὕτως ἔχομεν, ὡς σὺν σοὶ μὲν ὅμως καὶ ἐν τῇ πολεμίᾳ ὄντες θαῤῥοῦμεν, ἄνευ δὲ σοῦ καὶ οἴκαδε ἀπιέναι φοβούμεθα. Οἱ μὲν οὖν ἄλλοι ὅπως ποιήσουσιν, αὐτοὶ ἐροῦσιν· ἐγὼ δὲ, ὦ Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ, καὶ μενοῦμεν παρὰ σοὶ, καὶ ὁρῶντες σὲ ἀνεξόμεθα, καὶ κατερήσομεν ὑπὸ σοῦ εὐεργετούμενοι.

27. Ἐπὶ τούτῳ ἔλεξεν ὁ Τιγράνης ὧδε· Σὺ, ἔφη, ὦ Κῦρε, μή τι θαυμάσῃς, ἂν ἐγὼ σιωπῶ· ἡ γὰρ ἐμὴ ψυχὴ, ἔφη, οὐχ ὡς βουλεύσουσα παρεσκεύασται, ἀλλ' ὡς ποιήσουσα, ὅ τι ἂν παραγγέλῃς. 28. Ὁ δὲ Ὑρκάνιος εἶπεν· Ἀλλ' ἐγὼ μὲν, ὦ Μῆδοι, εἰ νῦν ἀπέλθοιτε, δαίμονος ἂν φαίην τὴν βούλησιν εἶναι, τὸ μὴ ἐᾶσαι ὑμᾶς μέγα εὐδαίμονας γενέσθαι· ἀνθρωπίνη δὲ γνώμη τίς ἂν ἢ φευγόντων τῶν πολεμίων ἀποτρέποιτο, ἢ ὅπλα παραδιδόντων οὐκ ἂν λαμβάνοι, ἢ ἑαυτοὺς διδόντων καὶ τὰ ἑαυτῶν οὐκ ἂν δέχοιτο; ἄλλως τε καὶ τοῦ ἡγεμόνος ἡμῖν ὄντος τοιούτου, ὃς ἐμοὶ δοκεῖ (ὡς ὄμνυμι ὑμῖν πάντας τοὺς θεοὺς) εὖ ποιῶν ἡμᾶς μᾶλλον ἢ δεσθαι, ἢ ἑαυτὸν πλουτίζων. 29. Ἐπὶ τούτῳ πάντες οἱ Μῆδοι τοιαῦτα ἔλεγον, Σὺ, ὦ Κῦρε, καὶ ἐξήγαγες ἡμᾶς, καὶ, οἴκαδε ὅταν ἀπιέναι καιρός σοι δοκῇ εἶναι, σὺν σοὶ ἡμᾶς ἀπάγαγε. Ὁ δὲ Κῦρος ἀκούσας ταῦτα ἐπεύξατο, Ἀλλ' ὦ Ζεῦ μέγιστε, αἰτοῦμαί σε, δός μοι τοὺς ἐμὲ τιμῶντας νικῆσαι εὖ ποιοῦντα. 30. Ἐκ τούτου ἐκέλευσε τοὺς μὲν ἄλλους, φύ-

λακας καταστήσαντας, ἀμφ᾽ αὐτοὺς ἤδη ἔχειν, τοὺς δὲ Πέρσας διαλαβεῖν τὰς σκηνὰς, τοῖς μὲν ἱππεῦσι τὰς τούτοις πρεπούσας, τοῖς δὲ πεζοῖς τὰς τουτοις ἀρκούσας· καὶ οὕτω καταστήσασθαι, ὅπως ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς ἅπαντες τὰ δέοντα φέρωσιν εἰς τὰς τάξεις τοῖς Πέρσαις, καὶ τοὺς ἵππους τεθεραπευμένους παρέχωσι, Πέρσαις δὲ μηδὲν ἄλλο ἢ ἔργον, ἢ τὰ πρὸς τὸν πόλεμον ἐκπονεῖν. Ταύτην μὲν οὖν οὕτω τὴν ἡμέραν διήγαγον.

CAP. II.

1. Πρωῒ δ᾽ ἀναστάντες ἐπορεύοντο πρὸς τὸν Γωβρύαν, Κῦρος μὲν ἐφ᾽ ἵππῳ, καὶ οἱ Περσῶν ἱππεῖς, γεγενημένοι ἀμφὶ τοὺς δισχιλίους· οἱ δὲ τὰ τούτων γέρρα καὶ τὰς κοπίδας ἔχοντες ἐπὶ τούτοις εἵποντο, ἴσοι ὄντες τὸν ἀριθμόν· καὶ ἡ ἄλλη δὲ στρατιὰ τεταγμένη ἐπορεύετο. Ἕκαστον δὲ ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν, ὅτι, ὅστις ἂν αὐτῶν ἢ τῶν ὀπισθοφυλάκων φαίνηται ὄπισθεν, ἢ τοῦ μετώπου πρόσθεν ἴῃ, ἢ κατὰ πλάγια ἔξω τῶν ἐν τάξει ὄντων ἁλίσκηται, κολασθήσεται. 2. Δευτεραῖοι δὲ ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου χωρίῳ, καὶ ὁρῶσιν ὑπερίσχυρόν τε τὸ ἔρυμα, καὶ ἐπὶ τῶν τειχῶν πάντα παρεσκευασμένα, ὡς ἂν κράτιστα ἀπομάχοιτο· καὶ βοῦς δὲ πολλοὺς καὶ πάμπολλα πρόβατα ὑπὸ τὰ ἐρύματα προηγμένα ἑώρων. 3. Πέμψας δὲ ὁ Γωβρύας πρὸς τὸν Κῦρον ἐκέλευσε περιελάσαντα ἰδεῖν, ᾗ ἡ πρόσοδος εὐπετεστάτη, εἶσω δὲ πέμψαι πρὸς ἑαυτὸν τῶν πιστῶν τινὰς, οἵτινες αὐτῷ τὰ

ἔνδον ἰδόντες ἀπαγγελοῦσιν. 4. Οὕτω δὴ ὁ Κῦρος αὐτὸς μὲν τῷ ὄντι βουλόμενος ἰδεῖν, εἴ πῃ εἴη αἱρέσιμον τὸ τεῖχος, ἢ ψευδὴς φαίνοιτο ὁ Γωβρύας, περιήλαυνε πάντοθεν, ἑώρα τε ἰσχυρότερα πάντα ἢ προσελθεῖν· οὓς δ' ἔπεμψε πρὸς Γωβρύαν, ἀπήγγελλον τῷ Κύρῳ, ὅτι τοσαῦτα εἴη ἔνδον ἀγαθά, ὅσα ἐπ' ἀνθρώπων γενεᾶν, ὡς σφίσι δοκεῖν, μὴ ἂν ἐπιλείπειν τοὺς ἔνδον ὄντας. 5. Ὁ μὲν δὴ Κῦρος ἐν φροντίδι ἦν, ὅ τί ποτε εἴη ταῦτα· ὁ δὲ Γωβρύας αὐτός τε ἐξῄει πρὸς αὐτὸν, καὶ τοὺς ἔνδοθεν πάντας ἐξῆγε, φέροντας οἶνον, ἄλφιτα, ἄλευρα, ἄλλους δὲ ἑλαύνοντας βοῦς, οἶγας, οἷς, σῦς, καὶ εἴ τι βρωτὸν, πάντα ἱκανὰ προσῆγον, ὡς δειπνῆσαι καλῶς ἅπασαν τὴν σὺν Κύρῳ στρατιάν. 6. Οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες διήρουν τε ταῦτα καὶ διηκονοῦντο· ὁ δὲ Γωβρύας, ἐπεὶ πάντες αὐτῷ οἱ ἄνδρες ἔξω ἦσαν, εἰσιέναι τὸν Κῦρον ἐκέλευσε, ὅπως νομίζοι ἀσφαλέστατα. Προεισπέμψας οὖν ὁ Κῦρος προσκόπους καὶ δύναμιν, καὶ αὐτὸς οὕτως εἰσῄει. Ἐπεὶ δὲ εἰσῆλθεν ἀναπεπταμένας ἔχων τὰς πύλας, παρεκάλει πάντας τοὺς φίλους καὶ ἄρχοντας τῶν μεθ' ἑαυτοῦ. 7. Ἐπεὶ δὲ ἔνδον ἦσαν, ἐκφέρων ὁ Γωβρύας φιάλας χρυσᾶς, καὶ πρόχους, καὶ κάλπιδας, καὶ κόσμον παντοῖον, καὶ δαρεικοὺς ἀμέτρους τινὰς, καὶ πάντα καλὰ, καὶ τέλος τὴν θυγατέρα, δεινόν τι κάλλος καὶ μέγεθος, πενθικῶς δὲ ἔχουσαν τοῦ ἀδελφοῦ τεθνηκότος, ἐξάγων, τάδε εἶπεν· Ὦ Κῦρε, ἐγώ σοι τὰ μὲν χρήματα ταῦτα δίδωμι, τὴν δὲ θυγατέρα

ταύτην ἐπιτρέπω διαθέσθαι, ὅπως ἂν σὺ βούλῃ· ἱκετεύομεν δέ, ἐγὼ μὲν καὶ πρόσθεν τοῦ υἱοῦ, αὕτη δὲ νῦν τοῦ ἀδελφοῦ τιμωρὸν γενέσθαι σε.

8. Ὁ δὲ Κῦρος πρὸς ταῦτα εἶπεν· Ἀλλ' ἐγώ σοι μὲν καὶ τότε ὑπεσχόμην, ἀψευδοῦντός σου, τιμωρήσειν εἰς δύναμιν· νῦν δέ, ὅτε σε ἀληθεύοντα ὁρῶ ἤδη, ὀφείλω τὴν ὑπόσχεσιν· καὶ ταύτῃ ὑπισχνοῦμαι τὰ αὐτὰ ταῦτα σὺν θεοῖς ποιήσειν. Καὶ τὰ μὲν χρήματα ταῦτα, ἔφη, ἐγὼ μὲν δέχομαι, δίδωμι δ' αὐτὰ τῇ παιδὶ ταύτῃ, καὶ ἐκείνῳ, ὃς ἂν γήμῃ αὐτήν. Ἓν δὲ δῶρον ἄπειμι ἔχων παρὰ σοῦ, ἀνθ' οὗ ἐγὼ οὐδ' ἂν τὰ ἐν Βαβυλῶνι, ἐν ᾗ πλεῖστά ἐστιν, οὐδὲ τὰ πανταχοῦ ἀντὶ τούτου, οὗ σύ μοι δεδώρησαι, ἥδιον ἂν ἔχων ἀπέλθοιμι. 9. Καὶ ὁ Γωβρύας, θαυμάσας, τί ποτε τοῦτο εἴη, καὶ ὑποπτεύσας, μὴ τὴν θυγατέρα λέγοι, οὕτως ἤρετο· Καὶ τί τοῦτ' ἐστὶν, ἔφη, ὦ Κῦρε; Καὶ ὁ Κῦρος ἀπεκρίνατο, Ὅτι, ἔφη. ὦ Γωβρύα, πολλοὺς μὲν οἶομαι εἶναι ἀνθρώπους, οἳ οὔτε ἀσεβεῖν ἂν θέλοιεν οὔτε ἀδικεῖν, οὔτε ἂν ψεύδοιντο ἑκόντες εἶναι· διὰ δὲ τὸ μηδένα αὐτοῖς ἠθεληκέναι προέσθαι μήτε χρήματα πολλὰ μήτε τυραννίδα μήτε τείχη ἐρυμνὰ μήτε τέκνα ἀξιέραστα, ἀποθνήσκουσι πρότερον, πρὶν δῆλοι γενέσθαι, οἷοι ἦσαν· 10. ἐμοὶ δὲ σὺ νυνὶ καὶ τείχη ἐρυμνὰ καὶ πλοῦτον παντοδαπὸν καὶ δύναμιν τὴν σὴν καὶ θυγατέρα ἀξιόκτητον ἐγχειρίσας, πεποίηκάς με δῆλον γενέσθαι πᾶσιν ἀνθρώποις, ὅτι οὔτ' ἂν ἀσεβεῖν περὶ ξένους ἐθέλοιμι οὔτ' ἂν ἀδικεῖν χρημάτων

ἕνεκεν, οὔτε συνθήκας ἂν ψευδοίμην ἑκὼν εἶναι. 11. Τοῦτ' οὖν ἐγώ σοι, εὖ ἴσθι, ἕως ἂν ἀνὴρ δίκαιος ὦ, καὶ δοκῶν εἶναι τοιοῦτος ἐπαινῶμαι ὑπ' ἀνθρώπων, οὔποτ' ἐπιλήσομαι· ἀλλὰ πειράσομαί σε ἀντιτιμῆσαι πᾶσι τοῖς καλοῖς. Καὶ ἀνδρὸς δ', ἔφη, τῇ θυγατρὶ μὴ φοβοῦ ὡς ἀπορήσεις ἀξίου ταύτης· 12. πολλοὶ γὰρ καὶ ἀγαθοὶ φίλοι εἰσίν ἐμοί· ὧν ὅστις γαμεῖ αὐτὴν, εἰ μέντοι χρήματα ἕξει τοσαῦτα, ὅσα δίδως, ἢ καὶ ἄλλα πολλαπλάσια τούτων, οὐκ ἂν ἔχοιμι εἰπεῖν· σὺ μέντοι εὖ ἴσθι, ὅτι εἰσί τινες αὐτῶν, οἳ ὧν μὲν σὺ δίδως χρημάτων, οὐδὲ μικρὸν τούτων ἕνεκά σε μᾶλλον θαυμάσουσιν· ἐμὲ δὲ ζηλοῦσι νυνὶ, καὶ εὔχονται πᾶσι θεοῖς γενέσθαι ποτὲ καὶ ἑαυτοὺς ἐπιδεῖξαι, ὡς πιστοὶ μέν εἰσιν οὐδὲν ἧττον ἐμοῦ τοῖς φίλοις, τοῖς δὲ πολεμίοις ὡς οὔποτ' ἂν ὑφεῖντο ζῶντες, εἰ μή τις θεὸς βλάπτοι· ἀντὶ δ' ἀρετῆς καὶ δόξης ἀγαθῆς ὅτι οὐδ' ἂν τὰ Σύρων πρὸς τοῖς σοῖς καὶ Ἀσσυρίων πάντα προέλοιντο· τοιούτους ἴσθι ἄνδρας ἐνταῦθα καθημένους. 13. Καὶ ὁ Γωβρύας εἶπε γελάσας, Πρὸς τῶν θεῶν, ἔφη, ὦ Κῦρε, δεῖξον δή μοι, ποῦ οὗτοί εἰσιν, ἵνα σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. Ἀμέλει, ἔφη, οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνεσθαι, ἀλλ' ἢν σὺν ἡμῖν ἔπῃ, αὐτὸς σὺ ἕξεις καὶ ἄλλῳ δεικνύναι αὐτῶν ἕκαστον.

14. Τοσαῦτα δ' εἰπὼν, δεξιάν τ' ἔλαβε τοῦ Γωβρύα, καὶ ἀναστὰς ἐξῆει, καὶ τοὺς σὺν αὐτῷ πάντας ἐξήγαγε· καὶ πολλὰ δεομένου τοῦ Γωβρύα ἔνδον δειπνεῖν, οὐκ ἠθέλησεν· ἀλλ' ἐν τῷ στρατοπέδῳ ἐδεί-

σνει, καὶ τὸν Γωβρύαν σύνδειπνον παρέλαβεν. 15. Ἐπὶ στιβάδος δὲ κατακλιθεὶς ἤρετο αὐτὸν ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, πότερον οἴει σοὶ εἶναι πλείω ἢ ἡμῶν ἑκάστῳ στρώματα; Καὶ ὃς εἶπεν, Ἡμῖν νὴ τὸν Δί' εὖ οἶδ' ὅτι, ἔφη, καὶ στρώματα πλείω ἐστὶ καὶ κλίναι, καὶ οἰκία γε πολὺ μείζων ἡ ὑμετέρα τῆς ἐμῆς· οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐρανῷ, κλίναι δ' ὑμῖν εἰσιν, ὁπόσαι γένοιντ' ἂν εὐναὶ ἐπὶ γῆς· στρώματα δὲ νομίζετε, οὐχ ὁπόσα πρόβατα φύει ἔρια, ἀλλ' ὁπόσα φρύγανα ὄρη τε καὶ πεδία ἀνίησι. 16. Τὸ μὲν δὴ πρῶτον συνδειπνῶν αὐτοῖς ὁ Γωβρύας καὶ ὁρῶν τὴν φαυλότητα τῶν παρατιθεμένων βρωμάτων, πολὺ σφᾶς ἐνόμιζεν ἐλευθεριωτέρους εἶναι αὐτῶν· 17. ἐπεὶ δὲ κατενόησε τὴν μετριότητα τῶν συσσίτων· (ἐπ' οὐδενὶ γὰρ βρώματι οὐδὲ πόματι Πέρσης ἀνὴρ τῶν πεπαιδευμένων οὔτ' ἂν ὄμμασιν ἐκπεπληγμένος καταφανὴς γένοιτο οὔτε ἁρπαγῇ οὔτε τῷ νῷ, μὴ οὐχὶ προνοεῖν, ἅπερ ἂν καὶ μὴ ἐν σίτῳ ὦν· ἀλλ' ὥσπερ οἱ ἱππικοὶ, διὰ τὸ μὴ ταράσσεσθαι ἐπὶ τῶν ἵππων, δύνανται ἅμα ἱππεύοντες καὶ ὁρᾶν καὶ ἀκούειν καὶ λέγειν τὸ δέον, οὕτω καὶ ἐκεῖνοι ἐν τῷ σίτῳ οἴονται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι· τὸ δὲ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως, πάνυ αὐτοῖς κυνικὸν καὶ θηριῶδες δοκεῖ εἶναι·) 18. ἐνενόησε δὲ αὐτῶν, καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα, οἷα ἐρωτηθῆναι ἥδιον ἦν, ἢ μὴ, καὶ ὡς ἔσκωπτον, οἷα σκωφθῆναι ἥδιον ἦν, ἢ μή· ἅ τε ἔπαιζον, ὡς πολὺ μὲν ὕβρεως ἀπῆν, πολὺ δὲ τοῦ

αἰσχρόν τι ποιεῖν, πολὺ δὲ τοῦ καλεπαίνεσθαι πρὸς ἀλλήλους. 19. Μέγιστον δ' αὐτῷ ἔδοξεν εἶναι τὸ ἐν στρατείᾳ ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόντων μηδενὸς οἴεσθαι δεῖν πλείω παρατίθεσθαι, ἀλλὰ τοῦτο νομίζειν μεγίστην εὐωχίαν εἶναι, τοὺς συμμάχεσθαι μέλλοντας ὅτι βελτίστους παρασκευάζειν. 20. Ἡνίκα δὲ ὁ Γωβρύας ὡς εἰς οἶκον ἀπιὼν ἀνίστατο, εἰπεῖν λέγεται· Οὐκέτι θαυμάζω, ὦ Κῦρε, εἰ ἐκπώματα μὲν καὶ ἱμάτια καὶ χρυσίον ἡμεῖς ὑμῶν πλείονα κεκτήμεθα, αὐτοὶ δ' ἐλάττονος ὑμῶν ἄξιοί ἐσμεν. Ἡμεῖς μὲν γὰρ ἐπιμελούμεθα, ὅπως ἡμῖν ταῦτα ὡς πλεῖστα ἔσται, ὑμεῖς δέ μοι δοκεῖτε ἐπιμέλεσθαι, ὅπως αὐτοὶ ὡς κράτιστοι ἔσεσθε. 21. Ὁ μὲν ταῦτα εἶπεν· ὁ δὲ Κῦρος, Ἀγ', ἔφη, ὦ Γωβρύα, ὅπως πρωῒ παρέσῃ ἔχων τοὺς ἱππέας ἐξωπλισμένους, ἵνα καὶ τὴν δύναμίν σου ἴδωμεν, καὶ ἅμα διὰ τῆς σῆς χώρας ἄγῃς ἡμᾶς, ὡς ἂν εἰδῶμεν, ἃ τε δεῖ φίλια καὶ πολέμια ἡμᾶς νομίζειν.

22. Τότε μὲν δὴ ταῦτα εἰπόντες ἀπῆλθον ἑκάτερος ἐπὶ τὰ προσήκοντα.

Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, παρῆν ὁ Γωβρύας, ἔχων τοὺς ἱππέας, καὶ ἡγεῖτο. Ὁ δὲ Κῦρος, ὥσπερ προσήκει ἀνδρὶ ἄρχοντι, οὐ μόνον τῷ πορεύεσθαι τὴν ὁδὸν προσεῖχε τὸν νοῦν, ἀλλ' ἅμα προϊὼν ἐπεσκοπεῖτο, εἴ τι δυνατὸν εἴη τοὺς μὲν πολεμίους ἀσθενεστέρους ποιεῖν, αὐτοὺς δὲ ἰσχυροτέρους. 23. Καλέσας οὖν τὸν Ὑρκάνιον καὶ τὸν Γωβρύαν, (τούτους γὰρ ἐνόμιζεν εἰδέναι μάλιστα, ὧν αὐτὸς ᾤετο δεῖσθαι

μαθεῖν) Ἐγώ τοι, ἔφη, ἄνδρες φίλοι, οἶομαι, σὺν ὑμῖν ὡς πιστοῖς βουλευόμενος περὶ τοῦ πολέμου τοῦδε, οὐκ ἂν ἐξαμαρτάνειν· ὁρῶ γὰρ, ὅτι ὑμῖν ἔτι μᾶλλον ἢ ἐμοὶ σκεπτέον, ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσῃ. Ἐμοὶ μὲν γὰρ, ἔφη, τῶνδε ἀποσφαλέντι ἐστὶν ἴσως καὶ ἄλλη ἀποστροφή· ὑμῖν δὲ, εἰ οὗτος ἐπικρατήσει, ὁρῶ ἅπαντα τὰ ὄντα ἀλλότρια γιγνόμενα. 24. Καὶ γὰρ ἐμοὶ μὲν πολέμιός ἐστιν, οὐκ ἐμὲ μισῶν, ἀλλ' οἰόμενος, ἀσύμφορον εἶναι αὐτῷ, μεγάλους εἶναι ἡμᾶς· καὶ στρατεύει διὰ τοῦτο ἐφ' ἡμᾶς· ὑμᾶς δὲ καὶ μισεῖ, ἀδικεῖσθαι νομίζων ὑφ' ὑμῶν. Πρὸς ταῦτα ἀπεκρίναντο ἀμφότεροι κατὰ ταὐτὰ, περαίνειν, ὅ τι μέλλει, ὡς ταῦτα εἰδόσι σφίσι καὶ μέλον αὐτοῖς ἰσχυρῶς, ὅπη τὰ νῦν παρόντα ἀποβήσοιτο.

25. Ἐνταῦθα δὴ ἦρχετο ὧδε· Λέξατε δή μοι, ἔφη, ἡμᾶς μόνους ἐνόμιζε πολεμικῶς ἔχειν ὁ Ἀσσύριος πρὸς ἑαυτόν· ἢ ἐπίστασθε καὶ ἄλλον τινὰ αὐτῷ πολέμιον; Ναὶ μὰ Δί', ἔφη ὁ Ὑρκάνιος, πολεμιώτατοι μὲν εἰσιν αὐτῷ Καδούσιοι, ἔθνος μάλα πολὺ καὶ ἄλκιμον· Σάκαι γε μὴν ὅμοροι ἡμῖν, οὓς πολλὰ κακὰ πεπόνθασιν ὑπὸ τοῦ Ἀσσυρίου· ἐπειρᾶτο γὰρ καὶ ἐκείνους, ὥσπερ καὶ ἡμᾶς, καταστρέψασθαι. 26. Οὐκοῦν, ἔφη, οἴεσθ' ἂν νῦν αὐτοὺς ἀμφοτέρους ἡδέως ἂν ἐπιβῆναι σὺν ἡμῖν τῷ Ἀσσυρίῳ; Ἔφασαν, καὶ σφόδρ' ἄν, εἴ πῃ γε δύναιντο συμμίξαι. Τί δ' ἐν μέσῳ, ἔφη, ἐστὶ τοῦ συμμίξαι; Ἀσσύριοι, ἔφασαν, τὸ αὐτὸ ἔθνος, δι' οὗπερ νῦν πορεύῃ. 27. Ἐπεὶ

δὲ ταῦτα ἤκουσεν ὁ Κῦρος, Τί γάρ, ἔφη, ὦ Γωβρύα, οὐ σὺ τοῦ νεανίσκου τούτου, ὃς νῦν εἰς τὴν βασιλείαν καθέστηκεν, ὑπερηφανίαν πολλήν τινα τοῦ τρόπου κατηγορεῖς; Τοιαῦτα γάρ, οἶμαι, ἔφη ὁ Γωβρύας, ἔπαθον ὑπ' αὐτοῦ. Πότερα δῆτα, ἔφη ὁ Κῦρος, εἰς σὲ μόνον ἐγένετο τοιοῦτος, ἢ καὶ εἰς ἄλλους τινάς; 28. Νὴ Δί', ἔφη ὁ Γωβρύας, καὶ εἰς ἄλλους πολλούς. Ἀλλὰ τοὺς μὲν ἀσθενοῦντας οἷα ὑβρίζει, τί δεῖ λέγειν; ἑνὸς δ' ἀνδρὸς πολὺ δυνατωτέρου, ἢ ἐγώ, υἱὸν, καὶ ἐκείνου ἑταῖρον ὄντα, ὥσπερ τὸν ἐμόν, συμπίνοντα παρ' ἑαυτῷ συλλαβὼν ἐξέτεμεν, ὡς μέν τινες ἔφασαν, ὅτι ἡ παλλακὴ αὐτοῦ ἐπήνεσεν αὐτὸν, ὡς καλὸς εἴη, καὶ ἐμακάρισε τὴν μέλλουσαν αὐτῷ γυναῖκα ἔσεσθαι· ὡς δὲ οὗτος νῦν λέγει, ὅτι ἐπείρασεν αὐτοῦ τὴν παλλακίδα. Καὶ νῦν οὗτος εὐνοῦχος μέν ἐστι, τὴν δὲ ἀρχὴν ἔχει, ἐπεὶ ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν. 29. Οὐκοῦν, ἔφη, οἴει ἂν καὶ τοῦτον ἡμᾶς ἰδεῖν ἡδέως, εἰ οἷοιτο αὐτῷ βοηθοὺς ἂν γενέσθαι; Εὖ μὲν οὖν οἶδα, ἔφη ὁ Γωβρύας· ἀλλ' ἰδεῖν τοι αὐτὸν χαλεπόν ἐστιν, ὦ Κῦρε. Πῶς; ἔφη ὁ Κῦρος. Ὅτι, εἰ μέλλοι τις ἐκείνῳ συμμίξειν, παρ' αὐτὴν τὴν Βαβυλῶνα δεῖ παριέναι. 30. Τί οὖν, ἔφη, τοῦτο χαλεπόν; Ὅτι νὴ Δί', ἔφη ὁ Γωβρύας, οἶδα ἐξελθοῦσαν δύναμιν αὐτόθεν πολλαπλασίαν, ἧς σὺ νῦν ἔχεις· εὖ δ' ἴσθι, ὅτι διὰ ταῦτα ἧττόν σοι νῦν, ἢ τὸ πρῶτον, οἱ Ἀσσύριοι καὶ τὰ ὅπλα ἀποφέρουσι, καὶ τοὺς ἵππους ἀπάγουσιν, ὅτι τοῖς ἰδοῦσιν αὐτὴν ὀλίγη ἔδοξεν εἶναι ἡ σὴ δύναμις· καὶ οὗτος ὁ λόγος

πολὺς ἤδη ἐνέσπαρται· δοκεῖ δέ μοι, ἔφη, βέλτιον εἶναι φυλαττομένους πορεύεσθαι.

31. Καὶ ὁ Κῦρος, ἀκούσας τοῦ Γωβρύου τοιαῦτα, τοιάδε πρὸς αὐτὸν ἔλεξε· Καλῶς μοι δοκεῖς, ὦ Γωβρύα, λέγειν, κελεύων ὡς ἀσφαλέστατα τὰς πορείας ποιεῖσθαι. Ἐγὼ δ' οὖν σκοπῶν οὐ δύναμαι ἐννοῆσαι ἀσφαλεστέραν οὐδὲ μίαν πορείαν ἡμῖν τῆς πρὸς αὐτὴν Βαβυλῶνα πορείας εἶναι, εἰ ἐκεῖ τῶν πολεμίων ἐστὶ τὸ κράτιστον. Πολλοὶ μὲν γάρ εἰσιν, ὡς σὺ φῄς· εἰ δὲ καὶ θαῤῥήσουσι, καὶ δεινοὶ ἡμῖν, ὡς ἐγώ φημι, ἔσονται. 32. Μὴ ὁρῶντες μὲν οὖν ἡμᾶς, ἀλλ' οἰόμενοι ἀφανεῖς εἶναι διὰ τὸ φοβεῖσθαι ἐκείνους, σάφ' ἴσθι, ἔφη, ὅτι τοῦ μὲν φόβου ἀπαλλάξονται, ὃς αὐτοῖς ἐνεγένετο, Θάρσος δὲ ἐμφύσεται ἀντὶ τούτου τοσούτῳ μεῖζον, ὅσῳ ἂν πλείονα χρόνον ἡμᾶς μὴ ὁρῶσιν· ἢν δὲ ἤδη ἴωμεν ἐπ' αὐτούς, πολλοὺς μὲν αὐτῶν εὑρήσομεν ἔτι κλαίοντας τοὺς ἀποθανόντας ὑφ' ἡμῶν, πολλοὺς δ' ἔτι τραύματα ἐπιδεδεμένους, ἃ ὑπὸ τῶν ἡμετέρων ἔλαβον, πάντας δ' ἔτι μεμνημένους τῆς τοῦδε μὲν τοῦ στρατεύματος τόλμης, τῆς δ' αὐτῶν φυγῆς τε καὶ ξυμφορᾶς. 33. Εὖ δ' ἴσθι, ὦ Γωβρύα, εἶναι καὶ τοῦτο ἤδη, ὡς οἱ πολλοὶ ἄνθρωποι, ὅταν μὲν θαῤῥήσωσιν, ἀνυπόστατον τὸ φρόνημα παρέχονται· ὅταν δὲ δείσωσιν, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ μεῖζω καὶ ἐκπεπληγμένον μᾶλλον τὸν φόβον κέκτηνται. 34. Ἐκ πολλῶν μὲν γὰρ καὶ κακῶν λόγων ηὐξημένος αὐτοῖς πάρεστιν, ἐκ πολλῶν δὲ καὶ πονηρῶν χρημάτων, ἐκ πολλῶν δὲ καὶ δυσθυμων τε

καὶ ἐξεστηκότων προσώπων ἤθροισται· ὥστε ὑπὸ τοῦ μεγέθους οὐ ῥᾴδιον αὐτόν ἐστιν οὔτε λόγοις καταβέσαι, οὔτε προσάγοντα πολεμίοις μένος ἐμβαλεῖν, οὔτ' ἀπαγαγόντα ἀναθρέψαι τὸ φρόνημα· ἀλλ' ὅσῳ ἂν μᾶλλον αὐτοῖς θαῤῥεῖν παρακελεύῃ, τοσούτῳ ἐν δεινοτέροις ἡγοῦνται εἶναι. 35. Ἐκεῖνο μέντοι ἤδη, ἔφη, σκεψώμεθα ἀκριβῶς, ὅπως ἔχει. Εἰ μὲν γὰρ τὸ ἀπὸ τοῦδε αἱ νῖκαι ἔσονται ἐν τοῖς πολεμικοῖς ἔργοις, ὁπότεροι ἂν πλείονα ὄχλον ἀπαριθμήσωσιν, ὀρθῶς καὶ σὺ φοβῇ περὶ ἡμῶν, καὶ ἡμεῖς τῷ ὄντι ἐν δεινοῖς ἐσμεν· εἰ μέντοι, ὥσπερ πρόσθεν, διὰ τοὺς εὖ μαχομένους ἔτι καὶ νῦν αἱ μάχαι κρίνονται, θαῤῥῶν οὐδὲν ἂν σφαλείης· πολὺ γὰρ σὺν τοῖς θεοῖς πλείονας εὑρήσεις παρ' ἡμῖν τοὺς θέλοντας μάχεσθαι, ἢ παρ' ἐκείνοις. 36. Ὡς δὲ ἔτι μᾶλλον θαῤῥῇς, καὶ τόδε κατανόησον· οἱ μὲν γὰρ πολέμιοι πολὺ μὲν ἐλάττονές εἰσι νῦν, ἢ πρὶν ἡττηθῆναι ὑφ' ἡμῶν, πολὺ δὲ ἐλάττονες, ἢ ὅτε ἀπέδρασαν ἡμᾶς· ἡμεῖς δὲ καὶ μείζονες νῦν, ἢ πρὶν, ἐπεὶ ἐνικήσαμεν, καὶ ἰσχυρότεροι, ἐπεὶ ὑμεῖς ἡμῖν προσεγένεσθε· μὴ γὰρ ἔτι ἀτίμαζε μηδὲ τοὺς σούς, ἐπεὶ σὺν ἡμῖν εἰσὶ σὺν γὰρ τοῖς νικῶσι, σάφ' ἴσθι, ὦ Γωβρύα, θαῤῥοῦντες καὶ οἱ ἀκόλουθοι ἕπονται. 37. Μὴ λανθανέτω δέ σε μηδὲ τοῦτ', ἔφη, ὅτι ἔξεστι μὲν τοῖς πολεμίοις καὶ νῦν ἰδεῖν ἡμᾶς· γοργότεροι δὲ, σάφ' ἴσθι, οὐδαμῶς ἂν αὐτοῖς φανείημεν, ἢ ἰόντες ἐπ' ἐκείνους. Ὡς οὖν ἐμοῦ ταῦτα γιγνώσκοντος, ἄγε ἡμᾶς εὐθὺ τὴν ἐπὶ Βαβυλῶνος.

CAPVT III.

1. Οὕτω μὲν δὴ πορευόμενοι, τεταρταῖοι ἐπὶ τοῖς ὁρίοις τῆς Γωβρύου χώρας ἐγένοντο. Ὡς δ' ἐν τῇ πολεμίᾳ ἦν, κατέστησε λαβὼν ἐν τάξει μεθ' ἑαυτοῦ τούς τε πεζοὺς καὶ τῶν ἱππέων, ὅσους ἐδόκει αὐτῷ καλῶς ἔχειν· τοὺς δ' ἄλλους ἱππέας ἀφῆκε καταθεῖν, καὶ ἐκέλευσε τοὺς μὲν ὅπλα ἔχοντας κατακαίνειν, τοὺς δ' ἄλλους, καὶ πρόβατα, ὅσα ἂν λάβωσιν, πρὸς αὐτὸν ἄγειν. Ἐκέλευσε δὲ καὶ τοὺς Πέρσας συγκαταθεῖν· καὶ ἦκον πολλοὶ μὲν αὐτῶν κατακεκυλισμένοι ἀπὸ τῶν ἵππων, πολλοὶ δὲ καὶ λείαν πλείστην ἄγοντες. 2. Ὡς δὲ παρῆν ἡ λεία, συγκαλέσας τούς τε τῶν Μήδων ἄρχοντας καὶ τῶν Ἁρκαδίων, καὶ τοὺς ὁμοτίμους, ἔλεξεν ὧδε· Ἄνδρες φίλοι, ἐξένισεν ἡμᾶς ἅπαντας πολλοῖς ἀγαθοῖς ὁ Γωβρύας. Εἰ οὖν, ἔφη, τοῖς θεοῖς ἐξελόντες τὰ νομιζόμενα, καὶ τῇ στρατιᾷ τὰ ἱκανὰ, δοίημεν τὴν ἄλλην τούτῳ λείαν, ἆρ' ἂν, ἔφη, καλὸν ποιήσαιμεν, τῷ εὐθὺς φανεροὶ εἶναι, ὅτι καὶ τοὺς εὖ ποιοῦντας πειρώμεθα νικᾶν εὖ ποιοῦντες; 3. Ὡς δὲ τοῦτ' ἤκουσαν, πάντες μὲν ἐπῄνουν, πάντες δ' ἐνεκωμίαζον· εἷς δὲ καὶ ἔλεξεν ὧδε, Πάνυ, ἔφη, ὦ Κῦρε, τοῦτο ποιήσομεν. Καὶ γὰρ ἔμοιγ', ἔφη, δοκεῖ ὁ Γωβρύας πτωχοὺς τινας νομίζειν ἡμᾶς, ὅτι οὐ δαρεικῶν μεστοὶ ἥκομεν, οὐδ' ἐκ χρυσῶν φιαλῶν πίνομεν· εἰ δὲ τοῦτο ποιήσαιμεν, γνοίη ἄν, ἔφη, ὅτι ἐλευθερίους εἶναι καὶ ἄνευ χρυσίου ἐστίν. 4. Ἄγε δή, ἔφη, τὰ τῶν θεῶν ἀποδόντες τοῖς μάγοις, καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ

ἐξελόντες, τὰ ἄλλα, καλέσαντες τὸν Γωβρύαν, δότε αὐτῷ. Οὕτω δὴ λαβόντες ἐκεῖνοι, ὅσα ἔδει, τὰ ἄλλα ἔδοσαν τῷ Γωβρύᾳ.

5. Ἐκ τούτου δὴ ἦει πρὸς Βαβυλῶνα, παραταξάμενος, ὥσπερ ὅτε ἡ μάχη ἦν. Ὡς δ' οὐκ ἀντεξῆσαν οἱ Ἀσσύριοι, ἐκέλευσεν ὁ Κῦρος τὸν Γωβρύαν προσελάσαντα εἰπεῖν, ὅτι, εἰ βούλεται ἐξιὼν ὁ βασιλεὺς ὑπὲρ τῆς χώρας μάχεσθαι, κἂν αὐτὸς σὺν ἐκείνῳ μάχοιτο· εἰ δὲ μή, ἀμύνει τῇ χώρᾳ, ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι. 6. Ὁ μὲν δὴ Γωβρύας προσελάσας, ἔνθα ἀσφαλὲς ἦν, ταῦτα εἶπεν· ὁ δὲ αὐτῷ ἐξέπεμψεν ἀποκρινούμενον τοιάδε· Δεσπότης ὁ σὸς λέγει, ὦ Γωβρύα, Οὐχ ὅτι ἀπέκτεινά σου τὸν υἱὸν μεταμέλει μοι, ἀλλ' ὅτι οὐ καὶ σὲ προσαπέκτεινα. Μάχεσθαι δ' ἂν βουλησθε, ἥκετε εἰς τὴν τριακοστὴν ἡμέραν· νῦν δ' ἡμῖν οὔπω σχολή· ἔτι γὰρ παρασκευαζόμεθα. 7. Ὁ δὲ Γωβρύας εἶπεν· Ἀλλὰ μήποτέ σοι λήξειεν αὕτη ἡ μεταμέλεια· δῆλον γάρ, ὅτι ἀνιῶ σε ἐγώ, ἐξ οὗ αὕτη σε ἡ μεταμέλεια ἔχει.

8. Ὁ μὲν δὴ Γωβρύας ἀπήγγειλε τὰ τοῦ Ἀσσυρίου· ὁ δὲ Κῦρος ἀκούσας ταῦτα, ἀπήγαγε τὸ στράτευμα· καὶ καλέσας τὸν Γωβρύαν, Εἰπέ μοι, ἔφη, οὐκ ἔλεγες μέντοι σὺ, ὅτι τὸν ἐκτμηθέντα ὑπὸ τοῦ Ἀσσυρίου οἷεῖ᾽ ἂν σὺν ἡμῖν γενέσθαι; Εὖ μέντοι, ἔφη, δοκῶ εἰδέναι· πολλὰ γὰρ ἤδη ἔγωγε καὶ ἐκεῖνος ἐπαῤῥησιασάμεθα πρὸς ἀλλήλους. 9. Ὁπότε τοίνυν σοι δοκεῖ καλῶς ἔχειν, πρόσιθι πρὸς αὐτόν· καὶ

πρῶτον μὲν οὕτω ποίει, ὅπως ἂν αὐτοὶ, ὅ τι ἂν λέγῃ, εἰδῆτε· ἐπειδὰν δὲ συγγένῃ αὐτῷ, ἐὰν μὲν γνῷς αὐτὸν φίλον ἡμῶν βουλόμενον εἶναι, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως λάθῃ φίλος ὢν ἡμῖν· οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείω ἀγαθὰ ἐν πολέμῳ, ἢ πολέμιος δοκῶν εἶναι, οὔτ' ἂν ἐχθροὺς πλείω τις βλάψειεν ἄλλως πως, ἢ φίλος δοκῶν εἶναι. 10. Καὶ μήν, ἔφη ὁ Γωβρύας, οἶδ', ὅτι καὶ πρίαιτο Γαδάτας τὸ μέγα τι ποιῆσαι κακὸν τὸν νῦν βασιλέα Ἀσσυρίων· ἀλλ' ὅ τι ὢν δύναιτο, τοῦτο καὶ ἡμᾶς δεῖ σκοπεῖν. 11. Λέγε δή μοι, ἔφη ὁ Κῦρος, εἰς τοῦτο τὸ φρούριον τὸ πρὸ τῆς χώρας, ὃ φατε Τρωγλοδύταις τε καὶ Σάκαις ἐπιτετειχίσθαι, τῇδε τῇ χώρᾳ πρόβολον εἶναι τοῦ πολέμου, ἆρ' ἂν οἴει, ἔφη, ὑπὸ τοῦ φρουράρχου παρεθῆναι τὸν εὐνοῦχον, ἐλθόντα σὺν δυνάμει; Σαφῶς γε, ἔφη ὁ Γωβρύας, εἴπερ ἀνύποπτος ὤν, ὥσπερ νῦν ἐστιν, ἀφίκοιτο πρὸς αὐτόν. 12 Οὐκοῦν, ἔφη, ἀνυποπτότατος ἂν εἴη, εἰ προσβάλοιμι μὲν ἐγὼ πρὸς τὰ χωρία αὐτοῦ, ὡς λαβεῖν βουλόμενος, ἀπομάχοιτο δ' ἐκεῖνος ἀνὰ κράτος· καὶ λάβοιμι μὲν αὐτοῦ τι ἐγὼ, ἀντιλάβοι δὲ κἀκεῖνος ἡμῶν ἢ ἄλλους τινὰς, ἢ καὶ ἀγγέλους πεμπομένους ὑπ' ἐμοῦ πρὸς τούτους, οὓς φατε πολεμίους τῷ Ἀσσυρίῳ εἶναι· καὶ οἱ μὲν ληφθέντες λέγοιεν, ὅτι ἐπὶ στράτευμα ἀπέρχονται, καὶ κλίμακας ὡς τὸ φρούριον ἄξοντες· ὁ δὲ εὐνοῦχος ἀκούσας προσποιήσαιτο, προαγγεῖλαι βουλόμενος ταῦτα, παρεῖναι. 13. Καὶ ὁ Γωβρύας εἶπεν· Οὕτω μὲν γιγνομένων σαφῶς οἶδα, ὅτι

παρεῖη ἂν αὐτὸν, καὶ δέοιτό γ' ἂν αὐτοῦ μένειν, ἕστε σὺ ἀπέλθῃς. Οὐκοῦν, ἔφη ὁ Κῦρος, εἴγε ἅπαξ εἰσέλθοι, δύναιτ' ἂν ἡμῖν ὑποχείριον ποιῆσαι τὸ χωρίον; 14. Εἰκὸς γοῦν, ἔφη ὁ Γωβρύας, τὰ μὲν ἔνδον ἐκείνου συμπαρασκευάζοντος, τὰ δ' ἔξωθεν σοῦ ἰσχυρότερα προσάγοντος. Ἴθι οὖν, ἔφη· καὶ πειρῶ, ταῦτα διδάξας καὶ διαπραξάμενος, παρεῖναι· πιστὰ δὲ αὐτῷ οὐκ ἂν μείζω οὔτε εἴποις ἂν οὔτε δείξαις, ὧν αὐτὸς σὺ τυγχάνεις παρ' ἡμῶν εἰληφώς.

15. Ἐκ τούτου ᾤχετο μὲν ὁ Γωβρύας· ἄσμενος δὲ ἰδὼν αὐτὸν ὁ εὐνοῦχος, συνωμολόγει τε πάντα καὶ συνέθετο, ἃ ἔδει. Ἐπεὶ δὲ ἀπήγγειλεν ὁ Γωβρύας, ὅτι πάντα δοκοίη ἰσχυρῶς τῷ εὐνούχῳ ἔχειν τὰ ἐπισταλέντα, ἐκ τούτου τῇ ὑστεραίᾳ προσέβαλε μὲν ὁ Κῦρος, ἀπεμάχετο δὲ ὁ Γαδάτας. 16. Ἦν δὲ καὶ ὃ ἔλαβε χωρίον ὁ Κῦρος, ὁποῖον ἔφη ὁ Γαδάτας. Τῶν δὲ ἀγγέλων, οὓς ἔπεμψεν ὁ Κῦρος, προειπὼν, οἳ πορεύσοιντο, τοὺς μὲν εἴασεν ὁ Γαδάτας διαφεύγειν, ὅπως ἄγοιεν τὰ στρατεύματα, καὶ τὰς κλίμακας κομίζοιεν· οὓς δ' ἔλαβε, βασανίζων ἐναντίον πολλῶν, ὡς ἤκουσεν, ἐφ' ἃ ἔφασαν πορεύεσθαι, εὐθέως συνεσκευασμένος, ὡς ἐξαγγελῶν, τῆς νυκτὸς ἐπορεύετο. 17. Τέλος δὲ πιστευθεὶς, ὡς βοηθὸς εἰσέρχεται εἰς τὸ φρούριον· καὶ τέως μὲν συμπαρεσκεύαζεν, ὅ τι ἐδύνατο τῷ φρουράρχῃ· ἐπεὶ δὲ ὁ Κῦρος ἦλθε, καταλαμβάνει τὸ χωρίον, συνεργοὺς ποιησάμενος καὶ τοὺς παρὰ τοῦ Κύρου αἰχμαλώτους. 18. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, εὐθὺς Γαδάτας ὁ εὐνοῦχος τὰ ἔνδον καταστή-

σας ἐξῆλθε πρὸς τὸν Κῦρον, καὶ τῷ νόμῳ προσκυνήσας, εἶπε, Χαῖρε, ὦ Κῦρε. 19. Ἀλλὰ ποιῶ ταῦτ', ἔφη· σὺ γάρ με σὺν τοῖς θεοῖς οὐ κελεύεις μόνον, ἀλλὰ καὶ ἀναγκάζεις χαίρειν. Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι ἐγὼ μέγα ποιοῦμαι, φίλον τοῦτο τὸ χωρίον τοῖς ἐνθάδε συμμάχοις καταλιπών· σὲ δ', ἔφη, ὦ Γαδάτα, ὁ Ἀσσύριος παῖδας μὲν, ὡς ἔοικε, τὸ ποιεῖσθαι ἀφείλετο, οὐ μέντοι τόγε φίλους κτᾶσθαι δύνασθαί σε ἀπεστέρησεν· ἀλλ' εὖ ἴσθι, ὅτι ἡμᾶς τῷ ἔργῳ τοῦτῳ φίλους πεποίησαι, οἵ σοι, ἢν δυνώμεθα, πειρασόμεθα μὴ χείρους βοηθοὶ παραστῆναι, ἢ εἰ παῖδας ἢ ἐκγόνους ἐκέκτησο. 20. Ὁ μὲν τοιαῦτα ἔλεξεν.

Ἐν δὲ τούτῳ ὁ Ὑρκάνιος, ἅρτι ᾐσθημένος τοῦ γεγενημένου, προσθεῖ τῷ Κύρῳ, καὶ λαβὼν τὴν δεξιὰν αὐτοῦ, εἶπεν, Ὦ μέγα ἀγαθὸν σὺ τοῖς φίλοις Κῦρε, ὡς πολλὴν μὲ τοῖς θεοῖς ποιεῖς χάριν ὀφείλειν, ὅτι σοί με συνήγαγον. 21. Ἴθι νῦν, ἔφη ὁ Κῦρος, καὶ λαβὼν τὸ χωρίον, οὗπερ ἕνεκά με ἀσπάζῃ, διατίθει αὐτὸ οὕτως, ὡς ἂν τῷ ὑμετέρῳ φύλῳ πλείστου ἄξιον ᾖ, καὶ τοῖς ἄλλοις συμμάχοις, μάλιστα δ', ἔφη, Γαδάτᾳ τούτῳ, ὃς ἡμῖν λαβὼν αὐτὸ παραδίδωσι.

22. Τί οὖν, ἔφη ὁ Ὑρκάνιος, ἐπειδὰν Καδούσιοι ἔλθωσι καὶ Σάκαι, καὶ οἱ ἐμοὶ πολῖται, καλέσωμεν καὶ τοῦτον, ἵνα κοινῇ συμβουλευσώμεθα πάντες, ὅσοις προσήκει, πῶς ἂν συμφορώτατα χρῴμεθα τῷ φρουρίῳ; 23. Ταῦτα μὲν οὕτω συνῄνεσε καὶ ὁ Κῦρος· ἐπεὶ δὲ συνῆλθον, οἷς ἔμελε περὶ τοῦ φρουρίου,

ἐβουλεύσαντο κοινῇ φυλάττειν, οἷςπερ ἀγαθὸν ἦ, φίλιον ὄν, ὅπως αὐτοῖς μὲν πρόβολος εἴη πολέμου, τοῖς δ' Ἀσσυρίοις ἐπιτετειχισμένον. 24. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, πολὺ δὴ προθυμότερον καὶ πλείους καὶ Καδούσιοι συνεστρατεύοντο καὶ Σάκαι καὶ Τρκάνιοι καὶ συνελέγη ἐντεῦθεν στράτευμα. Καδουσίων μὲν πελτασταὶ εἰς δισμυρίους, καὶ ἱππεῖς εἰς τετρακισχιλίους, Σακῶν δὲ τοξόται εἰς μυρίους, καὶ ἱπποτοξόται εἰς δισχιλίους· καὶ Τρκάνιοι δὲ πεζούς τε, ὅσους ἐδύναντο, προσεξέπεμψαν, καὶ ἱππέας προσεπλήρωσαν εἰς δισχιλίους· τὸ γὰρ πρόσθεν καταλελειμμένοι ἦσαν πλείους οἶκοι αὐτῶν ἱππεῖς, ὅτι οἱ Καδούσιοι καὶ οἱ Σάκαι τοῖς Ἀσσυρίοις πολέμιοι ἦσαν. 25. Ὅσον δὲ χρόνον ἐκαθέζετο ὁ Κῦρος ἀμφὶ τὴν περὶ τὸ φρούριον οἰκονομίαν, τῶν Ἀσσυρίων τῶν κατὰ ταῦτα τὰ χωρία πολλοὶ μὲν ἀπῆγον ἵππους, πολλοὶ δὲ ἀπέφερον ὅπλα, φοβούμενοι ἤδη πάντας τοὺς προσχώρους.

26. Ἐκ δὲ τούτου προσέρχεται τῷ Κύρῳ ὁ Γαδάτας, καὶ λέγει, ὅτι ἥκουσιν αὐτῷ ἄγγελοι, ὡς ὁ Ἀσσύριος, ἐπεὶ πύθοιτο τὰ περὶ τοῦ φρουρίου, χαλεπῶς τε ἐνέγκοι, καὶ συσκευάζοιτο ὡς ἐμβαλῶν εἰς τὴν αὐτοῦ χώραν. Ἢν οὖν ἀφῇς με, ὦ Κῦρε, τὰ τείχη ἂν πειραθείην διασῶσαι, τῶν δὲ ἄλλων μείων μοι λόγος. 27. Καὶ ὁ Κῦρος εἶπεν, Ἢν οὖν ἴῃς νῦν, πότε ἔσῃ οἶκοι; Καὶ ὁ Γαδάτας εἶπεν, Εἰς τρίτην δειπνήσω ἐν τῇ ἡμετέρᾳ; Ἢ καὶ τὸν Ἀσσύριον, ἔφη, οἴει ἐκεῖ ἤδη καταλήψεσθαι; Εὖ μὲν οὖν, ἔφη, οἶδα· σπεύσει γάρ, ἕως ἔτι πρόσω δοκεῖς ἀπεῖναι. 28. Ἐγὼ

δὲ, ἔφη ὁ Κῦρος, ποσταῖος ἂν σὺν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; Πρὸς τοῦτο δὴ ὁ Γαδάτας λέγει· Πολὺ ἤδη, ὦ δέσποτα, ἔχεις τὸ στράτευμα, καὶ οὐκ ἂν δύναιο μεῖον, ἢ ἐν ἓξ ἢ ἑπτὰ ἡμέραις, ἐλθεῖν πρὸς τὴν ἐμὴν οἴκησιν. Σὺ μὲν τοίνυν, ἔφη ὁ Κῦρος, ἄπιθι ὡς τάχιστα· ἐγὼ δὲ, ὡς ἂν δυνατὸν ᾖ, πορεύσομαι. 29. Ὁ μὲν δὴ Γαδάτας ᾤχετο· ὁ δὲ Κῦρος συνεκάλεσε πάντας τοὺς ἄρχοντας τῶν συμμάχων· καὶ ἤδη πολλοί τε ἐδόκουν καὶ καλοὶ καὶ ἀγαθοὶ παρεῖναι· ἐν οἷς δὴ ὁ Κῦρος λέγει τοιάδε·

30. Ἄνδρες σύμμαχοι, Γαδάτας διέπραξεν, ἃ ἐδόκει πᾶσιν ἡμῖν πολλοῦ ἄξια εἶναι· καὶ ταῦτα, πρὶν καὶ ὁτιοῦν ἀγαθὸν ὑφ' ἡμῶν παθεῖν. Νῦν δὲ ὁ Ἀσσύριος εἰς τὴν χώραν αὐτοῦ ἐμβάλλειν ἀγγέλλεται, δηλονότι ἅμα μὲν τιμωρεῖσθαι αὐτὸν βουλόμενος, ὅτι δοκεῖ μέγα ὑπ' αὐτοῦ βεβλάφθαι· ἅμα δ' ἴσως καὶ ἐκεῖνο ἐννοεῖται, ὡς, εἰ οἱ μὲν πρὸς ἡμᾶς ἀφιστάμενοι μηδὲν ὑπ' ἐκείνου κακὸν πείσονται, οἱ δὲ σὺν ἐκείνῳ ὄντες ὑφ' ἡμῶν ἀπολοῦνται, ὅτι ὡς τάχιστα οὐδένα εἰκὸς σὺν αὐτῷ βούλεσθαι εἶναι. 31. Νῦν οὖν, ὦ ἄνδρες, καλόν τι ἂν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ· καὶ ἅμα δίκαια τοιοῖμεν ἄν, χάριν ἀποδιδόντες· ἀλλὰ μὴν καὶ σύμφορόν γ' ἂν, ὡς ἐγὼ δοκῶ, πράττοιμεν ἡμῖν αὐτοῖς. 32. Εἰ γὰρ πᾶσι φαινοίμεθα τοὺς μὲν κακῶς ποιοῦντας νικᾶν πειρώμενοι κακῶς ποιοῦντες, τοὺς δ' εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκὸς, ἐκ τῶν τοιούτων φίλους μὲν ἡμῖν πολ-

λοὺς βούλεσθαι γίγνεσθαι, ἐχθρὸν δὲ μηδένα ἐπιθυμεῖν εἶναι· 33. εἰ δὲ ἀμελήσαι δόξαιμεν Γαδάτα, πρὸς τῶν θεῶν, ποίοις λόγοις ἄλλους πείθοιμεν ἂν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ, εἰ ἡττώμεθα αὐτοῦ εὖ ποιοῦντος, τοσοίδε ὄντες, ἑνὸς ἀνδρὸς, καὶ τούτου οὕτω διακειμένου; 34. Ὁ μὲν οὖν οὕτως εἶπεν· οἱ δὲ πάντες συνεπῄνουν ἰσχυρῶς ταῦτα ποιεῖν.

Ἄγετε τοίνυν, ἔφη, ἐπείπερ καὶ ὑμῖν συνδοκεῖ ταῦτα, ἐπὶ μὲν τοῖς ὑποζυγίοις καὶ ὀχήμασι καταλείπωμεν ἕκαστοι τοὺς μετὰ τούτων ἐπιτηδειοτάτους πορεύεσθαι. 35. Γωβρύας δὲ ἡμῖν ἀρχέτω αὐτῶν, καὶ ἡγείσθω αὐτοῖς· καὶ γὰρ ὁδῶν ἔμπειρος, καὶ τἆλλα ἱκανός· ἡμεῖς δὲ, ἔφη, καὶ σὺν ἵπποις τοῖς δυνατωτάτοις καὶ ἀνδράσι πορευώμεθα, τὰ ἐπιτήδεια τριῶν ἡμερῶν λαβόντες· ὅσῳ δ' ἂν κουφότερον συσκευασώμεθα καὶ εὐτελέστερον, τοσούτῳ τὰς ἐπιούσας ἡμέρας ἥδιον ἀριστήσομέν τε καὶ δειπνήσομεν καὶ καθευδήσομεν. 36. Νῦν δ', ἔφη, πορευώμεθα ὧδε. Πρῶτον μὲν ἄγε σὺ, Χρυσάντα, τοὺς Θωρακοφόρους, (ἐπεὶ ὁμαλή τε καὶ πλατεῖα ἡ ὁδός ἐστι) τοὺς ταξιάρχους ἔχων ἐν μετώπῳ πάντας· ἡ δὲ τάξις ἑκάστη ἐφ' ἑνὸς ἴτω· ἀθρόοι γὰρ ὄντες, καὶ τάχιστα καὶ ἀσφαλέστατα ἂν πορευοίμεθα. 37. Τούτου δὲ ἕνεκα, ἔφη, τοὺς Θωρακοφόρους κελεύω ἡγεῖσθαι, ὅτι τοῦτο βαρύτατόν ἐστι τοῦ στρατεύματος. Τοῦ δὲ βαρυτάτου ἡγουμένου, ἀνάγκη ῥᾳδίως ἕπεσθαι πάντα

τὰ θᾶττον ἰόντα· ὅταν δὲ τὸ τάχιστον ἡγῆται ἐν νυκτὶ, οὐδέν ἐστι θαυμαστὸν καὶ διασπᾶσθαι τὰ στρατεύματα· τὸ γὰρ προταχθὲν ἀποδιδράσκει. 38. Ἐπὶ δὲ τούτοις, ἔφη, Ἀρτάβαζος τοὺς Περσῶν πελταστὰς καὶ τοξότας ἀγέτω· ἐπὶ δὲ τούτοις, Ἀνδραμίας ὁ Μῆδος τὸ Μήδων πεζικόν· ἐπὶ δὲ τούτοις, Ἔμβας τὸ Ἀρμενίων πεζικόν· ἐπὶ δὲ τούτοις, Ἀρτούχας Ὑρκανίους· ἐπὶ δὲ τούτοις, Θαμβράδας τὸ Σακῶν πεζικόν· ἐπὶ δὲ τούτοις, Δαμάτας Καδουσίους. 39. Ἀγόντων δὲ καὶ οὗτοι πάντες, ἐν μετώπῳ μὲν τοὺς ταξιάρχους ἔχοντες, δεξιοὺς δὲ τοὺς πελταστὰς, ἀριστεροὺς δὲ τοὺς τοξότας τοῦ ἑαυτῶν πλαισίου· οὕτω γὰρ πορευόμενοι καὶ εὐχρηστότεροι γίγνονται. 40. Ἐπὶ δὲ τούτοις, ἔφη, οἱ σκευοφόροι πάντων ἐπέσθων· οἱ δὲ ἄρχοντες αὐτῶν ἐπιμελείσθων, ὅπως ἂν συνεσκευασμένοι τε ὦσι πάντα, πρὶν καθεύδειν, καὶ πρωῒ σὺν τοῖς σκεύεσι παρῶσιν εἰς τὴν τεταγμένην χώραν, καὶ ὅπως κοσμίως ἕπωνται. 41. Ἐπὶ δὲ τοῖς σκευοφόροις, ἔφη, τοὺς Πέρσας ἱππέας Μαδάτας ὁ Πέρσης ἀγέτω, ἔχων καὶ οὗτος τοὺς ἑκατοντάρχους τῶν ἱππέων ἐν μετώπῳ· ὁ δ' ἑκατόνταρχος τὴν τάξιν ἀγέτω εἰς ἕνα, ὥσπερ οἱ πέζαρχοι. 42. Ἐπὶ δὲ τούτοις Ῥαμβάκας ὁ Μῆδος ὡσαύτως τοὺς ἑαυτοῦ ἱππέας· ἐπὶ δὲ τούτοις σὺ, ὦ Τιγράνη, τὸ σαυτοῦ ἱππικόν· καὶ οἱ ἄλλοι δ' ἵππαρχοι, μεθ' ὧν ἕκαστος ἀφίκετο πρὸς ἡμᾶς· ἐπὶ δὲ τούτοις Σάκαι ἄγετε· ἕξακοσι δ', ὥσπερ ἦλθον, Καδούσιοι ἀγόντων στράτευμα· σὺ δὲ, Ἀλκεύνα, ὁ ἄγων αὐτοὺς, ἐπι-

μελοῦ τὸ νῦν εἶναι πάντων ὄπισθεν, καὶ μηδένα ἔα ὕστερον τῶν σῶν ἱππέων γίγνεσθαι. 43. Ἐπιμελεῖσθε δὲ τοῦ σιωπῇ πορεύεσθαι οἵ τε ἄρχοντες καὶ πάντες οἱ σωφρονοῦντες· διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον, ἢ διὰ τῶν ὀφθαλμῶν, ἕκαστα καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι· καὶ τὸ ταραχθῆναι δ' ἐν τῇ νυκτὶ πολὺ μεῖζόν ἐστι πρᾶγμα, ἢ ἐν τῇ ἡμέρᾳ, καὶ δυσκαταστατώτερον· οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα, καὶ ἡ τάξις διαφυλακτέα. 44. Τὰς δὲ νυκτερινὰς, ἔφη, φυλακὰς, ὅταν μέλλητε νυκτὸς ἀναστήσεσθαι, ἀεὶ χρὴ ὡς βραχυτάτας καὶ ὡς πλείστας ποιεῖσθαι, ὡς μηδένα ἡ ἐν τῇ φυλακῇ ἀγρυπνία, πολλὴ οὖσα, λυμαίνηται ἐν τῇ πορείᾳ· ἡνίκα δ' ἂν ὥρα ᾖ πορεύεσθαι, σημανεῖ τῷ κήρατι. 45. Ὑμεῖς δὲ ἔχοντες, ἃ δεῖ ἕκαστον, πάρεστε εἰς τὴν ἐπὶ Βαβυλῶνος ὁδόν· ὁ δὲ ὁρμώμενος ἀεὶ τῷ κατ' οὐρὰν παρεγγυάτω ἕπεσθαι.

46. Ἐκ τούτου δὴ ᾤχοντο ἐπὶ τὰς σκηνὰς, καὶ ἅμα ἀπιόντες διελέγοντο πρὸς ἀλλήλους, ὡς μνημονικὸς ὁ Κῦρος, ὁπόσοις συνέταττε, πῶς ὀνομάζων ἐνετέλλετο. 47. Ὁ δὲ Κῦρος ἐπιμελείᾳ τοῦτο ἐποίει· πάνυ γὰρ αὐτῷ θαυμαστὸν ἐδόκει εἶναι, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτοῦ τέχνης ἕκαστος τῶν ἐργαλείων τὰ ὀνόματα, καὶ ὁ ἰατρὸς δὲ οἶδε καὶ τῶν ὀργάνων καὶ τῶν φαρμάκων, οἷς χρῆται, πάντων τὰ ὀνόματα· ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος ἔσοιτο, ὥστε οὐκ εἴσεται τῶν ὑφ' ἑαυτῷ ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη ἐστὶν αὐτῷ ὀργάνοις χρῆσθαι, καὶ ὅταν

προκαταλαβεῖν τι βούληται, καὶ ὅταν φυλάξαι, καὶ ὅταν θαρρῦναι, καὶ ὅταν φοβῆσαι. Καὶ ὅταν τιμῆσαι δέ ποτέ τινα βούλοιτο, πρέπον αὐτῷ ἐδόκει εἶναι ὀνομαστὶ προσαγορεύειν. 48. Ἐδόκουν δὲ αὐτῷ οἱ γιγνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος καὶ τοῦ καλόν τι ποιοῦντες ὁρᾶσθαι μᾶλλον ὀρέγεσθαι, καὶ τοῦ αἰσχρόν τι ποιεῖν μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. 49. Ἠλίθιον δὲ καὶ τοῦτο αὐτῷ ἐδόκει εἶναι, τὸ, ὁπότε βούλοιτό τι πραχθῆναι, οὕτω προστάττειν, ὥσπερ ἐν οἴκῳ ἔνιοι προστάττουσι δεσπόται, Ἴτω τις ἐφ' ὕδωρ, Ξύλα τις σχισάτω· 50. οὕτω γὰρ προσταττομένων, εἰς ἀλλήλους τε ὁρᾶν ἅπαντες ἐδόκουν αὐτῷ, καὶ οὐδεὶς περαίνειν τὸ προσταχθὲν· καὶ πάντες ἐν αἰτίᾳ εἶναι, καὶ οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι, οὔτε φοβεῖσθαι ὁμοίως, διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν· διὰ ταῦτα δὴ πάντας ὠνόμαζεν αὐτὸς, ὅτῳ τι προστάττοι.

51. Καὶ ὁ Κῦρος μὲν δὴ οὕτω περὶ τούτων ἐγίγνωσκεν. Οἱ δὲ στρατιῶται τότε μὲν δειπνήσαντες, καὶ φύλακας καταστησάμενοι, καὶ συσκευασάμενοι πάντα, ἃ ἔδει, ἐκοιμήθησαν. 52. Ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν, ἐσήμηνε τῷ κέρατι. Κῦρος δ', εἰπὼν τῷ Χρυσάντᾳ, ὅτι ἐπὶ τῇ ὁδῷ ἐπιμένοι δὴ ἐν τῷ πρόσθεν τοῦ στρατεύματος, ἐξῆει λαβὼν τοὺς ἀμφ' αὐτὸν ὑπηρέτας· βραχεῖ δὲ χρόνῳ ὕστερον παρῆν Χρυσάντας, ἄγων τοὺς θωρακοφόρους. 53. Τούτῳ μὲν οὖν ὁ Κῦρος δοὺς τοὺς ἡγεμόνας τῆς ὁδοῦ, πορεύεσθαι ἐκέλευεν ἡσύχως, ἕως ἄγγελος ἔλθοι, ὅτι πάντες ἐν ὁδῷ· αὐτὸς

δὲ ἑστηκὼς ἐν τῷ αὐτῷ τὸν μὲν προσιόντα προυπέμπετο ἐν τάξει, ἐπὶ δὲ τὸν ὑστερίζοντα ἔπεμπε καλῶν. 54. Ἐπεὶ δὲ πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν Χρυσάνταν ἱππέας ἔπεμψεν, ἐροῦντας, ὅτι ἐν ὁδῷ ἤδη πάντες· ἄγε δὴ οὖν θᾶσσον. 55. Αὐτὸς δὲ παρελαύνων τὸν ἵππον εἰς τὸ πρόσθεν ἥσυχος, κατεθεᾶτο τὰς τάξεις, καὶ οὓς μὲν ἴδοι εὐτάκτως καὶ σιωπῇ ἰόντας, προσελαύνων αὐτοῖς, τίνες τε εἶεν, ἤρετο, καὶ ἐπεὶ πύθοιτο, ἐπῄνει· εἰ δέ τινας θορυβουμένους αἴσθοιτο, τὸ αἴτιον τούτου σκοπῶν, κατασβεννύναι τὴν ταραχὴν ἐπειρᾶτο.

56. Ἓν μόνον παραλέλειπται τῆς ἐν νυκτὶ ἐπιμελείας αὐτοῦ, ὅτι πρὸ παντὸς τοῦ στρατεύματος πεζοὺς εὐζώνους οὐ πολλοὺς προὔπεμπεν, ἐφορωμένους ὑπὸ Χρυσάντα, καὶ ἐφορῶντας αὐτὸν, ὡς ὠτακουστοῦντες, καὶ εἴ πως ἄλλως δύναιντο αἰσθάνεσθαι, σημαίνοιεν τῷ Χρυσάντᾳ, ὅ τι καιρὸς δοκοίη εἶναι. Ἄρχων δὲ καὶ ἐπὶ τούτοις ἦν, ὃς καὶ τούτους ἐκόσμει, καὶ τὸ μὲν ἄξιον λόγου ἐσήμαινε, τὸ δὲ μὴ οὐκ ἠνώχλει λέγων. 57. Τὴν μὲν δὴ νύκτα οὕτως ἐπυρεύοντο· ἐπεὶ δὲ ἡμέρα ἐγένετο, τοὺς μὲν τῶν Καδουσίων ἱππέας, ὅτι αὐτῶν καὶ οἱ πεζοὶ ἔσχατοι ἐπορεύοντο, παρὰ τούτοις κατέλιπεν, ὡς μηδ' οὗτοι ψιλοὶ ἱππέων ἴοιεν· τοὺς δ' ἄλλους εἰς τὸ πρόσθεν παρελαύνειν ἐκέλευσεν, ὅτι καὶ οἱ πολέμιοι ἐν τῷ πρόσθεν ἦσαν· ὅπως, εἴ τί που ἐναντιοῖτο αὐτῷ, ἀπαντῴη ἔχων τὴν ἰσχὺν ἐν τάξει καὶ μάχοιτο· εἴ τέ τί που φεύγον ἀφθείη, ὅπως ἐξ ἑτοιμοτάτου διώκοιεν. 58. Ἦσαν

δὲ αὐτῷ ἀεὶ τεταγμένοι, οὔς τε διώκειν δέοι, καὶ οὓς παρ' αὐτῷ μένειν· πᾶσαν δὲ τὴν τάξιν λυθῆναι οὐδέποτε εἴα. 59. Κῦρος μὲν δὴ οὕτως ἦγε τὸ στράτευμα· οὐ μέντοι αὐτός γε μιᾷ χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἄλλαχῆ περιελαύνων ἐφεώρα τε καὶ ἐπεμελεῖτο, εἴ του δέοιντο. Οἱ μὲν δὴ ἀμφὶ Κῦρον οὕτως ἐπορεύοντο.

CAP IV.

1. Ἐκ δὲ τοῦ Γαδάτα ἱππικοῦ τῶν δυνατῶν τις ἀνδρῶν, ἐπεὶ ἑώρα αὐτὸν ἀφεστηκότα ἀπὸ τοῦ Ἀσσυρίου, ἐνόμισεν, ὅτι, εἴ τι οὗτος πάθοι, αὐτὸς ἂν λαβεῖν παρὰ τοῦ Ἀσσυρίου πάντα τὰ Γαδάτου· οὕτω δὴ πέμπει τινὰ τῶν ἑαυτοῦ πιστῶν πρὸς τὸν Ἀσσύριον, καὶ κελεύει τὸν ἰόντα, εἰ καταλάβοι ἤδη ἐν τῇ Γαδάτα χώρᾳ τὸ Ἀσσύριον στράτευμα, λέγειν τῷ Ἀσσυρίῳ, ὅτι, εἰ βούλοιτο ἐνεδρεῦσαι, λαβεῖν ἂν τὸν Γαδάταν καὶ τοὺς σὺν αὐτῷ. 2. Δηλοῦν δὲ ἐνετέλλετο, ὅσην τε εἶχε δύναμιν ὁ Γαδάτας, καὶ ὅτι Κῦρος οὐ συνείπετο αὐτῷ· καὶ τὴν ὁδὸν, ᾗ μέλλοι προσιέναι, ἐδήλωσε. Προσεπέστειλε δὲ καὶ τοῖς αὐτοῦ οἰκέταις, ὡς πιστεύοιτο μᾶλλον, καὶ τὸ τεῖχος, ὃ ἐτύγχανεν αὐτὸς ἔχων ἐν τῇ Γαδάτα χώρᾳ, παραδοῦναι τῷ Ἀσσυρίῳ, καὶ τἆλλα· ἤξειν δὲ καὶ αὐτὸς ἔφη, εἰ μὲν δύναιτο, ἀποκτείνας Γαδάταν, εἰ δὲ μή, ὡς σὺν τῷ Ἀσσυρίῳ τολοιπὸν ἐσόμενος. 3. Ἐπεὶ δὲ ὁ ἐπὶ ταῦτα ταχθεὶς, ἐλαύνων ὡς δυνατὸν ἦν τάχιστα, ἀφικνεῖται πρὸς τὸν Ἀσσύριον, καὶ ἐδήλωσεν, ἐφ' ἃ ἥκοι· ἀκούσας ἐκεῖνος τό τε χωρίον εὖ

θὺς καταλαμβάνει, καὶ, πολλὴν ἵππον ἔχων καὶ ἅρματα, ἐνήδρευεν ἐν κώμαις ἀθρόαις. 4. Ὁ δὲ Γαδάτας, ὡς ἐγγὺς ἦν τούτων τῶν κωμῶν, πέμπει τινὰς προερευνησομένους. Ὁ δὲ Ἀσσύριος, ὡς ἔγνω προσιόντας τοὺς διερευνητάς, φεύγειν κελεύει ἅρματα ἐξαναστάντα δύο ἢ τρία καὶ ἵππους ὀλίγους, ὡς δὴ φοβηθέντας καὶ ὀλίγους ὄντας. Οἱ δὲ προδιερευνηταὶ ὡς εἶδον ταῦτα, αὐτοί τε ἐδίωκον, καὶ τῷ Γαδάτᾳ κατέσειον. Καὶ ὃς ἐξαπατηθεὶς διώκει ἀνὰ κράτος. Οἱ δὲ Ἀσσύριοι, ὡς ἐδόκει ἁλώσιμος εἶναι ὁ Γαδάτας, εὐθέως ἀνίστανται ἐκ τῆς ἐνέδρας. 5. Καὶ οἱ μὲν ἀμφὶ Γαδάταν ἰδόντες, ὥσπερ εἰκός, ἔφευγον· οἱ δ' αὖ, ὥσπερ εἰκὸς, ἐδίωκον. Καὶ ἐν τούτῳ ὁ ἐπιβουλεύων τῷ Γαδάτᾳ παίει αὐτὸν, καὶ καιρίας μὲν πληγῆς ἁμαρτάνει, τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον, καὶ τιτρώσκει. Ποιήσας δὲ τοῦτο, ἐξίσταται, ὡς σὺν τοῖς διώκουσι γένοιτο· ἐπεὶ δὲ ἐγνώσθη, ὃς ἦν, ὑμοῦ δὴ σὺν τοῖς Ἀσσυρίοις προθύμως ἐκτείνων τὸν ἵππον σὺν τῷ βασιλεῖ ἐδίωκεν. 6. Ἐνταῦθα δὴ ἡλίσκοντο μὲν δηλονότι οἱ βραδυτάτους ἔχοντες τοὺς ἵππους ὑπὸ τῶν ταχίστων· ἤδη δὲ μάλα πάντες πιεζόμενοι, διὰ τὸ κατατετρύσθαι ὑπὸ τῆς πορείας, οἱ τοῦ Γαδάτα ἱππεῖς καθορῶσι τὸν Κῦρον προσιόντα σὺν τῷ στρατεύματι· δοκεῖν δὴ χρὴ ἀσμένως καὶ ἡδέως ὥσπερ εἰς λιμένα ἐκ χειμῶνος προσφέρεσθαι αὐτούς. 7. Ὁ δὲ Κῦρος τὸ μὲν πρῶτον ἐθαύμασεν· ὡς δ' ἔγνω τὸ πρᾶγμα, ἔξτε μὲν πάντες ἀντίοι ἤλαυνον, ἀντίος καὶ αὐτὸς ἦγεν ἐν τάξει τὴν στρατιάν

ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὂν, ἐτράποντο εἰς φυγήν, ἐνταῦθα δὴ ὁ Κῦρος ἐκέλευε διώκειν τοὺς πρὸς τοῦτο τεταγμένους, αὐτὸς δὲ σὺν τοῖς ἄλλοις εἵπετο, ὡς ᾤετο συμφέρειν. 8. Ἔνθα δὴ καὶ ἅρματα ἡλίσκετο, ἔνια μὲν καὶ ἐκπιπτόντων τῶν ἡνιόχων, τῶν μὲν ἐν τῇ ἀναστροφῇ, τῶν δὲ καὶ ἄλλως· ἔνια δὲ καὶ περιτεμνόμενα ὑπὸ τῶν ἱππέων ἡλίσκετο. Καὶ ἀποκτείνουσι δὲ ἄλλους τε πολλοὺς, καὶ τὸν παίσαντα τὸν Γαδάταν. 9. Τῶν μέντοι πεζῶν Ἀσσυρίων, οἳ ἔτυχον τὸ Γαδάτα χωρίον πολιορκοῦντες, οἱ μὲν εἰς τὸ τεῖχος κατέφυγον τὸ ἀπὸ Γαδάτα ἀπουτὰν, οἱ δὲ, φθάσαντες εἰς πόλιν τινὰ τοῦ Ἀσσυρίου μεγάλην· ἔνθα καὶ αὐτὸς σὺν τοῖς ἅρμασι καὶ τοῖς ἵπποις κατέφυγεν ὁ Ἀσσύριος.

10. Κῦρος μὲν δὴ, διαπραξάμενος ταῦτα, ἐπανεχώρει εἰς τὴν Γαδάτα χώραν· καὶ προσιὼν, οἷς ἔδει, ἀμφὶ τὰ αἰχμάλωτα ἔχειν, εὐθὺς ἐπορεύετο, ὡς ἐπισκέψοιτο τὸν Γαδάταν, πῶς ἔχοι ἐκ τοῦ τραύματος. Πορευομένῳ δ' αὐτῷ ἤδη ὁ Γαδάτας ἐπιδεδεμένος τὸ τραῦμα ἀπήντα. Ἰδὼν δὲ ὁ Κῦρος αὐτὸν ἥσθη τε καὶ εἶπεν. Ἐγὼ δὲ πρὸς σὲ, ἔφη, ἐπισκεψόμενος, πῶς ἔχοις, ἐπορευόμην. 11. Ἐγὼ δέ γ', ἔφη ὁ Γαδάτας, καὶ μὰ τοὺς θεοὺς, οὐ ἐπαναθεασόμενος ἦα, ὁποῖός τίς ποτε φαίνῃ ἰδεῖν ὁ τοιαύτην ψυχὴν ἔχων· ὅστις οὔτ' οἶδ' ἔγωγε, ὅ τι ἐμοῦ δεόμενος, οὔτε μὴν ὑποσχόμενός γε μοι ταῦτα πράξειν, οὔτε μὴν εὖ πεπονθὼς ὑπ' ἐμοῦ (εἰς γε τὸ ἴδιον) οὐδ' ὁτιοῦν, ἀλλ' ὅτι τοὺς φίλους ἔδοξά σοί τι ὀνῆσαι, οὕτως ἐμοὶ

προθύμως ἐβοήθησας; ὡς νῦν τὸ μὲν ἐπ' ἐμοὶ ὄκνομαι, τὸ δ' ἐπὶ σοὶ σέσωσμαι. 12. Οὐ μὰ τοὺς θεούς, ὦ Κῦρε, εἰ ἦν, οἵος ἔφυν ἐξ ἀρχῆς, καὶ ἐπαιδοποιησάμην, οὐκ οἶδα, εἰ ἐκτησάμην παῖδά ποτ' ἂν τοιοῦτον περὶ ἐμέ· ἐπεὶ ἄλλους τε οἶδα παῖδας, καὶ τοῦτον τὸν νῦν Ἀσσυρίων βασιλέα, πολὺ πλείω ἤδη τὸν αὐτοῦ πατέρα ἀνιάσαντα, ἢ σὲ νῦν δύναται ἀνιᾶν. 13. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπεν ὧδε· Ὦ Γαδάτα, ἦ πολὺ μεῖζον παρεὶς θαῦμα, ἐμὲ νῦν θαυμάζεις. Καὶ τι δὴ τοῦτ' ἐστίν; ἔφη ὁ Γαδάτας. Ὅτι τοσοῦτοι μέν, ἔφη, Περσῶν ἐσπούδασαν περί σε, τοσοῦτοι δὲ Μήδων, τοσοῦτοι δὲ Ὑρκανίων· πάντες δὲ οἱ παρόντες Ἀρμενίων καὶ Σακῶν καὶ Καδουσίων. 14. Καὶ ὁ Γαδάτας ἐπύξατο, Ἀλλ' ὦ Ζεῦ, ἔφη, καὶ τούτοις πολλὰ ἀγαθὰ δοῖεν οἱ θεοὶ, καὶ πλεῖστα τῷ αἰτίῳ τοῦ καὶ τούτους τοιούτους εἶναι. Οπως μέντοι, οὓς ἐπαινεῖς, τούτους, ὦ Κῦρε, καὶ ξενίσωμεν καλῶς, δέχου τάδε ξένια, οἷα ἐγὼ δύναμαι· ἅμα δὲ προσῆγε πάμπολλα, ὥστε καὶ θύειν τὸν βουλόμενον, καὶ ξενίζεσθαι πᾶν τὸ στράτευμα ἀξίως τῶν καλῶς πεποιημένων καὶ καλῶς συμβάντων.

15. Ὁ δὲ Καδούσιος ὠπισθοφυλάκει, καὶ οὐ μετέσχε τῆς διώξεως· βουλόμενος δὲ καὶ αὐτὸς λαμπρόν τι ποιῆσαι, οὔτε ἀνακοινωσάμενος οὔτε εἰπὼν οὐδὲν τῷ Κύρῳ, καταθεῖ τὴν πρὸς Βαβυλῶνα χώραν. Διεσπαρμένοις δὲ τοῖς ἵπποις αὐτοῦ ἀπιὼν ὁ Ἀσσύριος ἐκ τῆς ἑαυτοῦ πόλεως, οὗ δὴ κατέφυγε, συντυγχάνει μάλα δὴ συντεταγμένον ἔχων τὸ ἑαυτοῦ στράτευ-

μα. 16. Ὡς δ' ἔγνω μόνους ὄντας τοὺς Καδουσίους, ἐπιΐθεται, καὶ τόν τε ἄρχοντα τῶν Καδουσίων ἀποκτείνει, καὶ ἄλλους πολλούς· καὶ ἵππους δὲ πολλοὺς λαμβάνει τῶν Καδουσίων, καὶ ἦν ἄγοντες λείαν ἐύγχανον, ἀφαιρεῖται. Καὶ ὁ μὲν Ἀσσύριος διώξας, ἄχρις οὗ ἀσφαλὲς ᾤετο εἶναι, ἀπετράπετο· οἱ δὲ Καδούσιοι ἐσώζοντο πρὸς τὸ στρατόπεδον ἀμφὶ δείλην οἱ πρῶτοι. 17. Κῦρος δὲ ὡς ᾔσθετο τὸ γεγονὸς, ὑπήντα τε τοῖς Καδουσίοις, καὶ ὄντινα ἴδοι τετρωμένον, ἀναλαμβάνων τοῦτον μὲν ὡς Γαδάταν ἀπέπεμπεν, ὅπως θεραπεύσειαι· τοὺς δ' ἄλλους συγκατεσκήνου, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξουσι συνεπεμέλειτο, παραλαμβάνων Περσῶν τῶν ὁμοτίμων συνεπιμελητάς· ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ συνεπιπονεῖν ἐθέλουσι. 18. Καὶ ἀνώμοιος μέντοι αὐτὸς ἰσχυρῶς δῆλος ἦν· ὡς καὶ τῶν ἄλλων δειπνούντων ἡνίκα ἤδη ὥρα ἦν, Κῦρος ἔτι σὺν τοῖς ὑπηρέταις καὶ τοῖς ἰατροῖς οὐδένα ἐκὼν ἀτιμέλητον παρέλειπεν, ἀλλ' ἢ αὐτόπτης ἐφεώρα, ἢ, εἰ μὴ αὐτὸς ἐξανύτοι, πέμπων φανερὸς ἦν τοὺς θεραπεύσοντας.

19. Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν· ἅμα δὲ τῇ ἡμέρᾳ κηρύξας συνιέναι τῶν μὲν ἄλλων τοὺς ἄρχοντας, τοὺς δὲ Καδουσίους ἅπαντας, ἔλεξε τοιάδε·

Ἄνδρες σύμμαχοι, ἀνθρώπινον τὸ γεγενημένον πάθος. Τὸ γὰρ ἁμαρτάνειν ἀνθρώπους ὄντας, οὐδέν, οἶμαι, θαυμαστόν. Ἄξιοι μέντοι γε ἐσμὲν τοῦ γεγενημένου πράγματος τούτου ἀπολαῦσαί τι ἀγαθὸν, τὸ μαθεῖν μήποτε διασπᾶν ἀπὸ τοῦ ὅλου

δύναμιν ἀσθενεστέραν τῆς τῶν πολεμίων δυνάμεως. 20. Καὶ οὐχὶ τοῦτ', ἔφη, λέγω, ὡς οὐ δεῖ ποτε καὶ ἐλάσσονι ἔτι μορίῳ ἰέναι, ὅπου ἂν δέῃ, ἢ νῦν ὁ Καδούσιος ᾤχετο· ἀλλ' ἦν τις κοινωσάμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθῆσαι, ἔστι μὲν ἀπατηθῆναι, ἔστι δὲ τῷ ὑπομένοντι, ἐξαπατήσαντι τοὺς πολεμίους, ἄλλοσε τρέψαι ἀπὸ τῶν ἐξεληλυθότων· ἔστι δὲ, ἄλλα παρέχοντα πράγματα τοῖς πολεμίοις, τοῖς φίλοις ἀσφάλειαν παρέχειν· καὶ οὕτω μὲν οὐδ' ὁ χωρὶς ὢν ἀπέσται, ἀλλ' ἐξαρτήσεται τῆς ἰσχύος· ὁ δὲ ἀπεληλυθὼς μὴ ἀνακοινωσάμενος, ὅπου ἂν ᾖ, οὐδέν τι διάφορον πάσχει, ἢ εἰ μόνος ἐστρατεύετο. 21. Ἀλλ' ἀντὶ μὲν τούτου, ἔφη, ἢν Θεὸς θέλῃ, ἀμυνούμεθα τοὺς πολεμίους οὐκ εἰς μακράν. Ἀλλ' ἐπειδὰν τάχιστα ἀριστήσητε, ἄξω ὑμᾶς ἐγώ, ἔνθα τὸ πρᾶγμα ἐγένετο· καὶ ἅμα μὲν θάψομεν τοὺς τελευτήσαντας, ἅμα δὲ δείξομεν τοῖς πολεμίοις, ἔνθα κρατῆσαι νομίζουσιν, ἐνταῦθα ἄλλους αὐτῶν κρείττους, ἢν Θεὸς θέλῃ· καὶ ὅπως γε μηδὲ τὸ χωρίον ἡδέως ὁρῶσιν, ἔνθα κατέκαινον ἡμῶν τοὺς συμμάχους· ἢν δὲ μὴ ἀντεπεξίωσι, καύσομεν αὐτῶν τὰς κώμας, καὶ δηώσομεν τὴν χώραν· ἵνα μὴ, ἃ ἡμᾶς ἐποίησαν ὁρῶντες, εὐφραίνωνται, ἀλλὰ τὰ ἑαυτῶν κακὰ θεώμενοι ἀνιῶνται. 22. Οἱ μὲν οὖν ἄλλοι, ἔφη, ἀριστᾶτε ἰόντες· ὑμεῖς δὲ, ὦ Καδούσιοι, πρῶτον μὲν ἀπελθόντες ἄρχοντα ὑμῶν αὐτῶν ἕλεσθε, ᾧπερ ὑμῖν νόμος, ὅστις ὑμῶν ἐπιμελήσεται σὺν τοῖς θεοῖς καὶ σὺν ἡμῖν, ἤν τι προσδέησθε· ἐπειδὰν δὲ ἕλησθε καὶ

ἀριστήσητε, πέμψατε πρὸς ἐμὲ τὸν αἱρεθέντα. 23. Οἱ μὲν δὴ ταῦτα ἔπραξαν· ὁ δὲ Κῦρος, ἐπεὶ ἐξήγαγε τὸ στράτευμα, κατέστησεν εἰς τάξιν τὸν ἡρημένον ὑπὸ τῶν Καδουσίων, καὶ ἐκέλευσε πλησίον αὐτοῦ ἄγειν τὴν τάξιν, ὅπως, ἔφη, ἢν δυνώμεθα, ἀναθαῤῥύνωμεν τοὺς ἄνδρας. Οὕτω δὴ ἐπορεύοντο· καὶ ἐλθόντες ἔθαπτον μὲν τοὺς Καδουσίους, ἐδῄουν δὲ τὴν χώραν. Ποιήσαντες δὲ ταῦτα, ἀπῆλθον, τὰ ἐπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες, πάλιν εἰς τὴν Γαδάτα.

24. Ἐννοήσας δ', ὅτι οἱ πρὸς αὐτὸν ἀφεστηκότες, ὄντες πλησίον Βαβυλῶνος, κακῶς πείσονται, ἂν μὴ αὐτὸς ἀεὶ παρῇ, οὕτως, ὅσους τε τῶν πολεμίων ἀφῇ, καὶ τούτους ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ, καὶ αὐτὸς κήρυκα ἔπεμψε πρὸς αὐτὸν, λέγοντα ταῦτα, ὅτι ἕτοιμος εἴη τοὺς ἐργαζομένους τὴν γῆν ἐᾶν, καὶ μὴ ἀδικεῖν, εἰ καὶ ἐκεῖνος βούλοιτο ἐᾶν ἐργάζεσθαι τοὺς τῶν πρὸς αὐτὸν ἀφεστηκότων ἐργάτας. 25. Καίτοι, ἔφη, σὺ μέν, ἢν καὶ δύνῃ κωλύειν, ὀλίγους τινὰς κωλύεις· (ὀλίγη γάρ ἐστι γῆ ἡ τῶν πρὸς ἐμὲ ἀφεστηκότων) ἐγὼ δὲ πολλὴν ἄν σοι γῆν ἐῴην ἐνεργὸν εἶναι. Εἰς δὲ τὴν τοῦ καρποῦ κομιδήν, ἢν μὲν πόλεμος ᾖ, ὁ ἐπικρατῶν, οἶμαι, καρπώσεται· ἢν δὲ εἰρήνη γένηται, δῆλον, ἔφη, ὅτι σύ. Ἤν μέντοι τις ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηται σοὶ, ἢ τῶν σῶν ἐμοὶ, τούτους, ἔφη, ὡς ἂν δυνώμεθα, ἑκάτεροι ἀμυνούμεθα. 26. Ταῦτα ἐπιστείλας τῷ κήρυκι ἀπέπεμπτεν. Οἱ δὲ Ἀσσύριοι, ἐπεὶ ἤκουσαν ταῦτα, πάντα ἐποίουν πεί-

θοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα, καὶ ὀτισμικρότατον τοῦ πολέμου λιπεῖν. 27. Καὶ ὁ Ἀσσύριος μέντοι, εἴτε ὑπὸ τῶν ὁμοφύλων πεισθεὶς, εἴτε καὶ αὐτὸς οὕτω βουληθεὶς, συνήνεσε ταῦτα· καὶ ἐγένοντο συνθῆκαι, τοῖς μὲν ἐργαζομένοις εἰρήνην εἶναι, τοῖς δ' ὁπλοφόροις πόλεμον. 28. Ταῦτα μὲν δὴ περὶ τῶν ἐργατῶν διεπέπρακτο ὁ Κῦρος· τὰς μέντοι νομὰς τῶν κτηνῶν τοὺς μὲν ἑαυτοῦ φίλους ἐκέλευσε καταθέσθαι, εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν ἐπικρατείᾳ· τὴν δὲ τῶν πολεμίων λείαν ἦγον, ὁπόθεν δύναιντο, ὅπως εἴη ἡ στρατεία ἡδίων τοῖς συμμάχοις. Οἱ μὲν γὰρ κίνδυνοι οἱ αὐτοὶ, καὶ ἄνευ τοῦ λαμβάνειν τὰ ἐπιτήδεια· ἡ δὲ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν.

29. Ἐπεὶ δὲ παρεσκευάζετο ὁ Κῦρος ἤδη ὡς ἀπιών, παρῆν ὁ Γαδάτας, ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγε πολλοὺς ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων, οἷς ἠπιστήκει διὰ τὴν ἐπιβουλήν. 30. Ὡς δ' ἐπλησίασεν, ἔλεξεν ὧδε· Ὦ Κῦρε, νῦν μέν σοι ἐγὼ ταῦτα δίδωμι ἐν τῷ παρόντι, καὶ χρῶ αὐτοῖς, ἐὰν δέῃ τι· νόμιζε δ', ἔφη, καὶ τἆλλα πάντα τὰ ἐμὰ σὰ εἶναι. Οὔτε γάρ ἐστιν, οὔτ' ἔσται ποτὲ, ὅτῳ ἐγὼ ἀπ' ἐμοῦ φύντι καταλείψω τὸν ἐμὸν οἶκον· ἀλλ' ἀνάγκη, ἔφη, σὺν ἐμοὶ τελευτῶντι πᾶν ἀποσβῆναι τὸ ἡμέτερον γένος καὶ ὄνομα. 31. Καὶ ταῦτα, ἔφη, ὦ Κῦρε, (ὄμνυμί σοι τοὺς θεοὺς, οἳ καὶ ὁρῶσι πάντα καὶ ἀκούουσι πάντα) οὔτε ἄδικον, οὔτε αἰσχρὸν οὐ-

δὲν οὔτ' εἰπὼν οὔτε ποιήσας, ἔπαθον. Καὶ ἅμα ταῦτα λέγων κατεδάκρυσε τὴν αὐτοῦ τύχην, καὶ οὐκέτι ἠδυνήθη πλείω εἰπεῖν.

32. Καὶ ὁ Κῦρος ἀκούσας, τοῦ μὲν πάθους ᾤκτειρεν αὐτὸν, ἔλεξε δὲ ὧδε· Ἀλλὰ τοὺς μὲν ἵππους δέχομαι, ἔφη· σέ τε γὰρ ὠφελήσω, εὐνουστέροις δοὺς αὐτοὺς, ἢ οἷ νῦν σοι εἶχον, ὡς ἔοικεν· ἐγώ τε (οἶδα γὰρ πάλαι ἐπεθύμουν) τὸ τῶν Περσῶν ἱππικὸν θᾶττον ἐκπληρώσω εἰς τοὺς μυρίους ἱππέας· τὰ δὲ ἄλλα χρήματα σὺ ἀπαγαγὼν φύλαττε, ἔφη, ἕως ἂν ἐμὲ ἴδῃς ἔχοντα, ὥστε σοῦ μὴ ἠτιᾶσθαι ἀντιδωροῦμενον· εἰ δὲ πλείω μοι διδοὺς ἀπίοις, ἢ λαμβάνων παρ' ἐμοῦ, μὰ τοὺς Θεοὺς οὐκ οἶδ', ὅπως ἂν δυναίμην μὴ αἰσχύνεσθαι. 33. Πρὸς ταῦτα ὁ Γαδάτας εἶπεν, Ἀλλὰ ταῦτα μὲν, ἔφη, πιστεύω σοι· (ὁρῶ γάρ σου τὸν τρόπον) φυλάττειν μέντοι ὅρα εἰ ἐπιτήδειός εἰμι. 34. Ἕως μὲν γὰρ φίλοι ἦμεν τῷ Ἀσσυρίῳ, καλλίστη δὴ ἐδόκει εἶναι ἡ τοῦ ἐμοῦ πατρὸς κτῆσις· (τῆς γὰρ μεγίστης πόλεως Βαβυλῶνος ἐγγὺς οὖσα, ὅσα μὲν ὠφελεῖσθαί ἐστιν ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν· ὅσα δὲ ἐνοχλεῖσθαι, οἴκαδε δεῦρο ἀπιόντες τούτων ἐκποδὼν ἦμεν) νῦν δ' ἐπεὶ ἐχθροί ἐσμεν, δῆλον ὅτι, ἐπειδὰν σὺ ἀπέλθῃς, καὶ αὐτοὶ ἐπιβουλευσόμεθα, καὶ ὁ οἶκος ὅλος· καὶ, οἶμαι, λυπηρῶς βιωσόμεθα ὅλως, τοὺς ἐχθροὺς καὶ πλησίον ἔχοντες, καὶ κρείττους ἡμῶν αὐτῶν ὁρῶντες. 35. Τάχ' οὖν εἴποι τις ἄν· καὶ τί δὴ ταῦτα οὐκ ἐνενοοῦ, πρὶν ἀποστῆναι; Ὅτι, ὦ Κῦρε, ἡ ψυχή μου, διὰ τὸ ὑβρίσθαι

καὶ ὀργίζεσθαι, οὐ τὸ ἀσφαλέστατον σκοποῦσα διῆγεν, ἀλλ' ἀεὶ τοῦτο κύουσα, ἆρά ποτε ἔσται ἀποτίσασθαι τὸν καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν, οὐκ ἦν τίς τι αὐτὸν ἀδικήσῃ, ἀλλ' ἤν τινα ὑποπτεύσῃ βελτίονα ἑαυτοῦ εἶναι. 36. Τοιγαροῦν, οἶμαι, αὐτὸς πονηρὸς ὢν πᾶσι πονηροτέροις ἑαυτοῦ συμμάχοις χρήσεται. Ἴσθι δέ τις ἄρα καὶ βελτίων αὐτοῦ φανῇ, θαῤῥήσει, ἔφη, ὦ Κῦρε, οὐδέν σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι, ἀλλ' ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος, ἕως ἂν ἕλῃ τὸν ἑαυτοῦ βελτίονα. Τῷ μέντοι σὲ ἀνιᾷν καὶ σὺν τοῖς πονηροῖς ῥᾳδίως, οἶμαι, κρείττων ἔσται.

37. Ἀκούσαντι ταῦτα τῷ Κύρῳ ἔδοξεν ἄξια ἐπιμελείας λέγειν· καὶ εὐθὺς εἶπε, Τί οὖν, ἔφη, ὦ Γαδάτα, οὐχὶ τὰ μὲν τείχη φυλακῇ ἐχυρὰ ἐποίησας, ὅπως ἄν σοι εἴη ἀσφαλῶς χρῆσθαι, ὁπόταν εἰς αὐτὰ ἔῃς· αὐτὸς δὲ σὺν ἡμῖν στρατεύῃ, ἵνα, ἢν οἱ θεοί, ὥσπερ νῦν, σὺν ἡμῖν ὦσιν, οὗτός σε φοβῆται, ἀλλὰ μὴ σὺ τοῦτον; Ὅ τι δὲ ἡδύ σοι ὁρᾶν τῶν σῶν, ἢ ὅτῳ συνὼν χαίρεις, ἔχων σὺν ἐμοὶ πορεύου. Καὶ σύ τ' ἂν ἐμοί, ὥς γε ἐγὼ δοκῶ, πάνυ ἂν χρήσιμος εἴῃς, ἐγώ τε σοί, ὡς ἂν δύνωμαι, πειράσομαι. 38. Ἀκούσας ταῦτα ὁ Γαδάτας ἀνέπνευσέ τε καὶ εἶπεν, Ἆρ' οὖν, ἔφη, νῦν δυναίμην ἂν συσκευασάμενος φθάσαι, πρίν σε ἐξιέναι; βούλομαι γάρ τοι, ἔφη, καὶ τὴν μητέρα μετ' ἐμαυτοῦ ἀγαγεῖν. Ναὶ μὰ Δί', ἔφη, φθάσεις μέντοι· ἐγὼ γὰρ ἐπισχήσω, ἕστ' ἂν καλῶς σὺ φῇς ἔχειν. 39. Οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν, φύλαξι μὲν

τὰ τείχη σὺν Κύρῳ ὠχυρώσατο, συνεσκευάσατο δὲ πάντα, ὁπόσοις ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. Ἦγετο δὲ καὶ τῶν ἑαυτοῦ, τῶν τε πιστῶν, οἷς ἥδετο, καὶ ὧν ἠπίστει πολλοὺς, ἀναγκάσας τοὺς μὲν αὐτῶν καὶ γυναῖκας ἄγειν, τοὺς δὲ καὶ ἀδελφὰς, ὡς δεδεμένους τούτοις κατέχοι αὐτούς. 40. Καὶ τὸν μὲν Γαδάταν ὁ Κῦρος ἐν τοῖς περὶ αὐτὸν ἦγεν ἔχων καὶ ὁδῶν φραστῆρα καὶ ὑδάτων καὶ χιλοῦ καὶ σίτου, ὡς ἀεὶ ἐν τοῖς ἀφθονωτάτοις στρατοπεδεύοιτο.

41. Ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλωνίων πόλιν, καὶ ἔδοξεν αὐτῷ ἡ ὁδὸς, ἣν ἦει, παρ' αὐτὸ τὸ τεῖχος φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν, ἠρώτα, εἰ ἄλλη ὁδὸς εἴη, ὥστε μὴ πάνυ πλησίον ἄγειν τοῦ τείχους. 42. Καὶ ὁ Γωβρύας εἶπεν· Εἰσὶ μέν, ὦ δέσποτα, καὶ πολλαὶ ὁδοί· ἀλλ' ἔγωγ', ἔφη, ᾠόμην, καὶ βούλεσθαί ἄν σε νῦν ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως, ἵνα καὶ ἐπιδείξῃς αὐτοῖς τὸ στράτευμα, ὅτε σοι ἤδη πολύ τέ ἐστι καὶ καλόν· ἐπειδὴ καὶ, ὅτε ἔλαττον εἶχες, προσῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος, καὶ ἐθεῶντο ἡμᾶς οὐ πολλοὺς ὄντας· νῦν δὲ, καὶ εἰ παρεσκευασμένος τί ἐστιν, ὥσπερ πρός σε εἶπεν, ὅτι παρασκευάζοιτο ὡς μαχούμενός σοι, οἶδα, ὅτι ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν πάλιν ἀπαρασκεύαστα τὰ αὐτοῦ φανεῖται.

43. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε· Δοκεῖς μοι, ὦ Γωβρύα, θαυμάζειν, ὅτι, ἐν ᾧ μὲν χρόνῳ πολὺ μείονα ἔχων στρατιὰν ἦλθον, πρὸς αὐτὸ τὸ τεῖχος προσήγαγον· νῦν δὲ, πλείω δύναμιν ἔχων, οὐκ ἐθέ-

λω ὑπ' αὐτὰ τὰ τείχη ἄγειν. 44. Ἀλλὰ μὴ θαυμάζε, ἔφη· οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν καὶ παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαντες, οὕτω ταξάμενοι, ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι· ἀπάγουσι μέντοι οἱ σώφρονες, ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. 45. Παρέναι δὲ ἀνάγκη ἐστὶν ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπὶ πολύ· ταῦτα δὲ πάντα δεῖ προκεκαλύφθαι τοῖς ὁπλοφόροις, καὶ μηδαμῆ τοῖς πολεμίοις γυμνὰ ὅπλων τὰ σκευοφόρα φαίνεσθαι. 46. Ἀνάγκη οὖν, οὕτω πορευομένων, ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μάχιμον τετάχθαι. Εἰ οὖν βούλοιντο ἀθρόοι ἐκ τοῦ τείχους προσπεσεῖν, ὅπη ἂν προσμίξειαν, πολὺ ἐρρωμενέστερον συμμιγνύοιεν τῶν παριόντων. 47. Καὶ τοῖς μὲν ἐπὶ μακρὸν πορευομένοις μακραὶ καὶ αἱ ἐπιβοήθειαι, τοῖς δ' ἐκ τοῦ τείχους βραχὺ πρὸς τοὺς ἐγγὺς καὶ προσδραμεῖν καὶ πάλιν ἀπελθεῖν. 48. Ἢν δὲ μὴ μεῖον ἀπέχοντες παρίωμεν, ἢ ἐφ' ὅσον καὶ νῦν ἐκτεταμένοι πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν, ὑπὸ δὲ τῶν παρυφασμένων ὅπλων πᾶς ὄχλος δεινὸς φανεῖται. 49. Ἢν δ' ἄρα καὶ οὕτως ἰόντων ἐπεξίωσί πη, ἐκ πολλοῦ προορῶντες αὐτοὺς οὐκ ἂν ἀπαράσκευοι λαμβανοίμεθα. Μᾶλλον δ', ἔφη, ὦ ἄνδρες, οὐδ' ἐπιχειρήσουσιν, ὁπόταν πρόσω δέῃ ἀπὸ τοῦ τείχους ἀπιέναι, ἢν μὴ τῷ ὅλῳ ὑπολάβωσι τοῦ παντὸς κρείττους εἶναι· φοβερὸν γὰρ ἡ ἀποχώρησις. 50. Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέγειν, καὶ ὁ Γωβρύας, ὥσπερ ἐκέλευσεν, ἡγεῖτο.

Παραμειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος, ἀεὶ τὸ ὑπολειπόμενον ἰσχυρότερον ποιούμενος ἀπεχώρει.

51. Ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέραις ἀφικνεῖται πρὸς τὰ μεθόρια τῶν Σύρων καὶ Μήδων, ὅθενπερ ὥρμᾶτο, ἐνταῦθα δὴ τρία ὄντα τῶν Σύρων φρούρια, ἓν μὲν αὐτῶν, τὸ ἀσθενέστατον, προσβαλὼν βίᾳ ἔλαβε, τὼ δὲ δύο φρουρίω φοβῶν μὲν ὁ Κῦρος, πείθων δὲ ὁ Γαδάτας, παρεσκεύασαν παραδοῦναι τοὺς φυλάττοντας.

CAP. V.

1. Ἐπεὶ δὲ ταῦτα διεπέπρακτο, πέμπει πρὸς Κυαξάρην, καὶ ἐπέστελλεν αὐτῷ ἥκειν ἐπὶ τὸ στρατόπεδον, ὅπως περί τε τῶν φρουρίων, ὧν εἰλήφεσαν, βουλεύσαιντο, ὅ τι χρήσαιντο, καὶ ὅπως, θεασάμενος τὸ στράτευμα, καὶ περὶ τῶν ἄλλων σύμβουλος γίγνοιτο, ὅ τι ἂν δοκοίη ἐκ τούτου πράττειν· ἢν δὲ κελεύῃ, εἰπὲ, ἔφη, ὅτι ἐγὼ ἂν ὡς ἐκεῖνον ἴοιμι στρατοπεδευσόμενος. 2. Ὁ μὲν δὴ ἄγγελος ᾤχετο ταῦτ' ἀπαγγέλλων.

Ὁ δὲ Κῦρος ἐν τούτῳ ἐκέλευσε τὴν τοῦ Ἀσσυρίου σκηνὴν, ἣν Κυαξάρει οἱ Μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς κάλλιστα τῇ τε ἄλλῃ κατασκευῇ, ἣν εἶχον, καὶ τῷ γυναῖκε εἰσαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς, καὶ σὺν αὐταῖς τὰς μουσουργούς, αἵπερ ἐξῃρημέναι ἦσαν Κυαξάρει. Οἱ μὲν δὴ ταῦτ' ἔπραττον. 3. Ὁ δὲ πεμφθεὶς πρὸς τὸν Κυαξάρην, ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκούσας ὁ Κυαξάρης αὐτοῦ,

ἔγνω βέλτιον εἶναι, τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις. Καὶ γὰρ οἱ Πέρσαι, οὓς μετεπέμψατο ὁ Κῦρος, ἦκον· ἦσαν δὲ μυριάδες τέτταρες τοξοτῶν καὶ πελταστῶν. 4. Ὁρῶν οὖν καὶ τούτους πολλὰ σινομένους τὴν Μηδικήν, τούτων αὖ ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον, ἢ ἄλλον ὄχλον εἰσδέξασθαι. Ὁ μὲν δὴ ἐκ Περσῶν ἄγων τὸν στρατὸν, ἑρόμενος τὸν Κυαξάρην, κατὰ τὴν Κύρου ἐπιστολὴν, εἴ τι δέοιτο τοῦ στρατεύματος, ἐπεὶ οὐκ ἔφη δεῖσθαι, αὐθημερὸν, ἐπεὶ ἤκουσε παρόντα Κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα.

5. Ὁ δὲ Κυαξάρης ἐπορεύετο τῇ ὑστεραίᾳ σὺν τοῖς παραμείνασι Μήδων ἱππεῦσιν· ὡς δ' ἤσθετο ὁ Κῦρος προϊόντα αὐτὸν, λαβὼν τούς τε τῶν Περσῶν ἱππέας, πολλοὺς ἤδη ὄντας, καὶ τοὺς Μήδους πάντας καὶ τοὺς Ἀρμενίους καὶ τοὺς Ἑρκανίους, καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐϊππροτάτους τε καὶ εὐοπλοτάτους, ἀπήντα· καὶ ἐπιδείκνυσι τῷ Κυαξάρει τὴν δύναμιν. 6. Ὁ δὲ Κυαξάρης, ἐπεὶ εἶδε σὺν μὲν τῷ Κύρῳ πολλούς τε καὶ καλοὺς κἀγαθοὺς ἑπομένους, σὺν ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι αὐτῷ ἔδοξεν εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβεν. Ἐπεὶ δὲ καταβὰς ὁ Κῦρος ἀπὸ τοῦ ἵππου προσῆλθεν ὡς φιλήσων αὐτὸν κατὰ νόμον, ὁ Κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵππου, ἀπεστράφη δέ· καὶ ἐφίλησε μὲν οὔ, δακρύων δὲ φανερὸς ἦν. 7. Ἐκ τούτου δὴ ὁ Κῦρος τοὺς μὲν ἄλλους ἅπαντας ἀποστάντας ἐκέλευσεν ἀναπαύσασθαι· αὐτὸς δὲ λαβόμενος τῆς

δεξιᾶς τοῦ Κυαξάρους, καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω ὑπὸ φοινικάς τινας, τῶν τε Μηδικῶν πίλων ὑποβαλεῖν ἐκέλευσεν αὐτῷ, καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος ἤρετο ὧδε·

8. Εἰπέ μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι ὀργίζῃ, καὶ τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις; Ἐνταῦθα δὴ ὁ Κυαξάρης ἀπεκρίνατο τοιάδε· Ὅτι, ἔφη, ὦ Κῦρε, δοκῶν γε δὴ, ἐφ' ὅσον ἀνθρώπων μνήμη ἐφικνεῖται, καὶ τῶν πάλαι προγόνων καὶ πατρὸς βασιλέως πεφυκέναι, καὶ αὐτὸς βασιλεὺς νομιζόμενος εἶναι, ἐμαυτὸν μὲν ὁρῶ οὕτω ταπεινῶς καὶ ἀναξίως ἑλαύνοντα, σὲ δὲ τῇ ἐμῇ θεραπείᾳ καὶ τῇ ἄλλῃ δυνάμει μέγαν τε καὶ μεγαλοπρεπῆ παρόντα. 9. Καὶ ταῦτα χαλεπὸν μὲν οἶμαι καὶ ὑπὸ πολεμίων παθεῖν, πολὺ δέ, ὦ Ζεῦ, χαλεπώτερον, ὑφ' ὧν ἥκιστα ἐχρῆν ταῦτα πεπονθέναι. Ἐγὼ μὲν γὰρ δοκῶ δεκάκις ἂν κατὰ τῆς γῆς ἥδιον δῦναι, ἢ ὀφθῆναι οὕτω ταπεινὸς, καὶ ἰδεῖν τοὺς ἐμοὺς ἐμοῦ ἀμελήσαντας καὶ ἐπεγγελῶντας ἐμοί. Οὐ γὰρ ἀγνοῶ τοῦτ', ἔφη, ὅτι οὐ σὺ μου μόνον μείζων εἶ, ἀλλὰ καὶ οἱ ἐμοὶ δοῦλοι ἰσχυρότεροι ἐμοῦ ὑπαντιάζουσί μοι, καὶ κατεσκευασμένοι εἰσὶν, ὥστε δύνασθαι ποιῆσαι μᾶλλον ἐμὲ κακῶς, ἢ παθεῖν ὑπ' ἐμοῦ. 10. Καὶ ἅμα ταῦτα λέγων πολὺ ἔτι μᾶλλον ἐκρατεῖτο ὑπὸ τῶν δακρύων· ὥστε καὶ τὸν Κῦρον ἐπεσπάσατο ἐμπλησθῆναι δακρύων τὰ ὄμματα. Ἐπισχὼν δὲ μικρὸν ἔλεξε τοιάδε ὁ Κῦρος·

— Ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ Κυαξάρη, οὔτε λέγεις

ἀληθῆ, οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μήδους κατεσκευάσθαι σοι ἱκανοὺς εἶναι κακῶς ποιεῖν. 11. Τὸ μέντοι σε θυμοῦσθαι καὶ φοβεῖσθαι οὐ θαυμάζω· εἰ μέντοι γε δικαίως ἢ ἀδίκως αὐτοῖς χαλεπαίνεις, παρήσω τοῦτο· (οἶδα γὰρ, ὅτι βαρέως ἂν φέροις ἀκούων ἐμοῦ ἀπολογουμένου ὑπὲρ αὐτῶν) τὸ μέντοι ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις, τοῦτο ἔμοιγε δοκεῖ μέγα ἁμάρτημα εἶναι. Ἀνάγκη γὰρ, διὰ τὸ πολλοὺς μὲν φοβεῖν, πολλοὺς ἐχθροὺς ποιεῖσθαι· διὰ δὲ τὸ πᾶσι ἅμα χαλεπαίνειν, πᾶσιν αὐτοῖς ὁμόνοιαν ἐμβάλλειν. 12. Ὧν ἕνεκα, εὖ ἴσθι, ἐγὼ οὐχὶ ἀπέπεμπον ἄνευ ἐμαυτοῦ τούτους, φοβούμενος, μή τι γένοιτο διὰ τὴν σὴν ὀργὴν, ὅ τι πάντας ἡμᾶς λυπήσοι. Ταῦτα μὲν οὖν σὺν τοῖς θεοῖς ἐμοῦ παρόντος ἀσφαλῶς ἔξει σοι· τὸ μέντοι σε νομίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτ' ἐγὼ χαλεπῶς πάνυ φέρω, εἰ, ἀσκῶν, ὅσον δύναμαι, τοὺς φίλους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν, ἔπειτα τἀναντία τούτου δοκῶ ἐξεργάζεσθαι. 13. Ἀλλὰ γὰρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα· ἀλλ', εἰ δυνατόν, σαφέστατα κατίδωμεν, ὁποῖόν ἐστι τὸ παρ' ἐμοῦ ἀδίκημα. Καὶ τὴν ἐν φίλοις δικαιοτάτην ὑπόθεσιν ἐγὼ ὑποτίθεμαι· ἦν γάρ τί σε ἐγὼ φανῶ κακὸν πεποιηκὼς, ὁμολογῶ ἀδικεῖν· ἢν μέντοι μηδὲν φαίνωμαι κακὸν πεποιηκὼς, μηδὲ βουληθεὶς, οὐ καὶ σὺ αὖ ὁμολογήσεις, μηδὲν ὑπ' ἐμοῦ ἀδικεῖσθαι; Ἀλλ' ἀνάγκη, ἔφη. 14. Ἢν δὲ δὴ καὶ ἀγαθά σοι πεπραχὼς δῆλος ὦ, καὶ προθυμούμενος πρᾶξαι,

ὡς ἐγὼ πλεῖστα ἠδυνάμην, οὐκ ἄν καὶ ἐπαίνου σοι ἄξιος εἶην μᾶλλον ἢ μέμψεως; Δίκαιον γοῦν, ἔφη. 15. Ἄγε τοίνυν, ἔφη ὁ Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ πεπραγμένα πάντα καθ' ἓν ἕκαστον· οὕτω γὰρ δὴ μάλιστα δῆλον ἔσται, ὅ τι τε αὐτῶν ἀγαθόν ἐστι, καὶ ὅ τι κακόν. 16. Ἀρξώμεθα δὲ, ἔφη, ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ καὶ σοὶ δοκεῖ ἀρκούντως ἔχειν. Σὺ γάρ δήπου, ἐπεὶ ᾔσθου πολλοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους ἐπὶ σὲ καὶ τὴν σὴν χώραν ὁρμωμένους, εὐθὺς ἔπεμπες πρός τε τὸ Περσῶν κοινὸν, συμμάχους αἰτούμενος, καὶ πρὸς ἐμὲ ἰδίᾳ, δεόμενος πειρᾶσθαι αὐτόν με ἐλθεῖν ἡγούμενον, εἴ τινες Περσῶν ἴοιεν. Οὔκουν ἐγὼ ἐπείσθην τε ταῦτα ὑπὸ σοῦ, καὶ παρεγενόμην, ἄνδρας ἄγων σοι ὡς ἐδυνάμην πλείστους τε καὶ ἀρίστους; 17. Ἦλθες γὰρ οὖν, ἔφη. Ἐν τούτῳ τοίνυν, ἔφη, πρῶτόν μοι εἰπὲ, πότερον ἀδικίαν τινά μου πρός σε κατέγνως, ἢ μᾶλλον εὐεργεσίαν; Δῆλον, ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν. 18. Τί γάρ; ἔφη, ἐπεὶ οἱ πολέμιοι ἦλθον, καὶ διαγωνίζεσθαι ἔδει πρὸς αὐτοὺς, ἐν τούτῳ κατενόησάς που με ἢ πόνου ἀποστάντα, ἢ τινος κινδύνου φεισάμενον; Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. 19. Τί γάρ; ἐπεὶ, νίκης γενομένης σὺν τοῖς θεοῖς ἡμετέρας, καὶ ἀναχωρησάντων τῶν πολεμίων, παρεκάλουν ἐγώ σε, ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ δὲ τιμωροίμεθα, κοινῇ δὲ, εἴ τι καλὸν κἀγαθὸν συμβαίνοι, τοῦτο καρποίμεθα· ἐν τούτοις ἔχεις τινά μου πλεονεξίαν κατηγορῆσαι; 20. Ὁ μὲν δὴ Κυα-

ξάρης πρὸς ταῦτα ἐσίγα· ὁ δὲ Κῦρος πάλιν ἔλεγεν ὧδε· Ἀλλ' εἰ πρὸς τοῦτο σιωπᾷν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε γε, ἔφη, εἰπὲ, εἴ τι ἀδικεῖσθαι ἐνόμισας, ὅτι, ἐπεί σοι οὐκ ἀσφαλὲς ἐδόκει εἶναι τὸ διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τούτου τοῦ κινδύνου, ἱππέας δὲ τῶν σῶν συμπέμψαι μοι ἐδέμην σοῦ; εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ παρὰ σοῦ, ἔφη, ἐπιδεικνύσθω. 21. Ἐπεὶ δ' αὖ καὶ πρὸς ταῦτα ἐσίγα ὁ Κυαξάρης, Ἀλλ' εἰ μηδὲ τοῦτ', ἔφη, βούλει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε, εἴ τι αὖ ἠδίκουν, ὅτι, σοῦ ἀποκριναμένου ἐμοὶ, ὡς οὐκ ἂν βούλοιο, εὐθυμουμένους ὁρῶν Μήδους, τούτου παύσας αὐτοὺς ἀναγκάζειν κινδυνεύσοντας ἰέναι, εἴ τι αὖ σοι δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι, ὅτι ἀμελήσας τοῦ ὀργίζεσθαί σοι, ἐπὶ τούτοις πάλιν ἤτουν σε, οὔ ῥᾴδειν οὔτε σοὶ μεῖον ὂν δοῦναί μοι οὐδέν, οὔτε ῥᾷον Μήδοις ἐπιταχθῆναι οὐδέν· τὸν γὰρ βουλόμενον δῆπου ἕπεσθαι ἥτησά σε δοῦναί μοι. 22. Οὐκοῦν τούτου τυχὼν παρὰ σοῦ, οὐδὲν ἧττον, εἰ μὴ τούτους πείσαιμι. Ἐλθὼν οὖν ἔπειθον αὐτούς, καὶ, οὓς ἔπεισα, τούτους λαβὼν ἐπορευόμην, σοῦ ἐπιτρέψαντος. Εἰ δὲ τοῦτό γε αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅ τι ἂν διδῷς, ὡς ἔοικε, δέχεσθαι παρὰ σοῦ ἀναίτιόν ἐστιν. 23. Οὐκοῦν ἐξωρμήσαμεν οὕτως. Ἐπεὶ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγμένον οὐ φανερόν ἐστιν; οὐ τὸ στρατόπεδον ἡλώκει τῶν πολεμίων; οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπὶ σε ἐλθόντων; Ἀλλὰ μὴν τῶν

γε ζώντων ἐχθρῶν πολλοὶ μὲν ὅπλων ἐστέρηνται, πολλοὶ δὲ ἵππων· χρήματά γε μὴν τὰ τῶν φερόντων καὶ ἀγόντων τὰ σὰ πρότερον νῦν ὁρᾷς τοὺς σοὺς φίλους καὶ ἔχοντας καὶ ἄγοντας, τὰ μὲν σοὶ, τὰ δ' αὐτοῖς ὑπὸ τὴν σὴν ἀρχήν. 24. Τὸ δὲ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην· καὶ τὰ μὲν τῶν πολεμίων φρούρια ἔχόμενα, τὰ δὲ σὰ, τὰ πρότερον εἰς τὴν Σῦριν ἐπικράτειαν συγκατασπασθέντα, νῦν τἀναντία σοι προσκεχωρηκότα· τούτων δὲ εἴ τι κακόν σοι, ἢ εἴ τι μὴ ἀγαθόν σοι, μαθεῖν μὲν ἔγωγε βούλεσθαι οὐκ οἶδ' ὅπως ἂν εἴποιμι· ἀκοῦσαι μέντοι γε οὐδὲν κωλύει. Ἀλλὰ λέγε, ὅ τι γιγνώσκεις περὶ αὐτῶν. 25. Ὁ μὲν δὴ Κῦρος οὕτως εἰπὼν ἐπαύσατο· ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα τάδε·

Ἀλλ', ὦ Κῦρε, ὡς μὲν ταῦτα, ἃ σὺ πεποίηκας, κακά ἐστιν, οὐκ οἶδα, ὅπως χρὴ λέγειν· εὖ γε μέντοι, ἔφη, ἴσθι, ὅτι ταῦτα τὰ ἀγαθὰ τοιαῦτά ἐστιν, οἷα, ὅσῳ πλείω φαίνεται, τοσούτῳ μᾶλλον ἐμὲ βαρύνει. 26. Τήν τε γὰρ χώραν, ἔφη, ἐγὼ ἂν τὴν σὴν ἐβουλόμην τῇ ἐμῇ δυνάμει μείζω ποιεῖν μᾶλλον, ἢ τὴν ἐμὴν ὑπὸ σοῦ ὁρᾶν οὕτως αὐξανομένην· σοὶ μὲν γὰρ ταῦτα ποιοῦντι καλὰ, ἐμοὶ δέ γέ ἐστί πη ταῦτα ἀτιμίαν φέροντα. 27. Καὶ χρήματά γε, ἔφη, οὕτως ἂν μοι δοκῶ ἥδιον σοὶ δωρεῖσθαι, ἢ παρὰ σοῦ οὕτω λαμβάνειν, ὡς σὺ νῦν ἐμοὶ δίδως· τούτοις γὰρ πλουτιζόμενος ὑπὸ σοῦ καὶ μάλα αἰσθάνομαι, οἷς πενέστερος γίγνομαι. Καὶ τοὺς γε ἐμοὺς ὑπηκόους ἰδὼν

μικρά γε ἀδικουμένους ὑπὸ σοῦ, ἧττον ἂν δοκῶ λυπεῖσθαι, ἢ νῦν ὁρῶν, ὅτι μεγάλα ἀγαθὰ πεπόνθασιν ὑπὸ σοῦ. 28. Εἰ δέ σοι ταῦτα, ἔφη, δοκῶ ἀγνωμόνως ἐνθυμεῖσθαι, μὴ ἐν ἐμοὶ αὐτά, ἀλλ' εἰς οἱ τρέψας πάντα, καταθέασαι, οἷά σοι φαίνεται. Τί γὰρ ἄν, ἔφη, εἴ τις κύνας, ἃς σὺ τρέφεις φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν σῶν, τούτας θεραπεύων ἑαυτῷ γνωριμωτέρας ἢ σοὶ ποιήσειεν, ἆρ' ἂν εὐφράναι σε τοὐτῳ τῷ θεραπεύματι; 29. Εἰ δὲ τοῦτό σοι δοκεῖ μικρὸν εἶναι, κἀκεῖνο κατανόησον· εἴ τις τοὺς σὲ θεραπεύοντας, οὓς σὺ καὶ φρουρᾶς καὶ θεραπείας ἕνεκα κέκτησαι, τούτους οὕτω διαθείη, ὥστ' ἐκείνου μᾶλλον ἢ σοῦ βούλεσθαι εἶναι, ἆρ' ἂν ἀντὶ ταύτης τῆς εὐεργεσίας χάριν αὐτῷ εἰδείης; 30. Τί δέ; ὃ μάλιστα ἄνθρωποι ἀσπάζονταί τε καὶ θεραπεύουσιν οἰκειότατα, εἴ τις τὴν γυναῖκα τὴν σὴν οὕτω θεραπεύσειεν, ὥστε φιλεῖν αὐτὴν μᾶλλον ποιήσειεν ἑαυτὸν ἢ σέ, ἆρ' ἂν σε τῇ εὐεργεσίᾳ ταύτῃ εὐφράναι; Πολλοῦ γ' ἄν, ἔφη, οἶμαι, καὶ δέοι· ἀλλ' εὖ οἶδ', ὅτι πάντων ἂν μάλιστα ἀδικοίη σε τοῦτο ποιήσας. 31. Ἵνα δὲ εἴπω καὶ τὸ μάλιστα τῷ ἐμῷ πάθει ἐμφερές, εἴ τις οὓς ἤγαγες σὺ Πέρσας οὕτω θεραπεύσειεν, ὥστ' αὐτῷ ἥδιον ἕπεσθαι ἢ σοί, ἆρ' ἂν φίλον αὐτὸν νομίζοις; Οἶμαι μέν, οὔ, ἀλλὰ πολεμιώτερον ἂν ἢ εἰ πολλοὺς αὐτῶν κατακάνοι. 32. Τί δέ; εἴ τις τῶν σῶν φίλων, φιλοφρόνως σου εἰπόντος λαμβάνειν ὁπόσα ἐθέλοι, εἶτ' αὐτὸς τοῦτο ἀκούσας οἴχοιτο λαβὼν ἅπαντα, ὁπόσα δύναιτο, καὶ αὐτὸς μὲν τοῖς

σοῖς γε πλουτοίη, σὺ δὲ μηδὲ μετρίοις ἔχοις χρῆσθαι· ἆρ' ἂν δύναιο τὸν τοιοῦτον ἄμεμπτον φίλον νομίζειν; 33. Νῦν μέντοι ἐγὼ, Κῦρε, εἰ μὴ ταῦτα, ἀλλὰ τοιαῦτα ὑπὸ σοῦ δοκῶ πεπονθέναι. Σὺ γὰρ ἀληθῆ λέγεις· εἰπόντος ἐμοῦ τοὺς ἐθέλοντας ἄγειν, λαβὼν ἔχου πᾶσάν μου τὴν δύναμιν, ἐμὲ δὲ ἔρημον κατέλιπες· καὶ νῦν, ἃ ἔλαβες τῇ ἐμῇ δυνάμει, ἄγεις δή μοι, καὶ τὴν ἐμὴν χώραν αὔξεις σὺν τῇ ἐμῇ δυνάμει· ἐγὼ δὲ δοκῶ, οὐδὲν συναίτιος ὢν τῶν ἀγαθῶν, παρέχειν ἐμαυτὸν, ὥσπερ γυνὴ, εὖ ποιεῖν καὶ τοῖς τε ἄλλοις ἀνθρώποις καὶ τοῖσδε τοῖς ἐμοῖς ὑπηκόοις· σὺ μὲν γὰρ ἀνὴρ φαίνῃ, ἐγὼ δὲ οὐκ ἄξιος ἀρχῆς. 34. Ταῦτα οὖν σοι δοκεῖ εὐεργετήματα εἶναι, ὦ Κῦρε; Εὖ ἴσθ', ὅτι, εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν ἐφυλάττου, ὡς ἀξιώματος καὶ τιμῆς. Τί γὰρ ἐμοὶ πλέον, τὸ τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι; οὐ γάρ τοι ἐγὼ Μήδων ἦρχον διὰ τὸ κρείττων πάντων αὐτῶν εἶναι, ἀλλὰ μᾶλλον διὰ τὸ αὐτοὺς τούτους ἀξιοῦν ἡμᾶς αὐτῶν πάντα βελτίονας εἶναι.

35. Καὶ ὁ Κῦρος, ἔτι λέγοντος αὐτοῦ, ὑπολαβὼν εἶπε· Πρὸς τῶν Θεῶν, ἔφη, ὦ θεῖε, εἴ τι κἀγώ σοι πρότερον ἐχαρισάμην, καὶ σὺ νῦν ἐμοὶ χάρισαι, ὧν ἄν σοῦ δεηθῶ· παῦσαι, ἔφη, τὸ νῦν εἶναι, μεμφόμενός μοι· ἐπειδὰν δὲ πεῖραν ἡμῶν λάβῃς, ὅπως ἔχομεν πρὸς σὲ, ἢν μέν σοι φαίνηται τὰ ὑπ' ἐμοῦ πεπραγμένα ἐπὶ τῷ ἀγαθῷ τῷ σῷ πεποιημένα, ἀσπαζομένου τε ἐμοῦ σε ἀντασπάζου με, εὐεργέτην τε νό-

μιζε εἶναι· ἦν δ' ἐπὶ θάτερα, τότε μοι μέμφου. 36. Ἀλλ' ἴσως τοι, ἔφη ὁ Κυαξάρης, καλῶς λέγεις· κἀγὼ ποιήσω ταῦτα. Τί οὖν; ἔφη ὁ Κῦρος, ἢ καὶ φιλήσω σε; Εἰ σὺ βούλει, ἔφη. Καὶ οὐκ ἀποστρέψει με, ὥσπερ ἄρτι; Οὐκ ἀποστρέφομαι, ἔφη. Καὶ ἧς ἐφίλησεν αὐτόν.

37. Ὡς δὲ εἶδον οἱ Μῆδοι καὶ οἱ Πέρσαι καὶ οἱ ἄλλοι, (πᾶσι γὰρ ἔμελεν, ὅ τι ἐκ τούτων ἔσοιτο) εὐθὺς ἥσθησαν τε καὶ ἐφαιδρύνθησαν. Καὶ ὁ Κυαξάρης δὲ καὶ ὁ Κῦρος ἀναβάντες ἐπὶ τοὺς ἵππους ἠγοῦντο, καὶ ἐπὶ μὲν τῷ Κυαξάρει οἱ Μῆδοι εἵποντο, (Κῦρος γὰρ αὐτοῖς οὕτως ἐπένευσεν) ἐπὶ δὲ τῷ Κύρῳ οἱ Πέρσαι, ἐπὶ δὲ τούτοις οἱ ἄλλοι.

38. Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, καὶ κατέστησαν τὸν Κυαξάρην εἰς τὴν κατασκευασμένην σκηνήν, οἷς μὲν ἐπετέτακτο, παρεσκεύαζον τὰ ἐπιτήδεια τῷ Κυαξάρει· 39. οἱ δὲ Μῆδοι, ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν ὁ Κυαξάρης, ἦσαν πρὸς αὐτὸν, οἱ μὲν καὶ αὐτοὶ καθ' ἑαυτούς, οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι, δῶρα ἄγοντες, ὁ μέν τις οἰνοχόον καλὸν, ὁ δὲ ὀψοποιὸν ἀγαθὸν, ὁ δὲ ἀρτοποιὸν, ὁ δὲ μουσουργὸν, ὁ δὲ ἐκπώματα, ὁ δὲ ἐσθῆτα καλήν· πᾶς δέ τις ὡς ἐπὶ τὸ πολὺ ἕν γέ τι, ὧν εἰλήφει, ἐδωρεῖτο αὐτῷ· 40. ὥστε τὸν Κυαξάρην μεταγιγνώσκειν, ὡς οὔτε ὁ Κῦρος ἀφίστη αὐτοὺς ἀπ' αὐτοῦ, οὔτε οἱ Μῆδοι ἧττόν τι αὐτῷ προσεῖχον τὸν νοῦν, ἢ καὶ πρόσθεν.

41. Ἐπεὶ δὲ δείπνου ὥρα ἦν, καλέσας ὁ Κυαξάρης

ξεῖον τὸν Κῦρον, διὰ χρόνου ἰδόντα αὐτὸν, συνδειπνεῖν. Ὁ δὲ Κῦρος εἶπε· Μὴ δὴ σὺ κέλευε, ὦ Κυαξάρη. Ἢ οὐχ ὁρᾷς, ὅτι οὗτοι οἱ παρόντες ὑφ' ἡμῶν πάντες ἐπῃρμένοι πάρεισιν; Οὔκουν καλῶς ἂν πράττοιμι, εἰ τούτων ἀμελῶν τὴν ἐμὴν ἡδονὴν θεραπεύειν δοκοίην. Ἀμελεῖσθαι δὲ δοκοῦντες οἱ στρατιῶται, οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι. 42. Ἀλλὰ σὺ μὲν, ἔφη, ἄλλως τε καὶ ὁδὸν μακρὰν ἥκων, δεῖπνει ἤδη· καὶ εἴ τινές σε καὶ θαῤῥήσωσιν· ἐγὼ δὲ ἀπιὼν, ἐφ' ἅπερ λέγω, τρέφομαι. 43. Ἄνριον δ', ἔφη, πρωῒ δεῦρο ἔτι τὰς σὰς θύρας παρέσονται πάντες οἱ ἐπικαίριοι, ὅπως βουλευσώμεθα σὺν σοὶ, τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε. Σὺ δὲ ἡμῖν ἔμβαλε παρὼν περὶ τούτου, πότερον ἔτι δοκεῖ στρατεύεσθαι, ἢ καιρὸς ἤδη διαλύειν τὴν στρατιάν. 44. Ἐκ τούτου ὁ μὲν Κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν· ὁ δὲ Κῦρος, συλλέξας τῶν φίλων τοὺς ἱκανωτάτους καὶ φρονεῖν καὶ συμπράττειν, εἴ τι δέοι, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, ἃ μὲν δὴ πρῶτα εὐξάμεθα, πάρεστι σὺν Θεοῖς. Ὅποι γὰρ ἂν πορευώμεθα, κρατοῦμεν τῆς χώρας· καὶ μὲν δὴ καὶ τοὺς πολεμίους ὁρῶμεν μειουμένους, ἡμᾶς δὲ αὐτοὺς πλείονάς τε καὶ ἰσχυροτέρους γιγνομένους. 45. Εἰ δὲ ἡμῖν ἔτι θελήσειαν οἱ νῦν προσεγεγενημένοι σύμμαχοι παραμεῖναι, πολλῷ ἂν μᾶλλον ἀύσαι δυναίμεθα, καὶ εἴ τι βιάσασθαι καιρὸς, καὶ εἴ τι πεῖσαι δέοι. Ὅπως οὖν τὸ μένειν

ὡς πλείστοις συνδοκῇ τῶν συμμάχων, οὐδὲν τοῦτο μᾶλλον ἔργον ἐμόν, ἢ καὶ ὑμέτερον, μηχανᾶσθαι. 46. Ἀλλ' ὥσπερ καὶ, ὅταν μάχεσθαι δέῃ, ὁ πλείστους χειρωσάμενος ἀλκιμώτατος δοξάζεται εἶναι, οὕτω καὶ, ὅταν που δέῃ βουλῆς, ὁ πλείστους ὁμογνώμονας ἡμῖν ποιήσας, οὗτος δικαίως ἂν λεκτικώτατός τε καὶ πρακτικώτατος κρίνοιτο ἂν εἶναι. 47. Μὴ μέντοι ὡς λόγον ἡμῖν ἐπιδειξόμενοι, οἷον ἂν εἴποιτε πρὸς ἕκαστον αὐτῶν, τοῦτο μελετᾶτε, ἀλλ' ὡς τοὺς πεπεισμένους ὑφ' ἑκάστου δήλους ἐσομένους, οἷς ἂν πράττωσιν, οὕτω παρασκευάζεσθε. 48. Καὶ ὑμεῖς μὲν, ἔφη, τούτων ἐπιμελεῖσθε· ἐγὼ δὲ, ὅπως ἂν ἔχοντες τὰ ἐπιτήδεια, ὅσον ἂν ἔγωγε δύνωμαι, οἱ στρατιῶται περὶ τοῦ στρατεύεσθαι βουλεύωνται, τούτου πειράσομαι ἐπιμελεῖσθαι.

НБ ОНУ імені І. Мечникова

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΣΤ.

CAPVT I.

1. ΤΑΥΤΗΝ μὲν δὴ τὴν ἡμέραν οὕτω διαγαγόντες καὶ δειπνήσαντες ἀνεπαύοντο· τῇ δ' ὑστεραίᾳ πρωὶ ἦκον ἐπὶ τὰς Κυαξάρους Θύρας πάντες οἱ σύμμαχοι. Ἐν ᾧ οὖν ὁ Κυαξάρης ἐκοσμεῖτο, ἀκούων, ὅτι πολὺς ὄχλος ἐπὶ ταῖς Θύραις εἴη, ἐν τούτῳ οἱ φίλοι τῷ Κύρῳ προσῆγον οἱ μὲν Καδουσίους, αὐτοῦ μένειν δεομένους, οἱ δὲ Ἑρκανίους, ὁ δέ τις Σάκας, ὁ δέ τις καὶ Γωβρύαν· Ὑστάσπης δὲ Γαδάταν τὸν εὐνοῦχον προσῆγε, δεόμενον τοῦ Κύρου μένειν. 2. Ἔνθα δὴ ὁ Κῦρος, γιγνώσκων, ὅτι ὁ Γαδάτας πάλαι ἀπολώλει τῷ φόβῳ, μὴ λυθείη ἡ στρατιὰ, ἐπιγελάσας εἶπεν, Ὦ Γαδάτα, δῆλος, ἔφη, εἶ ὑπὸ τοῦ Ὑστάσπου τοῦδε πεπεισμένος ταῦτα γιγνώσκειν, ἃ λέγεις. 3. Καὶ ὁ Γαδάτας, ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἀπώμοσεν, ἢ μὴν μὴ ὑπὸ τοῦ Ὑστάσπου πεισθεὶς ταῦτα γιγνώσκειν. Ἀλλ' οἶδα, ἔφη, ὅτι, ἢν ὑμεῖς ἀπέλθητε, ἔρρει τὰ ἐμὰ παντελῶς· διὰ ταῦτ', ἔφη, καὶ τούτῳ ἐγὼ αὐτὸς προσῆλθον, ἐρωτῶν, εἰ εἰδείη, τίνα γνώμην ἔχοις περὶ τῆς διαλύσεως τοῦ

δὲ ἐν τῷ μέρει πάλιν ἐκείνῳ δώσω δίκην, ὅτι ὑμῖν φίλος ἐγενόμην.

12. Ἐπὶ τούτοις πᾶσι Κῦρος εἶπεν· Ὦ ἄνδρες, οὐδ' ἐμὲ λανθάνει, ὅτι, ἐὰν διαλύωμεν τὸ στράτευμα, τὰ μὲν ἡμέτερα ἀσθενέστερα γίγνεται, τὰ δὲ τῶν πολεμίων πάλιν αὐξήσεται. Ὅσοι τε γὰρ αὐτῶν ὅπλα ἀφῄρηνται, ταχὺ ἄλλα ποιήσονται· ὅσοι τε ἵππους ἀπεστέρηνται, ταχὺ πάλιν ἄλλους κτήσονται· ἀντὶ δὲ τῶν ἀποθανόντων ἕτεροι ἐφηβήσουσι καὶ ἐπιγενήσονται· ὥστε οὐδὲν θαυμαστόν, εἰ ἐν τάχει πάλιν ἡμῖν πράγματα παρέχειν δυνήσονται. 13. Τί δῆτα ἐγὼ Κυαξάρει λόγον ἐκέλευσα ἐμβαλεῖν περὶ καταλύσεως τῆς στρατιᾶς; Εὖ ἴστε, ἔφη, ὅτι φοβούμενος τὸ μέλλον. Ὁρῶ γὰρ ἡμῖν ἀντιπάλους προιόντας, οἷς ἡμεῖς, εἰ ὧδε στρατευσόμεθα, οὐ δυνησόμεθα μάχεσθαι. 14. Προέρχεται μὲν γὰρ δήπου χειμών, στέγαι δ' εἰ καὶ ἡμῖν αὐτοῖς εἰσιν, ἀλλὰ μὰ Δία οὐχ ἵπποις, οὐδὲ θεράπουσιν, οὐδὲ τῷ δήμῳ τῶν στρατιωτῶν· ὧν ἄνευ ἡμεῖς οὐκ ἂν δυναίμεθα στρατεύεσθαι· τὰ δ' ἐπιτήδεια, ὅπου μὲν ἡμεῖς ἐληλύθαμεν, ὑφ' ἡμῶν ἀνάλωται· ὅποι δὲ οὐκ ἀφίγμεθα, διὰ τὸ ἡμᾶς φοβεῖσθαι, ἀνακεκομισμένοι εἰσὶν εἰς ἐρύματα· ὥστε αὐτοὺς μὲν ἔχειν, ἡμᾶς δὲ ταῦτα μὴ δύνασθαι λαμβάνειν. Τίς οὖν οὕτως ἀγαθός, ἢ τίς οὕτως ἰσχυρός, ὃς λιμῷ καὶ ῥίγει δύναιτ' ἂν μαχόμενος στρατεύεσθαι; 15. Εἰ μὲν οὖν οὕτω στρατευσόμεθα, ἐγὼ μέν φημι χρῆναι ἑκόντας ἡμᾶς καταλῦσαι

τὴν στρατιὰν μᾶλλον, ἢ ἄκοντας ὑπ' ἀμηχανίας ἐξελαθῆναι. Εἰ δὲ βουλόμεθα ἔτι στρατεύεσθαι, τόδ' ἐγὼ φημι χρῆναι ποιεῖν, πειρᾶσθαι ὡς τάχιστα τῶν μὲν ἐκείνων ὀχυρῶν ἡμᾶς ὡς πλεῖστα παραιρεῖν, ἡμῖν δ' αὐτοῖς ὡς πλεῖστα ὀχυρὰ ποιεῖσθαι· ἐὰν γὰρ ταῦτα γένηται, τὰ μὲν ἐπιτήδεια πλείω ἕξουσιν, ὁπότεροι ἂν πλείω δύνωνται λαβόντες ἀποτίθεσθαι, πολιορκήσονται δὲ, ὁπότεροι ἂν ἧττους ὦσι. 16. Νῦν δ' οὐδὲν διαφέρομεν τῶν ἐν τῷ πελάγει πλεόντων· καὶ γὰρ ἐκεῖνοι πλέουσι μὲν ἀεὶ, τὸ δὲ πεπλευσμένον οὐδὲν οἰκειότερον τοῦ ἀπλεύστου καταλείπουσιν. Ἢν δὲ φρούρια ἡμῖν γένηται, ταῦτα δὴ τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν, ἡμῖν δὲ ὑπεύθια μᾶλλον ἔσται πάντα. 17. Ὅ δὲ ἴσως ἂν τινες ἡμῶν φοβηθεῖεν, εἰ δεήσει πόρρω τῆς ἑαυτῶν φρουρεῖν, μηδὲ τοῦτο ὀκνήσητε. Ἡμεῖς μὲν γὰρ, ἐπείπερ καὶ ὡς οἰκοθεν ἀποδημοῦμεν, φρουρήσειν ὑμῖν ἀναδεχόμεθα τὰ ἐγγύτατα χωρία τῶν πολεμίων· ὑμεῖς δὲ τὰ πρόσορα ὑμῖν αὐτοῖς τῆς ἀσυρίας, ἐκεῖνα κτᾶσθε καὶ ἐργάζεσθε. 18. Ἢν γὰρ ἡμεῖς τὰ πλησίον αὐτῶν δυνώμεθα φρουροῦντες σώζεσθαι, ἐν πολλῇ ὑμεῖς εἰρήνῃ οἱ τὰ πρόσω αὐτῶν ἔχοντες βιοτεύσετε· οὐ γὰρ, οἶμαι, δυνήσονται τῶν ἐγγὺς αὐτοῖς κακῶν ἀμελοῦντες τοῖς πρόσω ὑμῖν ἐπιβουλεύειν.

19. Ὡς δὲ ταῦτα ἐῤῥήθη, οἵ τε ἄλλοι πάντες ἀνιστάμενοι συμπροθυμήσεσθαι ταῦτ' ἔφασαν, καὶ Κυαξάρης. Γαδάτας δὲ καὶ Γωβρύας καὶ τεῖχος αὐτῶν ἑκάτερος, ἢν ἐπιτρέψωσιν οἱ σύμμαχοι, τειχιεῖσθαι

ἔφασαν, ὥστε καὶ ταῦτα φίλια τοῖς συμμάχοις ὑπάρχειν. 20. Ὁ οὖν Κῦρος, ἐπεὶ πάντας ἑώρα προθύμους ὄντας πράσσειν, ὅσα ἔλεξε, τέλος εἶπε· Εἰ τοίνυν περαίνειν βουλόμεθα, ὅσα φαμὲν χρῆναι ποιεῖν, ὡς τάχιστα ἂν δέοι γενέσθαι μηχανὰς μὲν εἰς τὸ καθαιρεῖν τὰ τῶν πολεμίων τείχη, τέκτονας δὲ εἰς τὸ ἡμῖν ὀχυρὰ πυργοῦσθαι. 21. Ἐκ τούτου ὑπέσχετο ὁ μὲν Κυαξάρης μηχανὴν αὐτὸς ποιησάμενος παρέξειν, ἄλλην δὲ Γαδάτας τε καὶ Γωβρύας, ἄλλην δὲ Τιγράνης· αὐτὸς δὲ ὁ Κῦρος ἔφη δύο πειρᾶσθαι ποιήσασθαι. 22. Ἐπεὶ δὲ ταῦτ' ἔδοξεν, ἐπορίζοντο μὲν μηχανοποιούς, παρεσκευάζοντο δ' ἕκαστοι εἰς τὰς μηχανάς, ὧν ἔδει· ἄνδρας δ' ἐπέστησαν, οἳ ἐδόκουν ἐπιτηδειότατοι εἶναι ἀμφὶ ταῦτ' ἔχειν.

23. Κῦρος δ', ἐπεὶ ἔγνω, ὅτι διατριβὴ ἔσται ἀμφὶ ταῦτα, ἐκάθισε μὲν τὸ στράτευμα, ἔνθα ᾤετο ὑγιεινότατον εἶναι καὶ εὐπροσοδώτατον, ὅσα ἔδει προσκομίζεσθαι· ἐρυμνὸν δ', εἴ πη ἐρυμνότητος προσεδεῖτο, ἐποιήσατο, ὡς ἐν ἀσφαλεῖ οἱ ἀεὶ μένοντες εἶεν, εἴποτε καὶ πρόσω τῇ ἰσχύϊ ἀποστρατοπεδεύσαιντο. 24. Πρὸς δὲ τούτοις ἐρωτῶν, οὗς ᾤετο μάλιστα εἰδέναι τὴν χώραν, ὁπόθεν ἂν ὡς πλεῖστα ὠφελοῖτο τὸ στράτευμα, ἐξῆγεν ἀεὶ εἰς προνομάς, ἅμα μὲν ὅπως ὅτι πλεῖστα λαμβάνοι τῇ στρατιᾷ τὰ ἐπιτήδεια, ἅμα δ' ὅπως μᾶλλον ὑγιαίνοιεν καὶ ἰσχύοιεν διαπονούμενοι ταῖς πορείαις, ἅμα δ' ὅπως ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο. 25. Ὁ μὲν δὴ Κῦρος ἐν τούτοις ἦν.

Ἐκ δὲ Βαβυλῶνος οἱ αὐτόμολοι καὶ οἱ ἁλισκόμενοι ταῦτ' ἔλεγον, ὅτι ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίας, πολλὰ τάλαντα ἀργυρίου καὶ χρυσίου ἄγων, καὶ ἄλλα κτήματα καὶ κόσμον παντοδαπόν. 26. Ὁ μὲν οὖν ὄχλος τῶν στρατιωτῶν ὑπελάμβανεν, ὡς ὑπεκτίθοιτο ἤδη τὰ χρήματα φοβούμενος· ὁ δὲ Κῦρος, γιγνώσκων, ὅτι οἴχοιτο συστήσων, εἴ τι δύναιτο, ἀντίπαλον ἑαυτῷ, ἀντιπαρεσκευάζετο ἐῤῥωμένως, ὡς μάχης ἔτι δεῆσον· καὶ ἐξεπίμπλη μὲν τὸ τῶν Περσῶν ἱππικόν, τοὺς μὲν ἐκ τῶν αἰχμαλώτων, τοὺς δέ τινας καὶ παρὰ τῶν φίλων λαμβάνων ἵππους· ταῦτα γὰρ παρὰ πάντων ἐδέχετο, καὶ ἀπεωθεῖτο οὐδὲν, οὔτε εἴ τις ὅπλον ἐδίδου καλὸν, οὔτε ἵππον. 27. Κατεσκευάζετο δὲ καὶ ἅρματα ἔκ τε τῶν αἰχμαλώτων ἁρμάτων, καὶ ἄλλοθεν, ὁπόθεν ἐδύνατο. Καὶ τὴν μὲν Τρωϊκὴν διφρείαν πρόσθεν οὖσαν, καὶ τὴν Κυρηναίων ἔτι καὶ νῦν οὖσαν ἁρματηλασίαν κατέλυσε· τὸν γὰρ πρόσθεν χρόνον καὶ οἱ ἐν τῇ Μηδίᾳ καὶ Συρίᾳ καὶ Ἀραβίᾳ καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς ἅρμασιν οὕτως ἐχρῶντο, ὥσπερ νῦν οἱ Κυρηναῖοι. 28. Ἔδοξε δ' αὐτῷ, ὃ κράτιστον εἰκὸς ἦν εἶναι τῆς δυνάμεως, ὄντων τῶν βελτίστων ἐπὶ τοῖς ἅρμασι, τοῦτο ἐν ἀκροβολιστῶν μέρει εἶναι, καὶ εἰς τὸ κρατεῖν οὐδὲν μέγα μέρος συμβάλλεσθαι. Ἅρματα γὰρ τριακόσια τοὺς μὲν μαχομένους παρέχεται τριακοσίους, ἵπποις δ' οὗτοι χρῶνται διακοσίοις καὶ χιλίοις· ἡνίοχοι δ' αὐτοῖς εἰσι μὲν, ὡς εἰκὸς, οἷς μάλιστα πιστεύουσιν οἱ βέλτιστοι, εἰς τριακοσίους· οὗτοι δέ εἰσιν, οἳ οὐδ'

ὁτιοῦν τοὺς πολεμίους βλάπτουσι. 29. Ταύτην μὲν οὖν τὴν διφρείαν κατέλυσεν· ἀντὶ δὲ τούτου πολεμικὰ κατεσκεύασεν ἅρματα τροχοῖς τε ἰσχυροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται, ἄξοσί τε μακροῖς· ἧττον γὰρ ἀνατρέπεται πάντα τὰ πλατέα· τὸν δὲ δίφρον τοῖς ἡνιόχοις ἐποίησεν, ὥσπερ πύργον, ἰσχυρῶν ξύλων· ὕψος δὲ τούτων ἐστὶ μέχρι τῶν ἀγκώνων, ὡς δύνωνται ἡνιοχεῖσθαι οἱ ἵπποι ὑπὲρ τῶν δίφρων· τοὺς δ' ἡνιόχους ἐθωράκισε πάντα, πλὴν τῶν ὀφθαλμῶν. 30. Προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχεα πρὸς τοὺς ἄξονας, ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν, καὶ ἄλλα κάτω ὑπὸ τῷ ἄξονι εἰς γῆν βλέποντα, ὡς ἐμβαλοῦντων εἰς τοὺς ἐναντίους τοῖς ἅρμασιν. Ὡς δὲ τότε Κῦρος ταῦτα κατεσκεύασεν, οὕτως ἔτι καὶ νῦν τοῖς ἅρμασι χρῶνται οἱ ἐν τῇ βασιλέως χώρᾳ. Ἦσαν δὲ αὐτῷ καὶ κάμηλοι πολλαὶ παρά τε τῶν φίλων συνειλεγμέναι καὶ αἰχμάλωτοι πᾶσαι συνηθροισμέναι. 31. Καὶ ταῦτα μὲν οὕτω συνεπεραίνετο.

Βουλόμενος δέ τινα κατάσκοπον πέμψαι ἐπὶ Λυδίας, καὶ μαθεῖν, ὅ τι πράττει ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι ὁ Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων τὴν γυναῖκα τὴν καλήν. Συνεβεβήκει γὰρ τῷ Ἀράσπᾳ τοιάδε· ληφθεὶς ἔρωτι τῆς γυναικός, ἠναγκάσθη προσενεγκεῖν λόγους αὐτῇ περὶ συνηθείας. 32. Ἡ δὲ ἀπέφησε μέν, καὶ ἦν πιστὴ τῷ ἀνδρὶ, καίπερ ἀπόντι· (ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς) οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς τὸν Κῦρον, ὀκνοῦσα συμβαλεῖν φίλους ἄνδρας. 33. Ἐπεὶ δὲ ὁ Ἀράσπας,

δοκῶν ὑπηρετήσειν τῷ τυχεῖν, ἃ ἐβούλετο, ἠπείλησε τῇ γυναικὶ, ὅτι, εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοι ταῦτα· ἐκ τούτου ἡ γυνὴ, ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν εὐνοῦχον πρὸς τὸν Κῦρον, καὶ κελεύει λέξαι ἅπαντα. 34. Ὁ δ' ὡς ἤκουσεν, ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ, εἰ δύναιτο, οὐκ ἔφη κωλύειν. 35. Ἐλθὼν δὲ ὁ Ἀρτάβαζος πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτὸν, παρακαταθήκην τε ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδικίαν τε καὶ ἀκράτειαν· ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ, μή τι καὶ πάθῃ ὑπὸ Κύρου.

36. Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα, ἐκάλεσέ τε αὐτὸν, καὶ μόνος μόνῳ ἔλεξεν· Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φοβούμενόν τε ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. Παῦσαι οὖν τούτων· ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἥσσησθαι, ἀνθρώπους τε οἶδα, καὶ μάλα δοκοῦντας φρονίμους εἶναι, οἷα πεπόνθασιν ὑπ' ἔρωτος· καὶ αὐτὸς δ' ἐμαυτοῦ κατέγνων, μὴ ἂν καρτερῆσαι, ὥστε συνὼν καλοῖς ἀμελῆσαι αὐτῶν. Καί σοι δὲ τούτου τοῦ πράγματος ἐγὼ αἴτιός εἰμι· ἐγὼ γάρ σε συγκαθεῖρξα τούτῳ τῷ ἀμάχῳ πράγματι. 37. Καὶ ὁ Ἀράσπας ὑπολαβὼν εἶπεν· Ἀλλὰ σὺ μέν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος εἶ, οἷός περ καὶ τἆλλα,

πρᾷός τε καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτημάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι τῷ ἄχει. Ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς συμφορᾶς, οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι προσιόντες συμβουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτὸν, μή τι καὶ πάθω ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ μεγάλα. 38. Καὶ ὁ Κῦρος εἶπεν, Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι ταύτῃ τῇ δόξῃ οἵδ' τ' εἰ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς συμμάχους μεγάλα ὠφελῆσαι. Εἰ γὰρ γένοιτο, ἔφη ὁ Ἀράσπας, ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. 39. Εἰ τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν, ἐθέλοις εἰς τοὺς πολεμίους ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν πολεμίων. Ἔγωγε, ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ ὑπὸ τῶν φίλων οἶδα ὅτι, ὡς σὲ πεφευγὼς, λόγον ἂν παρέχοιμι. 40. Ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν, πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ, καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο, διὰ τὸ πιστεύειν· ὥστε μηδὲ ἓν σε λεληθέναι, ὧν βουλόμεθα εἰδέναι. Ὡς πορευσομένου οὖν, ἔφη, ἤδη νυνὶ, ἴσθι· καὶ γὰρ τοῦτο ἓν τῶν πιστῶν ἔσται, τὸ δοκεῖν με ὑπὸ σοῦ μελλήσαντά τι παθεῖν ἐκπεφευγέναι. 41. Ἢ καὶ δυνήσῃ, ἔφη, ἀπολιπεῖν τὴν καλὴν Πάνθειαν; Δύο γάρ, ἔφη, ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς. Νῦν τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδίκου σοφιστοῦ τοῦ Ἔρωτος. Οὐ γὰρ δὴ μία γε οὖσα, ἅμα ἀγαθή τέ ἐστι καὶ κακὴ, οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ, καὶ ταὐτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται

πράττειν· ἀλλὰ δῆλον, ὅτι δύο ἐστὸν ψυχὰ, καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ πράττεται· ὅταν δὲ ἡ πονηρὰ, τὰ αἰσχρὰ ἐπιχειρεῖται. Νῦν δὲ, ὡς σὲ σύμμαχον ἔλαβε, κρατεῖ ἡ ἀγαθὴ, καὶ πάνυ πολύ. 42. Εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι, ἔφη ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις πιστότερος ᾖς· ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ' ἡμῶν, οὕτω τε ἐξάγγελλε, ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα ἐμποδὼν μάλιστ' ἂν εἴη, ὧν βούλονται πράττειν. Εἴη δ' ἂν ἐμποδὼν, εἰ ἡμᾶς φαίης παρασκευάζεσθαι ἐμβαλεῖν που τῆς ἐκείνων χώρας· ταῦτα γὰρ ἀκούοντες, ἧττον ἂν παντὶ σθένει ἀθροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν οἴκοι. 43. Καὶ μέντοι, ἔφη, παρ' ἐκείνοις ὀτιπλεῖστον χρόνον· ἃ γὰρ ἂν ποιῶσιν, ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μάλιστα καιρὸς ἡμῖν εἰδέναι ἔσται. Συμβούλευε δ' αὐτοῖς καὶ ἐκτάττεσθαι, ὅπη ἂν δοκῇ κράτιστον εἶναι· ὅταν γὰρ σὺ ἀπέλθῃς, εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τετάχθαι αὐτοῖς· μεταττέσθαι γὰρ οὐκήσουσι· καὶ ἢν πῃ ἄλλῃ μετατάττωνται, ἐξ ὑπογύου ταράξονται. 44. Ἀράσπας μὲν δὴ οὕτως ἐξελθὼν, καὶ συλλαβὼν τοὺς πιστοτάτους θεράποντας, καὶ εἰπὼν πρός τινας, οἷα ᾤετο συμφέρειν τῷ πράγματι, ᾤχετο.

45. Ἡ δὲ Πάνθεια, ὡς ἤσθετο οἰχόμενον τὸν Ἀράσπαν, πέμψασα πρὸς τὸν Κῦρον εἶπε· Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἐὰν γὰρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγὼ

σοι ἀναδέχομαι, ἥξειν πολὺ Ἀράσπου πιστότερόν σοι φίλον· καὶ δύναμιν δ' οἶδ' ὅτι, ὁπόσην ἂν δύνηται, ἔχων παρέσται σοι. Καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ' ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν, εὖ οἶδ', ὅτι ἄσμενος ἂν πρὸς ἄνδρα, οἷος σὺ εἶ, ἀπαλλαγείη. 46. Ἀκούσας ταῦτα ὁ Κῦρος κελεύει πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ' ἔπεμψεν. Ὡς δ' ἔγνω ὁ Ἀβραδάτας τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἆλλα δὲ ἧσθετο ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς τὸν Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς δισχιλίους. Ὡς δ' ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπών, ὃς ἦν. Ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα. 47. Ὡς δ' εἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτας, ἠσπάσαντο ἀλλήλους, ὡς εἰκὸς ἐκ δυσελπίστων. Ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ Ἀβραδάτας ἀκούσας εἶπε· Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδιδοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος περὶ ἐκεῖνον εἶναι, οἷός περ καὶ ἐκεῖνος περὶ σέ;

48. Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας· καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς αὐτοῦ εἶπεν· Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω, τί μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι

ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ σύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργός σοι πειράσομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος. 49. Καὶ ὁ Κῦρος εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις.

50. Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ ὅμοια ἐκείνῳ· αὐτὸς δὲ ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος παρεσκευάζετο. 51. Συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετράρυμόν τε καὶ ἐξ ἵππων ὀκτώ. Ἡ δὲ Πάνθεια, ἡ γυνὴ αὐτοῦ, ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια· τοὺς δ' ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο.

52. Ἀβραδάτας μὲν ταῦτα ἔπραττε. Κῦρος δὲ ἰδὼν τὸ τετράρυμον αὐτοῦ ἅρμα, κατενόησεν, ὡς οἷόν τε εἴη καὶ ὀκτάρυμον ποιήσασθαι, ὥστε ὀκτὼ ζεύγεσι βοῶν ἄγειν τῶν μηχανῶν τὸ κατώτατον οἴκημα· ἦν δὲ τοῦτο τριόργυιον μάλιστα ἀπὸ τῆς γῆς σὺν τοῖς τροχοῖς. 53. Τοιοῦτοι δὲ πύργοι σὺν τάξει ἀκολουθοῦντες ἐδόκουν αὐτῷ μεγάλη μὲν ἐπικουρία γενέσθαι τῇ ἑαυτοῦ φάλαγγι, μεγάλη δὲ βλάβη τῇ τῶν πολεμίων τάξει. Ἐποίησε δὲ ἐπὶ τῶν οἰκημάτων καὶ περιδρό-

μους καὶ ἐπάλξεις· ἀνεβίβαζε δὲ ἐπὶ τῶν πύργων ἕκαστον ἄνδρας εἴκοσιν.

54. Ἐπεὶ δὲ πάντα συνεστήκει αὐτῷ τὰ περὶ τοὺς πύργους, πεῖραν ἐλάμβανε τοῦ ἀγωγίου· καὶ πολὺ ῥᾷον ἦγε τὰ ὀκτὼ ζεύγη τὸν πύργον καὶ τοὺς ἐπ' αὐτῷ ἄνδρας, ἢ τὸ σκευοφορικὸν βάρος ἕκαστον τὸ ζεῦγος. Σκευῶν μὲν γὰρ βάρος ἀμφὶ τὰ πέντε καὶ εἴκοσι τάλαντα ἦν ζεύγει· τοῦ δὲ πύργου, ὥσπερ τραγικῆς σκηνῆς τῶν ξύλων πάχος ἐχόντων, καὶ εἴκοσιν ἀνδρῶν καὶ ὅπλων, τούτων ἐγένετο ἔλαττον ἢ πεντεκαίδεκα τάλαντα ἑκάστῳ ζεύγει τὸ ἀγώγιον. 55. Ὡς δ' ἔγνω εὔπορον οὖσαν τὴν ἀγωγὴν, παρεσκευάζετο ὡς ἅμα ἄξων τοὺς πύργους σὺν τῷ στρατεύματι· νομίζων τὴν ἐν πολέμῳ πλεονεξίαν ἅμα σωτηρίαν τε καὶ δικαιοσύνην εἶναι καὶ εὐδαιμονίαν.

CAPVT II.

1. Ἦλθον δὲ ἐν τούτῳ τῷ χρόνῳ καὶ παρὰ τοῦ Ἰνδοῦ χρήματα ἄγοντες, καὶ ἀπήγγελλον αὐτῷ, ὅτι ὁ Ἰνδὸς ἐπιστέλλει τοιάδε· Ἐγὼ, ὦ Κῦρε, ἥδομαι, ὅτι μοι ἐπήγγειλας, ὧν ἐδέου· καὶ βούλομαί σοι ξένος εἶναι, καὶ πέμπω σοι χρήματα· κἂν ἄλλων δέῃ, μεταπέμπου. Ἐπέσταλται δὲ τοῖς παρ' ἐμοῦ, ποιεῖν, ὅ τι ἂν σὺ κελεύῃς. 2. Ἀκούσας δὲ ὁ Κῦρος εἶπε· Κελεύω τοίνυν ὑμᾶς, τοὺς μὲν ἄλλους μένοντας, ἔνθα κατεσκηνώκατε, φυλάττειν τὰ χρήματα, καὶ ζῆν, ὅπως ὑμῖν ἡδιστόν ἐστι· τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους, ὡς παρὰ τοῦ Ἰνδοῦ περὶ συμμαχίας,

καὶ τὰ ἐκεῖ μαθόντες, ὅ τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ Ἰνδῷ· κἂν ταῦτά μοι καλῶς ὑπηρετήσητε, ἔτι μᾶλλον ὑμῖν χάριν εἴσομαι τούτου, ἢ ὅτι χρήματα πάρεστε ἄγοντες. Καὶ γὰρ οἱ μὲν δοῦλοι ἐοικότες κατάσκοποι οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν, ἢ ὅσα πάντες ἴσασιν· οἱ δὲ τοιοῦτοι, οἷοί περ ὑμεῖς, ἄνδρες πολλάκις καὶ τὰ βουλευόμενα καταμανθάνουσιν. 3. Οἱ μὲν δὴ Ἰνδοὶ, ἀκούσαντες ἡδέως, καὶ ξενισθέντες τότε παρὰ Κύρῳ, συσκευασάμενοι τῇ ὑστεραίᾳ ἐπορεύοντο, ὑποσχόμενοι, ἢ μὴν καταμαθόντες, ὅσα ἂν δύνωνται πλεῖστα, ἐκ τῶν πολεμίων ἥξειν ὡς δυνατὸν τάχιστα.

4. Ὁ δὲ Κῦρος τά τε ἄλλα πρὸς τὸν πόλεμον παρεσκευάζετο μεγαλοπρεπῶς, ὡς δὴ ἀνὴρ οὐδὲν σμικρὸν ἐπινοῶν πράττειν· ἐπεμελεῖτο δὲ οὐ μόνον, ὧν ἔδοξε τοῖς συμμάχοις, ἀλλὰ καὶ ἔριν ἐνέβαλλε πρὸς ἀλλήλους τοῖς φίλοις, ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐοπλότατοι καὶ ἱππικώτατοι καὶ ἀκοντιστικώτατοι καὶ τοξικώτατοι καὶ φιλοπονώτατοι. 5. Ταῦτα δὲ ἐξεργάζετο ἐπί τε τὰς θήρας ἐξάγων, καὶ τιμῶν τοὺς κρατίστους ἑκάστοτε· καὶ τοὺς ἄρχοντας δὲ, οὓς ὥρα ἐπιμελουμένους τούτου, ὅπως οἱ αὐτῶν κράτιστοι ἔσονται στρατιῶται, καὶ τούτους ἐπαινῶν τε παρώξυνε, καὶ χαριζόμενος αὐτοῖς, ὅ τι δύναιτο. 6. Εἰ δέ ποτε θυσίαν ποιοῖτο καὶ ἑορτὴν ἄγοι, καὶ ἐν ταύτῃ, ὅσα πολέμου ἕνεκα μελετῶσιν οἱ ἄνθρωποι, πάντων τούτων ἀγῶνας ἐποίει, καὶ ἆθλα τοῖς νικῶσι

μεγαλοπρεπῶς ἐδίδου, καὶ ἦν πολλὴ εὐθυμία ἐν τῷ στρατεύματι.

7. Τῷ δὲ Κύρῳ σχεδόν τι ἤδη ἀποτετελεσμένα ἦν, ὁπόσα ἐβούλετο ἔχων στρατεύεσθαι, πλὴν τῶν μηχανῶν. Καὶ γὰρ οἱ Πέρσαι ἵππεῖς ἔκπλεω ἤδη ἦσαν εἰς τοὺς μυρίους· καὶ τὰ ἅρματα τὰ δρεπανηφόρα, ἃ τε αὐτὸς κατεσκεύασεν, ἔκπλεα ἤδη ἦν εἰς τὰ ἑκατόν· ἃ τε Ἀβραδάτας ὁ Σούσιος ἐπεχείρησε κατασκευάζειν ὅμοια τοῖς Κύρου, καὶ ταῦτα ἔκπλεα ἦν εἰς ἄλλα ἑκατόν. 8. Καὶ τὰ Μηδικὰ δὲ ἅρματα ἐπεπείκει Κῦρος Κυαξάρην εἰς τὸν αὐτὸν τρόπον τοῦτον μετασκευάσαι ἐκ τῆς Τρωϊκῆς καὶ Λιβυκῆς διφρείας· καὶ ἔκπλεα καὶ ταῦτα ἦν εἰς ἄλλα ἑκατόν. Καὶ ἐπὶ τοὺς καμήλους δὲ ἐκτεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ' ἑκάστην τοξόται. Καὶ ὁ μὲν πλεῖστος στρατὸς οὕτως εἶχε τὴν γνώμην, ὡς ἤδη παντελῶς κεκρατηκὼς, καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων.

9. Ἐπεὶ δὲ οὕτω διακειμένων ἦλθον οἱ Ἰνδοὶ ἐκ τῶν πολεμίων, οὓς ἐπεπόμφει Κῦρος ἐπὶ κατασκοπῇ, καὶ ἔλεγον, ὅτι Κροῖσος μὲν ἡγεμὼν καὶ στρατηγὸς πάντων ἥρηται ἐν τῶν πολεμίων, δεδογμένον δ' εἶη ἅπασι τοῖς συμμάχοις βασιλεῦσι, πάσῃ τῇ δυνάμει ἕκαστον παρεῖναι, χρήματα δὲ εἰσφέρειν πάμπολλα, ταῦτα δὲ τελεῖν καὶ μισθουμένους οὓς δύναιντο, καὶ δωρουμένους, οἷς δέοι· 10. ἤδη δὲ καὶ μεμισθωμένους εἶναι πολλοὺς μὲν Θρᾳκῶν μαχαιροφόρους, Αἰγυπτίους δὲ προσπλεῖν· καὶ ἀριθμὸν ἔλεγον εἰς δώδεκα μυριάδας σὺν ἀσπίσι ποδήρεσι, καὶ δόρασι μεγάλοις, (οἷά

περ καὶ νῦν ἔχουσι) καὶ κοπίσι· προσπλεῖν δὲ καὶ Κυπρίων στράτευμα ἔτι, παρεῖναι δὲ ἤδη καὶ Κιλικας πάντας καὶ Φρύγας ἀμφοτέρους, καὶ Λυκάονας καὶ Παφλαγόνας καὶ Καππαδόκας καὶ Ἀραβίους καὶ Φοίνικας, καὶ σὺν τῷ Βαβυλῶνος ἄρχοντι τοὺς Ἀσσυρίους· καὶ Ἴωνας δὲ καὶ Αἰολέας, καὶ σχεδὸν πάντας τοὺς Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ ἐποικοῦντας, σὺν Κροίσῳ ἠναγκάσθαι ἕπεσθαι· 11. πεπομφέναι δὲ Κροῖσον καὶ εἰς Λακεδαίμονα περὶ συμμαχίας· συλλέγεσθαι δὲ τὸ στράτευμα ἀμφὶ τὸν Πακτωλὸν ποταμὸν, προϊέναι δὲ μέλλειν αὐτοὺς εἰς Θύμβραρα, (ἔνθα καὶ νῦν ὁ σύλλογος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν κάτω Συρίας) καὶ ἀγορὰν πᾶσι παραγγέλθαι ἐνταῦθα κομίζειν· σχεδὸν δὲ τούτοις ταῦτα ἔλεγον καὶ οἱ αἰχμάλωτοι· ἐπεμελεῖτο γὰρ καὶ τούτου ὁ Κῦρος, ὅπως ἁλίσκοιντο, παρ' ὧν ἔμελλε πεύσεσθαί τι· ἔπεμπε δὲ καὶ δούλοις ἐοικότας κατασκόπους, ὡς αὐτομόλους· 12. ὡς οὖν ταῦτα ἤκουσεν ὁ στρατὸς τοῦ Κύρου, ἐν φρονίδι τε ἕκαστος ἐγίγνετο, ὥσπερ εἰκὸς, καὶ ἡσυχαίτεροί τε, ἢ ὡς εἰώθεσαν, διεφοίτων, φαιδροί τε οἱ πολλοὶ οὐ πάνυ ἐφαίνοντο· ἐκυκλοῦντό τε, καὶ μεστὰ ἦν πάντα ἀλλήλους ἐρωτώντων καὶ διαλεγομένων περὶ τούτων.

13. Ὡς δὲ ἤσθετο ὁ Κῦρος φόβον διαθέοντα ἐν τῇ στρατιᾷ, συγκαλεῖ τούς τε ἄρχοντας τῶν στρατευμάτων, καὶ πάντας, ὁπόσων ἀθυμούντων ἐδόκει τις βλάβη γίγνεσθαι, καὶ προθυμουμένων ὠφέλεια. Προεῖπε δὲ τοῖς ὑπηρέταις, καὶ ἄλλος εἴ τις βούλοιτο

τῶν ὁπλοφόρων προϊστασθαι ἀκουσόμενος τῶν λογων, μὴ κωλύειν. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε·

14. Ἄνδρες σύμμαχοι, ἐγώ τοι ὑμᾶς συνεκάλεσα, ἰδών τινας ὑμῶν, ἐπεὶ αἱ ἀγγελίαι ἦλθον ἐκ τῶν πολεμίων, πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις. Δοκεῖ γάρ μοι θαυμαστὸν εἶναι, εἴ τις ὑμῶν, ὅτι μὲν οἱ πολέμιοι λέγονται συλλέγεσθαι, δέδοικεν· ὅτι δὲ ἡμεῖς πολὺ μὲν πλείους συνειλέγμεθα νῦν, ἢ ὅτε ἐνικῶμεν ἐκείνους, πολὺ δὲ ἄμεινον σὺν θεῷ παρεσκευάσμεθα νῦν, ἢ πρόσθεν, ταῦτα δὴ ὁρῶντες οὐ θαῤῥεῖτε. 15. Ὦ πρὸς θεῶν, ἔφη, τί δῆτ' ἂν ἐποιήσατε οἱ νῦν δεδοικότες, εἰ ἤγγελλόν τινες τὰ παρ' ἡμῖν νῦν ὄντα, ταῦτα ἀντίπαλα ἡμῖν προϊόντα; καὶ πρῶτον μὲν ἠκούετε, ἔφη, ὅτι οἱ πρόσθεν νικήσαντες ἡμᾶς, οὗτοι πάλιν ἔρχονται, ἔχοντες ἐν ταῖς ψυχαῖς, ἣν ποτε νίκην ἐκτήσαντο· ἔπειτα δὲ, οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις, νῦν οὗτοι ἔρχονται, καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι· 16. ἔπειτα δὲ ὥσπερ οὗτοι ὁπλισάμενοι τοὺς πεζοὺς τότε ἐνίκων, νῦν οὕτω καὶ οἱ ἱππεῖς αὐτῶν παρεσκευασμένοι πρὸς τοὺς ἱππέας προσέρχονται· καὶ τὰ μὲν τόξα καὶ ἀκόντια ἀποδεδοκιμάκασι, παλτὸν δὲ ἓν ἰσχυρὸν ἕκαστος λαβὼν, προσελαύνειν διανενόηται, ὡς ἐκ χειρὸς τὴν μάχην ποιησόμενος· 17. ἔτι δὲ ἅρματα ἔρχεται, ἃ οὐχ οὕτως ἑστήξεται ὥσπερ πρόσθεν ἀποστραφέντα ὥσπερ εἰς φυγήν, ἀλλ' οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἵ ἐν τοῖς ἅρμασιν, οἵ τε ἡνίοχοι ἐν πύργοις ἑστῶσι ξυ-

ὑνοις, τὰ ὑπερέχοντα ἅπαντα συνεστεγασμένοι θώ-
ραξι καὶ κράνεσι· δρέπανά τε σιδηρᾶ περὶ τοῖς ἄξο-
σι προσήρμοσται, ὡς ἐλῶντες καὶ οὗτοι εὐθὺς εἰς
τὰς τάξεις τῶν ἐναντίων· 18. πρὸς δ' ἔτι κάμηλοί εἰσιν
αὐτοῖς, ἐφ' ὧν προσελῶσιν, ὧν μίαν ἑκάστην ἑκατὸν
ἵπποι οὐκ ἂν ἀνάσχοιντο ἰδόντες· ἔτι δὲ πύργους
ἔχοντες προσίασιν, ἀφ' ὧν τοῖς μὲν αὐτῶν ἀρήξου-
σιν, ἡμᾶς δὲ βάλλοντες κωλύσουσιν ἐν τῷ ἰσοπέδῳ
μάχεσθαι· 19. εἰ δὴ ταῦτα ἤγγελλέ τις ὑμῖν ἐν τοῖς πο-
λεμίοις ὄντα, οἱ νῦν φοβούμενοι τί ἂν ἐποιήσατε;
ὁπότε ἀπαγγελλομένων, ὅτι Κροῖσος μὲν ᾔρηται τοῖς
πολεμίοις στρατηγὸς, ὃς τοσούτῳ Σύρων κακίων ἐγε-
νετο, ὅσῳ Σύροι μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖ-
σος δὲ ἰδὼν ἡττημένους, ἀντὶ τοῦ ἀρήγειν τοῖς συμ-
μάχοις, φεύγων ᾤχετο. 20. Ἔπειτα δὲ διαγέλλεται
δήπου, ὅτι αὐτοὶ μὲν οἱ πολέμιοι οὐκ ἱκανοὶ ἡγοῦνται
ἡμῖν εἶναι μάχεσθαι, ἄλλους δὲ μισθοῦνται, ὡς
ἀμείνονα μαχουμένους ὑπὲρ σφῶν, ἢ αὐτοί. Εἰ μέν-
τοι τισὶ ταῦτα μὲν τοιαῦτα ὄντα δεινὰ δοκεῖ εἶναι,
τὰ δὲ ἡμέτερα φαῦλα, τούτους ἐγὼ φημι χρῆναι, ὦ
ἄνδρες, ἀφεῖναι εἰς τοὺς ἐναντίους· πολὺ γὰρ ἐκεῖ
ὄντες πλείω ἂν ἡμῖς ἢ παρόντες ὠφελοῖεν.

21. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Κῦρος, ἀνέστη Χρυσάν-
τας ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε· Ὦ Κῦρε, μὴ θαύ-
μαζε, εἴ τινες ἐσκυθρώπασαν, ἀκούσαντες τῶν ἀγ-
γελλομένων· οὐ γὰρ φοβηθέντες οὕτω διετέθησαν,
ἀλλ' ἀχθεσθέντες· ὥσπερ γε, ἔφη, εἴ τινῶν βουλο-
μένων τε καὶ οἰομένων ἤδη ἀριστήσειν, ἐξαγγελθειη

τι ἔργον, ὃ ἀνάγκη εἴη πρὸ τοῦ ἀρίστου ἐξεργάσασθαι, οὐδεὶς ἂν, οἶμαι, ἡσθείη τοῦτο ἀκούσας· οὕτω τοίνυν καὶ ἡμεῖς, ἤδη οἰόμενοι πλουτήσειν, ἐπεὶ ἠκούσαμεν, ὅτι ἐστί τι λοιπὸν ἔργον, ὃ δεῖ ἐξεργάσασθαι, συνεσκυθρωπάσαμεν, οὐ φοβούμενοι, ἀλλὰ πεποιῆσθαι ἂν ἤδη καὶ τοῦτο βουλόμενοι. 22. Ἀλλὰ γὰρ ἐπειδὴ οὐ περὶ Συρίας μόνον ἀγωνιούμεθα, ὅπου σῖτος πολὺς καὶ πρόβατά ἐστι, καὶ φοίνικες οἳ καρποφόροι, ἀλλὰ καὶ περὶ Λυδίας, ἔνθα πολὺς μὲν οἶνος, πολλὰ δὲ σῦκα, πολὺ δὲ ἔλαιον, θάλαττα δὲ προσκλύζει, καθ' ἣν πλείω ἔρχεται, ἢ ὅσα τις ἑώρακεν, ἀγαθά, ταῦτα, ἔφη, ἐννοούμενοι, οὐκέτι ἀχθόμεθα, ἀλλὰ θαῤῥοῦμεν ὡς μάλιστα, ἵνα θᾶττον καὶ τούτων τῶν Λυδίων ἀγαθῶν ἀπολαύσωμεν. Ὁ μὲν οὕτως εἶπεν· οἱ δὲ σύμμαχοι πάντες ἥσθησάν τε τῷ λόγῳ καὶ ἐπήνεσαν.

23. Καὶ μὲν δὴ, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, δοκεῖ μοι καὶ ἰέναι ἐπ' αὐτοὺς ὡς τάχιστα· ἵνα πρῶτον μὲν αὐτοὺς φθάσωμεν ἀφικόμενοι, ἢν δυνώμεθα, ὅπου τὰ ἐπιτήδεια αὐτοῖς συλλέγεται· ἔπειτα δὲ ὅσῳ ἂν θᾶττον ἴωμεν, τοσούτῳ μείω μὲν τὰ παρόντα αὐτοῖς εὑρήσομεν, πλείω δὲ τὰ ἀπόντα. 24. Ἐγὼ μὲν δὴ οὕτω λέγω· εἰ δέ τις ἄλλως πως γιγνώσκει ἢ ἀσφαλέστερον εἶναι ἢ ῥᾷον ἡμῖν, διδασκέτω. Ἐπεὶ δὲ συνηγόρευον μὲν πολλοὶ, ὡς χρεὼν εἴη, ὁτιτάχιστα πορεύεσθαι ἐπὶ τοὺς πολεμίους, ἀντέλεγε δὲ οὐδείς, ἐκ τούτου δὴ ὁ Κῦρος ἦρχετο λόγου τοιοῦδε.

25. Ἄνδρες ξύμμαχοι, αἱ μὲν ψυχαὶ καὶ τὰ σώματα

καὶ τὰ ὅπλα, οἷς δεήσει χρῆσθαι, ἐκ πολλοῦ ἡμῖν σὺν θεῷ παρεσκεύασται· νῦν δὲ τὰ ἐπιτήδεια δεῖ εἰς τὴν ὁδὸν συσκευάζεσθαι αὐτοῖς τε ἡμῖν, καὶ ὅπόσοις τετράποσι χρώμεθα, μὴ μεῖον ἢ εἴκοσιν ἡμερῶν. Ἐγὼ γὰρ λογιζόμενος εὑρίσκω πλειόνων ἢ πεντεκαίδεκα ἡμερῶν ἐσομένην ὁδὸν, ἐν ᾗ οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων· ἀνεσκεύασται γὰρ, τὰ μὲν ὑφ' ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πολεμίων, ὅσα ἠδύναντο. 26. Συσκευάζεσθαι οὖν χρὴ σῖτον μὲν ἱκανόν· (ἄνευ γὰρ τούτου οὔτε μάχεσθαι, οὔτε ζῆν δυναίμεθα ἄν) οἶνον δὲ τοσοῦτον ἕκαστον ἔχειν χρὴ, ὅσος ἱκανὸς ἔσται ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν· πολλὴ γάρ ἐστι τῆς ὁδοῦ ἄοινος, εἰς ἣν, οὐδ' ἂν πάνυ πολὺν οἶνον συσκευασώμεθα, διαρκέσει. 27. Ὡς οὖν μὴ ἐξαπίνης ἄοινοι γενόμενοι νοσήμασι περιπίπτωμεν, ὧδε χρὴ ποιεῖν· ἐπὶ μὲν τῷ σίτῳ νῦν εὐθὺς ἀρχώμεθα πίνειν ὕδωρ· τοῦτο γὰρ ἤδη ποιοῦντες οὐ πολὺ μεταβαλοῦμεν. 28. Καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μάζαν ἐσθίει· καὶ ὅστις ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον· καὶ τὰ ἑφθὰ δὲ πάντα μεθ' ὕδατος τὰ πλεῖστα ἐσκεύασται. Μετὰ δὲ τὸν σῖτον εἰ οἶνον ἐπιπίνοιμεν, οὐδὲν μεῖον ἔχουσα ἡ ψυχὴ ἀναπαύσεται. 29. Ἔπειτα δὲ καὶ τοῦ μετὰ τὸ δεῖπνον ἀφαιρεῖν χρὴ, ἐπ' ἂν λάθωμεν ὑδροπόται γενόμενοι. Ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς· διδάσκει δὲ καὶ ὁ θεὸς, ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη, καὶ ἐκ ταῦ θάλπους εἰς

τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους, εἰς ἃ δεῖ ἐλθεῖν, προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι. 30. Καὶ τὸ τῶν στρωμάτων δὲ βάρος εἰς τὰ ἐπιτήδεια καταδαπανᾶτε· τὰ μὲν γὰρ ἐπιτήδεια περιττεύοντα οὐκ ἄχρηστα ἔσται· στρωμάτων δὲ ἐνδεηθέντες μὴ δείσητε, ὡς οὐχ ἡδέως καθευδήσετε· εἰ δὲ μή, ἐμὲ αἰτιᾶσθε. Ἔσθὴς μέντοι ὅτῳ ἐστὶν ἀφθονωτέρα παροῦσα, πολλὰ καὶ ὑγιαίνοντι καὶ κάμνοντι ἐπικουρεῖ. 31. Ὅψα δὲ χρὴ συνεσκευάσθαι, ὅσα ἐστὶν ὀξέα ἐπιπλεῖστον, καὶ δριμέα καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει καὶ ἐπιπλεῖστον ἀρκεῖ. Ὅταν δ' ἐκβαίνωμεν εἰς ἀκέραια, ὅπου ἡμᾶς εἰκὸς ἤδη σῖτον λαμβάνειν, χειρομύλας χρὴ αὐτόθεν παρασκευάσασθαι, αἷς σιτοποιησόμεθα· τοῦτο γὰρ κουφότατον τῶν σιτοποϊκῶν ὀργάνων. 32. Συνεσκευάσθαι δὲ χρὴ καὶ ὧν ἀσθενοῦντες δέονται ἄνθρωποι· τούτων γὰρ ὁ μὲν ὄγκος μικρότατος, ἢν δὲ τύχῃ τοιάδε γένηται, μάλιστα δεήσει. Ἔχειν δὲ χρὴ καὶ ἡμίνας· τὰ γὰρ πλεῖστα καὶ ἀνθρώποις καὶ ἵπποις ἡμῖν ἤρτηται· ὧν κατατριβομένων καὶ ῥηγνυμένων ἀνάγκη ἀργεῖν, ἢν μή τις ἔχῃ παράζυγας. Ὅστις δὲ πεπαίδευται καὶ παλτὸν ξύσασθαι, ἀγαθὸν καὶ ξυήλης μὴ ἐπιλαθέσθαι. 33. Ἀγαθὸν δὲ καὶ ῥίνην φέρεσθαι· ὁ γὰρ λόγχην ἀκονῶν, ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. Ἔπεστι γάρ τις αἰσχύνη, λόγχην ἀκονῶντα κακὸν εἶναι. Ἔχειν δὲ χρὴ καὶ ξύλα περίπλεα καὶ ἅρμασι καὶ ἁμάξαις· ἐν γὰρ πολλαῖς πράξεσι πολλὰ ἀνάγκη καὶ τὰ ἀπαγορεύοντα εἶναι.

34. Ἔχειν δὲ δεῖ καὶ τὰ ἀναγκαιότατα ὄργανα ἐπὶ ταῦτα πάντα· οὐ γὰρ ἅπανταχοῦ χειροτέχναι παραγίγνονται· τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον ὀλίγοι τινὲς οἱ οὐχ ἱκανοὶ ποιῆσαι. Ἔχειν δὲ χρὴ καὶ ἄμην καὶ σμινύην κατὰ ἅμαξαν ἑκάστην· καὶ κατὰ τὸ γωτοφόρον δὲ ἀξίνην καὶ δρέπανον· ταῦτα γὰρ καὶ ἰδίᾳ ἑκάστῳ χρήσιμα, καὶ ὑπὲρ τοῦ κοινοῦ πολλάκις ὠφέλιμα γίγνεται. 35. Τὰ μὲν οὖν εἰς τροφὴν δέοντα, οἱ ἡγεμόνες τῶν ὁπλοφόρων ἐξετάζετε τοὺς ὑφ' ὑμῖν αὐτοῖς· οὐ γὰρ δεῖ παριέναι, ὅτου ἄν τις τούτων ἐνδέηται· ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσόμεθα. Ὅσα δὲ καὶ τὰ ὑποζύγια κελεύω ἔχειν, ὑμεῖς οἱ τῶν σκευοφόρων ἄρχοντες ἐξετάζετε, καὶ τὸν μὴ ἔχοντα κατασκευάζεσθαι ἀναγκάζετε. 36. Ὑμεῖς δ' αὖ οἱ τῶν ὁδοποιῶν ἄρχοντες, ἔχετε μὲν ἀπογεγραμμένους παρ' ἐμοῦ τοὺς ἀποδεδοκιμασμένους καὶ τοὺς ἐκ τῶν ἀκοντιστῶν, καὶ τοὺς ἐκ τῶν τοξοτῶν, καὶ τοὺς ἐκ τῶν σφενδονητῶν· τούτων δὲ τοὺς μὲν ἀπὸ τῶν ἀκοντιστῶν χρὴ πέλεκυν ἔχοντας ξυλοκόπον ἀναγκάζειν στρατεύεσθαι, τοὺς δ' ἀπὸ τῶν τοξοτῶν, σμινύην, τοὺς δ' ἀπὸ τῶν σφενδονητῶν, ἄμην· τούτους δ' ἔχοντας ταῦτα, πρὸ τῶν ἁμαξῶν κατ' ἴλας πορεύεσθαι, ὅπως, ἤν τι δέῃ ὁδοποιΐας, εὐθὺς ἑτοιμοι ἦτε· καὶ ἐγὼ ἤν τι δέωμαι, ὅπως εἰδῶ, ὁπόθεν δεῖ λαβόντα τούτοις χρῆσθαι. 37. Ἄξω δὲ καὶ τοὺς ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ ξὺν τοῖς ὀργάνοις χαλκέας τε καὶ τέκτονας καὶ σκυτοτόμους, ὅπως, ἄν τι δέῃ καὶ τοιούτων τεχνῶν ἐν τῇ στρατιᾷ, μηδὲν ἐλλι-

πηται. Οὗτοι δὲ ὁπλοφόρου μὲν τάξεως ἀπολελύσονται, ἃ δ' ἐπίστανται τῷ βουλομένῳ μισθοῦ ὑπηρετοῦντες, ἐν τῷ τεταγμένῳ ἔσονται. 38. Ἢν δέ τις καὶ ἔμπορος βούληται ἕπεσθαι, πωλεῖν τι βουλόμενος, τῶν μὲν προειρημένων ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν· ἢν δέ τι πωλῶν ἁλίσκηται, πάντων στερήσεται. Ἐπειδὰν δ' αὖται παρέλθωσιν αἱ ἡμέραι, πωλήσει, ὅπως ἂν βούληται· ὅστις δ' ἂν τῶν ἐμπόρων πλείστην ἀγορὰν παρέχων φαίνηται, οὗτος καὶ παρὰ τῶν συμμάχων καὶ παρ' ἐμοῦ δώρων καὶ τιμῆς τεύξεται. 39. Εἰ δέ τις χρημάτων προσδεῖσθαι νομίζει εἰς ἐμπολήν, γνωστῆρας ἐμοὶ προσαγαγὼν καὶ ἐγγυητάς, ἢ μὴν πορεύεσθαι σὺν τῇ στρατιᾷ, λαμβανέτω, ὧν ἡμεῖς ἔχομεν. Ἐγὼ μὲν δὴ ταῦτα προαγορεύω· εἰ δέ τίς τι καὶ ἄλλο δέον ἑνορᾷ, πρὸς ἐμὲ σημαινέτω. 40. Καὶ ὑμεῖς μὲν ἀπιόντες συσκευάζεσθε, ἐγὼ δὲ θύσομαι ἐπὶ τῇ ὁρμῇ· ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν. Παρεῖναι δὲ χρὴ ἅπαντας, τὰ προειρημένα ἔχοντας, εἰς τὴν τεταγμένην χώραν, πρὸς τοὺς ἡγεμόνας ἑαυτῶν. 41. Ὑμεῖς δέ, οἱ ἡγεμόνες, τὴν ἑαυτοῦ ἕκαστος τάξιν εὐτρεπισάμενος, πρὸς ἐμὲ πάντες συμβαλεῖτε, ἵνα τὰς ἑαυτῶν ἕκαστοι χώρας καταμάθητε.

CAP. III.

1. Ἀκούσαντες δὲ ταῦτα οἱ μὲν συνεσκευάζοντο, ὁ δὲ Κῦρος ἐθύετο. Ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν, ὥρμᾶτο σὺν τῷ στρατεύματι· καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ

ἐστρατοπεδεύσατο ὡς δυνατὸν ἐγγύτατα, ὅπως, εἴ τίς τι ἐπιλελησμένος εἴη, μετέλθοι, καὶ εἴ τίς τι ἐνδεόμενος γνοίη, τοῦτο ἐπιπαρασκευάσαιτο. 2. Κυαξάρης μὲν οὖν, τῶν Μήδων ἔχων τὸ τρίτον μέρος, κατέμενεν, ὡς μηδὲ τὰ οἴκοι ἔρημα εἴη. Ὁ δὲ Κῦρος ἐπορεύετο ὡς ἐδύνατο τάχιστα, τοὺς ἱππέας μὲν πρώτους ἔχων, καὶ πρὸ τούτων διερευνητὰς καὶ σκοποὺς ἀεὶ ἀναβιβάζων ἐπὶ τὰ πρόσθεν εὐσκοπώτατα· μετὰ δὲ τούτους ἦγε τὰ σκευοφόρα, ὅπου μὲν πεδινὸν εἴη, πολλοὺς ὁρμαθοὺς ποιούμενος τῶν ἁμαξῶν καὶ τῶν σκευοφόρων· ὄπισθεν δὲ ἡ φάλαγξ ἑφεπομένη, εἴ τι τῶν σκευοφόρων ὑπολείποιτο, οἱ πρόσ-τυγχάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο, ὡς μὴ κωλύοιντο πορεύεσθαι. 3. Ὅπου δὲ στενωτέρα εἴη ἡ ὁδός, διὰ μέσου ποιούμενοι τὰ σκευοφόρα ἔνθεν καὶ ἔνθεν ἐπορεύοντο οἱ ὁπλοφόροι· καὶ εἴ τι ἐμποδίζοι, οἱ κατὰ ταῦτα γιγνόμενοι αὖ τῶν στρατιωτῶν ἐπεμέλοντο. Ἐπορεύοντο δὲ ὡς τὰ πολλὰ αἱ τάξεις, παρ' ἑαυταῖς ἔχουσαι τὰ σκευοφόρα· ἐπετέτακτο γὰρ πᾶσι τοῖς σκευοφόροις κατὰ τὴν ἑαυτῶν τάξιν ἕκαστον ἰέναι, εἰ μή τι ἀναγκαῖον ἀποκωλύοι. 4. Καὶ σημεῖον δὲ ἦν ὁ τοῦ ταξιάρχου σκευοφόρος ἡγεῖτο γνωστὸν τοῖς τῆς ἑαυτῶν τάξεως· ὥστε ἀθρόοι ἐπορεύοντο, ἐπεμελοῦντό τε ἰσχυρῶς ἕκαστος τῶν ἑαυτοῦ, ὡς μὴ ὑπολείποιντο. Καὶ οὕτω ποιούντων, οὔτε ζητεῖν ἔδει ἀλλήλους, ἅμα τε παρόντα ἅπαντα καὶ σαώτερα ἦν, καὶ θᾶσσον τὰ δέοντα εἶχον οἱ στρατιῶται.

5. Οἱ δ' οὖν προϊόντες σκοποὶ ἔδοξαν ἐν τῷ πεδίῳ ὁρᾶν ἀνθρώπους λαμβάνοντας καὶ χιλὸν καὶ ξύλα· καὶ ὑποζύγια δὲ ἑώρων, ἕτερα ταῦτα ἄγοντα, τὰ δὲ καὶ νεμόμενα· καὶ τὰ πρόσω αὖ ἐφορῶντες ἐδόκουν καταμανθάνειν μετεωριζόμενον ἢ καπνὸν, ἢ κονιορτόν· ἐκ τούτων πάντων σχεδὸν ἐγίγνωσκον, ὅτι εἴη που πλησίον τὸ στράτευμα τῶν πολεμίων. 6. Εὐθὺς οὖν πέμπει τινὰ ὁ σκοπάρχης ἀγγελοῦντα ταῦτα τῷ Κύρῳ. Ὁ δὲ, ἀκούσας ταῦτα, ἐκείνους μὲν ἐκέλευσε μένοντας ἐπὶ ταύταις ταῖς σκοπαῖς, ὅ τι ἂν ἀεὶ καινὸν ὁρῶσιν, ἐξαγγέλλειν· τάξιν δ' ἔπεμψεν ἱππέων εἰς τὸ πρόσθεν, καὶ ἐκέλευσε πειραθῆναι συλλαβεῖν τινας τῶν ἀνὰ τὸ πεδίον ἀνθρώπων, ὅπως σαφέστερον μάθοιεν τὸ ὄν. Οἱ μὲν δὴ ταχὺ ἐντες τοῦτο ἔπραττον. 7. Αὐτὸς δὲ τὸ ἄλλο στράτευμα αὐτοῦ κατεχώριζεν, ὅπως παρασκευάσαιντο, ὅσα ᾠετο χρῆναι, πρὶν πάνυ ὁμοῦ εἶναι. Καὶ πρῶτον μὲν ἀριστᾶν παρηγγύησεν, ἔπειτα δὲ μένοντας ἐν ταῖς τάξεσι τὸ παραγγελλόμενον προνοεῖν. 8. Ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσε καὶ ἱππέων καὶ πεζῶν καὶ ἁρμάτων τοὺς ἡγεμόνας, καὶ τῶν μηχανῶν δὲ καὶ τῶν σκευοφόρων τοὺς ἄρχοντας καὶ τῶν ἁρμαμαξῶν. Καὶ οὗτοι μὲν συνῆεσαν. 9. Οἱ δὲ καταδραμόντες εἰς τὸ πεδίον συλλαβόντες ἀνθρώπους ἦγαγον· οἱ δὲ συλληφθέντες ἀνερωτώμενοι ὑπὸ τοῦ Κύρου ἔλεγον, ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν, προεληλύθοιεν δὲ ἐπὶ χιλὸν, οἱ δ' ἐπὶ ξύλα, παρελθόντες τὰς προφυλακάς· διὰ γὰρ τὸ πλῆθος τοῦ στρατοῦ σπάνια

πάντα εἶναι. 10. Καὶ ὁ Κῦρος, ταῦτα ἀκούσας, Πόσον δ', ἔφη, ἄπεστιν ἐνθένδε τὸ στράτευμα; Οἱ δ' ἔλεγον, ὅτι ὡς δύο παρασάγγας. Ἐπὶ τούτοις ἤρετο ὁ Κῦρος, Ἡμῶν δ', ἔφη, λόγος τις ἦν παρ' αὐτοῖς; Ναὶ μὰ Δί', ἔφασαν, καὶ πολύς γε· ὡς ἐγγὺς ἤδη ἦτε προσιόντες. Τί οὖν; ἔφη ὁ Κῦρος, ἦ καὶ ἔχαιρον ἀκούοντες ἰόντας; (τοῦτο δ' ἐπήρετο τῶν παρόντων ἕνεκα.) Οὐ μὰ Δία, εἶπον ἐκεῖνοι, οὐ μὲν δὴ καὶ ἔχαιρον, ἀλλὰ καὶ μάλα ἠνιῶντο. 11. Νῦν δ', ἔφη ὁ Κῦρος, τί ποιοῦσιν; Ἐκτάττονται, ἔφασαν· καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. Ὁ δὲ τάττων, ἔφη ὁ Κῦρος, τίς ἐστιν; Οἱ δ' ἔφασαν, αὐτός τε Κροῖσος, καὶ σὺν αὐτῷ Ἕλλην τις ἀνήρ, καὶ ἄλλος δέ τις Μῆδος· οὗτος μέντοι ἐλέγετο φυγὰς εἶναι παρ' ὑμῶν. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ', ὦ Ζεῦ μέγιστε, λαβεῖν μοι γένοιτο αὐτόν, ὡς ἐγὼ βούλομαι.

12 Ἐκ τούτου τοὺς μὲν αἰχμαλώτους ἀπάγειν ἐκέλευσεν, εἰς δὲ τοὺς παρόντας, ὡς λέξων τι, ἀνήγετο. Ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ παρὰ τοῦ σκοπάρχου, λέγων, ὅτι ἱππέων τάξις μεγάλη ἐν τῷ πεδίῳ προφαίνοιτο· καὶ ἡμεῖς μέν, ἔφη, εἰκάζομεν, ἐλαύνειν αὐτοὺς βουλομένους ἰδεῖν τόδε τὸ στράτευμα. Καὶ γὰρ πρὸ τῆς τάξεως ταύτης ἄλλοι ὡς τριάκοντα ἱππεῖς συχνὸν προελαύνουσι, καὶ μέντοι κατ' αὐτοὺς ἡμᾶς, ἕως βουλόμενοι λαβεῖν, ἣν δύνωνται, τὴν σκοπήν· ἡμεῖς δὲ ἐσμὲν μία δεκὰς οἱ ἐπὶ ταύτῃ τῇ σκοπῇ. 13. Καὶ ὁ Κῦρος ἐκέλευσε τῶν περὶ αὐτὸν

ἀεὶ ὄντων ἱππέων ἐλάσαντας ὑπὸ τὴν σκοπὴν ἀδήλους τοῖς πολεμίοις ἀτρεμίαν ἔχειν. Ὅταν δ', ἔφη, ἡ δεκὰς ἡ ἡμετέρα λείπῃ τὴν σκοπὴν, ἐξαναστάντες ἐπίθεσθε τοῖς ἀναβαίνουσιν ἐπὶ τὴν σκοπήν. Ὡς δ' ὑμᾶς μὴ λυπῶσιν οἱ ἀπὸ τῆς μεγάλης τάξεως, ἀντέξελθε σὺ, ἔφη, ὦ Ὑστάσπα, τὴν χιλιοστὺν τῶν ἱππέων λαβὼν, καὶ ἐπιφάνηθι ἀντίος τῇ τῶν πολεμίων τάξει. Διώξεις δὲ μηδαμῇ εἰς ἀφανὲς, ἀλλ', ὅπως αἱ σκοπαί σοι διαμενοῦσιν, ἐπιμεληθεὶς πάριθι. Ἂν δ' ἄρα ἀνατείνοντες τὰς δεξιὰς προσελάυνωσιν ὑμῖν τινες, δέχεσθε φιλίως τοὺς ἄνδρας.

14. Ὁ μὲν δὴ Ὑστάσπας ἀπιὼν ὡπλίζετο· οἱ δὲ ὑπηρέται ἤλαυνον εὐθὺς, ὡς ἐκέλευσεν. Ἀπαντᾷ δ' αὐτοῖς καὶ δὴ ἐντὸς τῶν σκοπῶν Ἀράσπας σὺν τοῖς θεράπουσιν, ὃ πεμφθεὶς πάλαι κατάσκοπος, ὁ φύλαξ τῆς Σουσίδος γυναικός. 15. Ὁ μὲν οὖν Κῦρος, ὡς εἶδεν, ἀναπηδήσας ἐκ τῆς ἕδρας ὑπήντα τε αὐτῷ καὶ ἐδεξιοῦτο· οἱ δ' ἄλλοι, ὥσπερ εἰκὸς, μηδὲν εἰδότες, ἐκπεπληγμένοι ἦσαν τῷ πράγματι, ἕως ὁ Κῦρος εἶπεν, Ἄνδρες φίλοι, ἥκει ἡμῖν ἀνὴρ ἄριστος. Νῦν γὰρ ἤδη πάντας ἀνθρώπους δεῖ εἰδέναι τὰ τούτου ἔργα. Οὗτος οὔτε αἰσχροῦ ἡττηθεὶς οὐδενὸς ᾤχετο, οὔτε ἐμὲ φοβηθεὶς, ἀλλ' ὑπ' ἐμοῦ πεμφθεὶς, ὅπως ἡμῖν, μαθὼν τὰ τῶν πολεμίων, σαφῶς τὰ ὄντα ἐξαγγείλειεν. 16. Ἃ μὲν οὖν ἐγώ σοι ὑπεσχόμην, ὦ Ἀράσπα, μέμνημαί τε καὶ ἀποδώσω σὺν τούτοις πᾶσι. Δίκαιον δὲ καὶ ὑμᾶς ἅπαντας, ὦ ἄνδρες, τοῦτον τιμᾶν ὡς ἀγαθὸν ἄνδρα· ἐπὶ γὰρ τῷ ἡμε-

τέρῳ ἀγαθῷ καὶ ἐκινδύνευσε, καὶ αἰτίαν ὑπέσχεν, ἢ ἐβαρύνετο. 17. Ἐκ τούτου δὴ πάντες ἠσπάζοντο τὸν Ἀράσπαν καὶ ἐδεξιοῦντο. Εἰπόντος δὲ Κύρου, ὅτι τούτων μὲν τοίνυν ἄλις εἴη, ἃ δὲ καιρὸς ἡμῖν εἰδέναι, ταῦτα, ἔφη, διηγοῦ, ὦ Ἀράσπα· καὶ μηδὲν ἧττον τοῦ ἀληθοῦς, μηδὲ μεῖον τὰ τῶν πολεμίων. Κρεῖττον γὰρ, μείζω οἰηθέντας μείονα ἰδεῖν, ἢ μείω ἀκούσαντας μείζονα εὑρίσκειν. 18. Καὶ μήν, ἔφη ὁ Ἀράσπας, ὡς ἂν ἀσφαλέστατα εἰδείην, ὁπόσον τὸ στράτευμά ἐστιν, ἐποίουν· συνεξέταττον γὰρ παρὼν αὐτούς. Σὺ μὲν ἄρα, ἔφη ὁ Κῦρος, οὐ τὸ πλῆθος μόνον οἶσθα, ἀλλὰ καὶ τὴν τάξιν αὐτῶν. Ἐγὼ μὲν, ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ ὡς διανοοῦνται τὴν μάχην ποιεῖσθαι. Ἀλλ' ὅμως, ἔφη ὁ Κῦρος, τὸ πλῆθος ἡμῖν πρῶτον εἰπὲ ἐν κεφαλαίῳ. 19. Ἐκεῖνοι τοίνυν, ἔφη, πάντες τεταγμένοι εἰσὶν ἐπὶ τριάκοντα τὸ βάθος καὶ πεζοὶ καὶ ἵππεῖς, πλὴν τῶν Αἰγυπτίων· οὗτοι δ' ἀπέχουσιν ἀμφὶ τὰ τετταράκοντα στάδια· πάνυ γάρ μοι, ἔφη, ἐμέλησεν, ὥστε εἰδέναι, ὁπόσον κατεῖχον χωρίον. 20. Οἱ δ' Αἰγύπτιοι, ἔφη ὁ Κῦρος, εἰπὲ, πῶς εἰσι τεταγμένοι· ὅτι εἶπας, πλὴν τῶν Αἰγυπτίων. Τούτους δ', ἔφη, οἱ μυριάρχαι ἔταττον εἰς ἑκατὸν πανταχῇ τὴν μυριοστὺν ἑκάστην· τοῦτον γὰρ σφισι καὶ οἴκοι νόμον ἔφασαν εἶναι τῶν τάξεων. Καὶ ὁ Κροῖσος μέντοι μάλα ἄκων συνεχώρησεν αὐτοῖς οὕτω τάττεσθαι· ἐβούλετο γὰρ ὁτιπλεῖστον ὑπερφαλαγγῆσαι τοῦ σοῦ στρατεύματος. Πρὸς τί δὴ, ἔφη ὁ Κῦρος, τοῦτο

ἐπιθυμῶν; Ὡς ναὶ μὰ Δί, ἔφη, τῷ περιττῷ κυκλωσόμενος. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ' οὗτοι ἂν εἰδεῖεν, εἰ οἱ κυκλούμενοι κυκλωθεῖεν.

21. Ἀλλ' ἃ μὲν παρά σου καιρὸς μαθεῖν, ἀκηκόαμεν· ὑμᾶς δὲ χρή, ὦ ἄνδρες, οὕτω ποιεῖν· νῦν μέν, ἐπειδὰν ἐνθένδε ἀπέλθητε, ἐπισκέψασθε καὶ τὰ τῶν ἵππων καὶ τὰ ὑμῶν αὐτῶν ὅπλα· (πολλάκις γὰρ μικροῦ ἐνδεία καὶ ἀνὴρ καὶ ἵππος καὶ ἅρμα ἀχρεῖον γίγνεται) αὔριον δὲ πρωΐ, ἕως ἂν ἐγὼ θύωμαι, πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως, ὅ τι ἂν πράττειν ἀεὶ καιρὸς ᾖ, μὴ τούτου ἡμῖν ἐνδέῃ· ἔπειτα δὲ σύ, ἔφη, ὦ Ἀράσπα, τὸ δεξιὸν κέρας ἔχε, ὥσπερ καὶ ἔχεις, καὶ οἱ ἄλλοι μυριάρχοι, ἥπερ νῦν ἔχετε· ὁμοῦ γὰρ τοῦ ἀγῶνος ὄντος, οὐδενὶ ἅρματι ἔτι καιρὸς τοὺς ἵππους μεταζευγνύναι. Παραγγείλατε δὲ τοῖς ταξιάρχοις καὶ λοχαγοῖς ἐπὶ φάλαγγος καθίστασθαι, εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον. Ὁ δὲ λόχος ἦν ἕκαστος εἰκοσιτέτταρες.

22. Καί τις εἶπε τῶν μυριάρχων, Καὶ δοκοῦμέν σοι, ἔφη, ὦ Κῦρε, ἱκανῶς ἔξειν, εἰς τοσούτους τεταγμένοι, πρὸς οὕτω βαθεῖαν φάλαγγα; Καὶ ὁ Κῦρος εἶπεν· Αἱ δὲ βαθύτεραι φάλαγγες, ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις τῶν ἐναντίων, τί σοι δοκοῦσιν, ἔφη, τοὺς πολεμίους βλάπτειν, ἢ τοὺς συμμάχους ὠφελεῖν; 23. Ἐγὼ μὲν γάρ, ἔφη, τοὺς εἰς ἑκατὸν τούτους ὁπλίτας εἰς μυρίους ἂν βουλοίμην μᾶλλον τετάχθαι· οὕτω γὰρ ἂν ἐλαχίστοις μαχοίμεθα. Ἐξ ὅσων μέντοι ἐγὼ τὴν φάλαγγα βαθυνῶ, οἶομαι ὅλην ἐνεργὸν

καὶ σύμμαχον ποιήσειν αὐτὴν ἑαυτῇ. 24. Ἀκοντιστὰς μὲν ἐπὶ τοῖς θωρακοφόροις τάξω, ἐπὶ δὲ τοῖς ἀκοντισταῖς τοξότας. Τούτους γὰρ πρωτοστάτας μὲν τίς ἂν τάττοι, οἳ καὶ αὐτοὶ ὁμολογοῦσι μηδεμίαν μάχην ὧν ὑπομεῖναι ἐκ χειρός; Προβεβλημένοι δὲ τοὺς θωρακοφόρους μενοῦσί τε, καὶ οἱ μὲν ἀκοντίζοντες, οἱ δὲ τοξεύοντες, ὑπὲρ τῶν πρόσθεν πάντων λυμανοῦνται τοὺς πολεμίους. Ὅ τι δ' ἄν τις κουρχῇ τοὺς ἐναντίους, δηλονότι παντὶ τούτῳ τοὺς συμμάχους κουφίζει. 25. Τελευταίους μέντοι στήσω τοὺς ἐπὶ πᾶσι καλουμένους. Ὥσπερ γὰρ οἰκίας οὔτε ἄνευ λιθολογήματος ὀχυροῦ, οὔτε ἄνευ τῶν στέγην τοιούντων οὐδὲν ὄφελος, οὕτως οὐδὲ φάλαγγος οὔτε ἄνευ τῶν πρώτων οὔτε ἄνευ τῶν τελευταίων, εἰ μὴ ἀγαθοὶ ἔσονται, ὄφελος οὐδέν. 26. Ἀλλ' ὑμεῖς τε, ἔφη, ὡς παραγγέλλω, τάττεσθε, καὶ ὑμεῖς οἱ τῶν πελταστῶν ἄρχοντες ἐπὶ τούτοις τοὺς λόχους ὡσαύτως καθίστατε· καὶ ὑμεῖς οἱ τῶν τοξοτῶν, ἐπὶ τοῖς πελτασταῖς ὡσαύτως. 27. Σὺ δέ, ὃς τῶν ἐπὶ πᾶσιν ἄρχεις, τελευταίους ἔχων τοὺς ἄνδρας, παράγγελλε τοῖς ἑαυτοῦ ἐφορᾶν τε ἑκάστῳ τοὺς καθ' ἑαυτόν, καὶ τοῖς μὲν τὸ δέον τοιοῦσιν ἐπικελεύειν, τοῖς δὲ καμνομένοις ἀτειλεῖν ἰσχυρῶς· ἢν δέ τις στρέφηται, προδιδόναι θέλων, θανάτῳ ζημιοῦν. Ἔργον γάρ ἐστι τοῖς μὲν πρωτοστάταις θαῤῥύνειν τοὺς ἑπομένους καὶ λόγῳ καὶ ἔργῳ· ὑμᾶς δὲ δεῖ, τοὺς ἐπὶ πᾶσι τεταγμένους, πλείω φόβον παρέχειν τοῖς κακοῖς τοῦ ἀπὸ τῶν πολεμίων. 28. Καὶ ὑμεῖς μὲν ταῦτα ποιεῖτε. Σὺ

δὲ, ὦ Εὐφράτα, ὃς ἄρχεις τῶν ἐπὶ ταῖς μηχαναῖς, οὕτω ποίει, ὅπως τὰ ζεύγη, τὰ τοὺς πύργους ἄγοντα, ἕψεται ὡς ἐγγύτατα τῆς φάλαγγος. 29. Σὺ δ', ὦ Δαοῦχα, ὃς ἄρχεις τῶν σκευοφόρων, ἐπὶ τοῖς πύργοις ἄγε πάντα τὸν τοιοῦτον στρατόν· οἱ δ' ὑπηρέται σου ἰσχυρῶς κολαζόντων τοὺς προϊόντας τοῦ καιροῦ, ἢ λειπομένους. 30. Σὺ δ', ὦ Καρδοῦχε, ὃς ἄρχεις τῶν ἁρμαμαξῶν, αἳ ἄγουσι τὰς γυναῖκας, κατάστησον αὐτὰς τελευταίας ἐπὶ τοῖς σκευοφόροις. Ἑπόμενα γὰρ ταῦτα πάντα καὶ πλήθους δόξαν παρέξει, καὶ ἐνδρεύειν ἡμῖν ἔξουσία ἔσται, καὶ τοὺς πολεμίους, ἢν κυκλοῦσθαι πειρῶνται, μείζω τὴν περιβολὴν ἀναγκάσει ποιεῖσθαι· ὅσῳ δ' ἂν μεῖζον χωρίον περιβάλλωνται, τοσούτῳ αὐτοὺς ἀσθενεστέρους ἀνάγκη γίγνεσθαι. 31. Καὶ ὑμεῖς μὲν οὕτω ποιεῖτε· σὺ δὲ, ὦ Ἀρτάβαζε, καὶ Ἀρταγέρσα, τὴν χιλιοστὺν ἑκάτερος τῶν σὺν ὑμῖν ἐπὶ τούτοις ἔχετε πεζῶν. 32. Καὶ σὺ, ὦ Φαρνοῦχε καὶ Ἀσιαδάτα, τὴν τῶν ἱππέων χιλιοστὺν, ἧς ἑκάτερος ὑμῶν ἄρχει, μὴ συγκατατάττετε εἰς τὴν φάλαγγα, ἀλλ' ὄπισθεν τῶν ἁρμαμαξῶν ἐξοπλίσθητε καθ' ὑμᾶς αὐτούς· ἔπειτα πρὸς ἡμᾶς ἥκετε σὺν τοῖς ἄλλοις ἡγεμόσιν. Οὕτω δὲ δεῖ ὑμᾶς παρεσκευάσθαι, ὡς πρώτους δεῆσον ὑμᾶς ἀγωνίζεσθαι. 33. Καὶ σὺ δὲ, ὁ ἄρχων τῶν ἐπὶ ταῖς καμήλοις ἀνδρῶν, ὄπισθεν τῶν ἁρμαμαξῶν ἐτάττου· ποίει δ', ὅ τι ἄν σοι παραγγέλλῃ Ἀρταγέρσας. 34. Ὑμεῖς δ', οἱ τῶν ἁρμάτων ἡγεμόνες, διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν πρὸ τῆς φάλαγ-

γος, τὰ μεθ' ἑαυτοῦ ἑκατὸν ἔχων ἅρματα καταστησάτω· αἱ δ' ἕτεραι ἑκατοστύες τῶν ἁρμάτων, ἡ μὲν κατὰ τὸ δεξιὸν πλευρὸν τῆς στρατιᾶς στοιχοῦσα, ἐπίσθω τῇ φάλαγγι ἐπὶ κέρως, ἡ δὲ κατὰ τὸ εὐώνυμον. 35. Κῦρος μὲν οὕτω διέταττεν.

Ἀβραδάτας δὲ ὁ Σούσων βασιλεὺς εἶπεν· Ἐγώ σοι, ὦ Κῦρε, ἐθελούσιος ὑφίσταμαι τὴν κατὰ πρόσωπον τῆς ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τί σοι ἄλλο δοκεῖ. 36. Καὶ ὁ Κῦρος, ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα συγχωρεῖτε; Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο, ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτοὺς, καὶ ἔλαχεν Ἀβραδάτας, ἥπερ ὑφίστατο, καὶ ἐγένετο κατὰ τοὺς Αἰγυπτίους. 37. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπιμεληθέντες, ὧν προεῖπον, ἐδειπνοποιοῦντο, καὶ φύλακας κατασησάμενοι ἐκοιμήθησαν.

CAPVT IV.

1. Τῇ δ' ὑστεραίᾳ πρωΐ μὲν ὁ Κῦρος ἐθύετο· ὁ δ' ἄλλος στρατὸς, ἀριστήσας καὶ σπονδὰς ποιησάμενος, ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ κύκλοις θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ' ὑπὸ τοῖς ἅρμασι, παραπλευριδίοις· ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

2. Καὶ τῷ Ἀβραδάτᾳ δὲ τὸ τετράρυμον ἅρμα καὶ

ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ' ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ περιβραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολιδωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. Ταῦτα δὲ ἐποιήσατο λάθρα τοῦ ἀνδρὸς, ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. 3. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε καὶ ἐπήρετο τὴν Πάνθειαν, Σὺ δήπου, ὦ γύναι, συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω; Μὰ Δί', ἔφη ἡ Πάνθεια, οὔκουν τόν γε πλείστου ἄξιον· σὺ γὰρ ἐμοιγ', ἣν καὶ τοῖς ἄλλοις φανῇς, οἷός περ ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσμος ἔσῃ. Ταῦτα δὲ λέγουσα ἅμα ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.

4. Ἐπεὶ δὲ, καὶ πρόσθεν ὢν ἀξιοθέατος, ὁ Ἀβραδάτης ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. 5. Ἐν δὲ τούτῳ ἡ Πάνθεια, ἀποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας, ἔλεξεν· Ἀλλ' ὅτι μέν, ὦ Ἀβραδάτα, εἴ τις καὶ ἄλλη πώποτε γυνὴ τὸν αὑτῆς ἄνδρα μεῖζον τῆς ἑαυτῆς ψυχῆς ἐτίμησεν, οἶμαί σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία τούτων εἰμί. Τί οὖν με δεῖ καθ' ἓν ἕκαστον λέγειν; τὰ γὰρ ἔργα οἶμαί σοι πιθανώτερα παρεσχῆσθαι τῶν νῦν λεχθέν-

των λόγων. 6. Ὅμως δ' οὕτως ἔχουσα πρός σε, ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν ἐμὴν καὶ σὴν φιλίαν, ἣ μὴν ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ, ἀνδρὸς ἀγαθοῦ γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον, ἢ ζῆν μετ' αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ τῶν καλλίστων καὶ ἐμαυτὴν ἠξίωκα. 7. Καὶ Κύρῳ δὲ δοκῶ μεγάλην τινὰ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με, αἰχμάλωτον γενομένην καὶ ἑλομένην ἑαυτῷ, οὔτε ὡς δούλην ἠξίωσε κεκτῆσθαι, οὔτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόματι· διεφύλαξε δέ σοι ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. 8. Πρὸς δὲ καὶ, ὅτε Ἀράσπας ἀπέστη αὐτοῦ, ὁ ἐμὲ φυλάττων, ὑπεσχόμην αὐτῷ ἐὰν μὲ ἐάσειε πρός σε πέμψαι, ἥξειν αὐτῷ σὲ πολὺ Ἀράσπα ἄνδρα καὶ πιστότερον καὶ ἀμείνονα.

9. Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτας, ἀγασθεὶς τοῖς λόγοις, καὶ θιγὼν αὐτῆς τῆς κεφαλῆς, ἀναβλέψας εἰς τὸν οὐρανόν, ἐπεύξατο· Ἀλλ', ὦ Ζεῦ μέγιστε, δός μοι φανῆναι ἄξιον μὲν Πανθείας ἀνδρί, ἄξιον δὲ καὶ Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος. Ταῦτα εἰπὼν, κατὰ τὰς θύρας τοῦ ἁρματείου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρμα. 10. Ἐπεὶ δὲ ἀναβάντος αὐτοῦ κατέκλεισε τὸν δίφρον ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια, πῶς ἂν ἔτι ἄλλως ἀσπάσαιτο αὐτὸν, κατεφίλησε τὸν δίφρον· καὶ τῷ μὲν προῆει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα αὐτὸν ὑπενεφείπετο, ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτας εἶπε, Θάρσει, Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη. 11. Ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι, λαβοῦσαι αὐτὴν,

ἀπῆγον εἰς τὴν ἁρμάμαξαν, καὶ κατακλίναντες κατεκάλυψαν τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ Θεάμαντος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὗ πρόσθεν ἐδύναντο Θεάσασθαι αὐτὸν, πρὶν ἢ Πάνθεια ἀπῆλθεν.

12. Ὡς δ' ἐκεκαλλιερήκει μὲν ὁ Κῦρος, ἡ στρατιὰ παρετέτακτο αὐτῷ, ὥσπερ παρήγγειλε, κατέχων σκοπὰς ἄλλας πρὸ ἄλλων, συνεκάλεσε τοὺς ἡγεμόνας, καὶ ἔλεξεν ὧδε· 13. Ἄνδρες φίλοι καὶ σύμμαχοι, τὰ μὲν ἱερὰ ἡμῖν οἱ Θεοὶ φαίνουσιν, οἷά περ, ὅτε τὴν πρόσθεν νίκην ἔδοσαν· ὑμᾶς δ' ἐγὼ βούλομαι ἀναμνῆσαι, ὧν μοι δοκεῖτε μεμνημένοι πολὺ ἂν εὐθυμότεροι εἰς τὸν ἀγῶνα ἰέναι. 14. Ἠσκήκατε μὲν γὰρ τὲ εἰς τὸν πόλεμον πολὺ μᾶλλον τῶν πολεμίων, συντέτραφθε δὲ καὶ συντέταχθε ἐν τῷ αὐτῷ πολὺ πλείω ἤδη χρόνον, ἢ οἱ πολέμιοι, καὶ συννενικήκατε μετ' ἀλλήλων· τῶν δὲ πολεμίων πολλοὶ μὲν συνήττηνται μετ' αὐτῶν· οἱ δὲ ἀμάχητοι ἑκατέρων, οἱ μὲν τῶν πολεμίων ἴσασιν, ὅτι προδότας τοὺς παραστάτας ἔχουσιν· ὑμεῖς δὲ, οἳ μεθ' ἡμῶν, ἴστε, ὅτι μετὰ θελόντων τοῖς συμμάχοις ἀρήγειν μάχεσθε. 15. Εἰκὸς δὲ τοὺς μὲν πιστεύοντας ἀλλήλοις ὁμονόως μάχεσθαι μένοντας· τοὺς δὲ ἀπιστοῦντας ἀναγκαῖον βουλεύεσθαι, πῶς ἂν ἕκαστοι τάχιστα ἐκποδὼν γένοιντο. 16. Ἴωμεν δὴ, ὦ ἄνδρες, ἐπὶ τοὺς πολεμίους, ἅρματα μὲν ἔχοντες ὡπλισμένα πρὸς ὅπλα τὰ τῶν πολεμίων, ὡς δ' αὕτως καὶ ἱππέας καὶ ἵππους ὡπλισμένους πρὸς ἀόπλους, ὡς ἐκ χειρὸς μάχεσθαι. 17. Πεζοῖς δὲ

τοῖς μὲν ἄλλοις, οἷς καὶ πρόσθεν, μαχεῖσθε· Λιγύπτιοι δὲ ὅμοίως μὲν ὡπλισμένοι εἰσὶν, ὁμοίως δὲ τεταγμένοι· τάς τε γὰρ ἀσπίδας μείζους ἔχουσιν, ἢ ὡς ποιεῖν τι καὶ ὁρᾶν· τεταγμένοι τε εἰς ἑκατὸν δῆλον ὅτι κωλύσουσιν ἀλλήλους μάχεσθαι, πλὴν πάνυ ὀλίγων. 18. Εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν πιστεύουσιν, ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέχειν, καὶ σιδήρῳ ὑφ' ἵππων ἰσχυριζομένῳ. Ἦν δέ τις αὐτῶν καὶ ὑπομείνῃ, πῶς ἅμα δυνήσεται ἱππομαχεῖν τε καὶ φαλαγγομαχεῖν καὶ πυργομαχεῖν; Καὶ γὰρ οἱ ἀπὸ τῶν πύργων ἡμῖν μὲν ἐπαρήξουσι, τοὺς δὲ πολεμίους παίοντες ἀμηχανεῖν ἀντὶ τοῦ μάχεσθαι ποιήσουσιν. 19. Εἰ δέ τινος ἔτι ἐνδεῖσθαι δοκεῖτε, πρὸς ἐμὲ λέγετε· σὺν γὰρ θεοῖς οὐδενὸς ἀπορήσομεν. Καὶ εἴ μέν τις εἰπεῖν τι βούλεται, λεξάτω· εἰ δὲ μή, ἐλθόντες πρὸς τὰ ἱερὰ, καὶ προσευξάμενοι οἷς ἐθύσαμεν θεοῖς, ἴτε ἐπὶ τὰς τάξεις· 20. καὶ ἕκαστος ὑμῶν ὑπομιμνησκέτω τοὺς μεθ' ἑαυτοῦ, ἅπερ ἐγὼ ὑμᾶς, καὶ ἐπιδεικνύτω τις τοῖς ἀρχομένοις ἑαυτὸν ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους.

НБ ОНУ ім. І.І. Мечникова

ΞΕΝΟΦΩΝΤΟΣ
ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Ζ.

CAPVT I.

Οἱ μὲν δὴ, εὐξάμενοι τοῖς θεοῖς, ἀπῆεσαν πρὸς τὰς τάξεις· τῷ δὲ Κύρῳ καὶ τοῖς ἀμφ' αὐτὸν προσήνεγκαν οἱ θεράποντες ἐμφαγεῖν καὶ ἐμπιεῖν, ἔτι οὔσιν ἀμφὶ τὰ ἱερά. Ὁ δὲ Κῦρος, ὥσπερ εἶχεν ἐστηκώς, ἀπαρξάμενος ἠρίστα, καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ· καὶ σπείσας καὶ εὐξάμενος ἔπιε, καὶ οἱ ἄλλοι δὲ οἱ περὶ αὐτὸν οὕτως ἐποίουν. Μετὰ δὲ ταῦτα αἰτησάμενος Δία πατρῷον, ἡγεμόνα εἶναι καὶ σύμμαχον, ἀνέβαινεν ἐπὶ τὸν ἵππον, καὶ τοὺς ἀμφ' αὐτὸν ἐκέλευσεν. 2. Ὡπλισμένοι δὲ πάντες ἦσαν οἱ περὶ τὸν Κῦρον τοῖς αὐτοῖς Κύρῳ ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαίραις, παλτῷ κραὲϊνῳ ἑνὶ ἕκαστος· οἱ δὲ ἵπποι προμετωπιδίοις καὶ προστερνιδίοις καὶ παραμηριδίοις χαλκοῖς· τὰ δ' αὐτὰ ταῦτα παραμηρίδια ἦν καὶ τῷ ἀνδρί. Τοσοῦτο δὲ μόνον διέφερον τὰ Κύρου ὅπλα, ὅτι τὰ μὲν ἄλλα ἐκέχριστο τῷ χρυσοειδεῖ χρώματι, τὰ δὲ Κύρου ὅπλα ὥσπερ κάτοπτρον ἔξέλαμπεν. 3. Ἐπεὶ δὲ ἀνέβη, καὶ ἔστη ἀποβλέπων,

НБ ОНУ імені І.І. Мечникова

ἥπερ ἔμελλε πορεύεσθαι, βροντὴ δεξιὰ ἐφθέγξατο· ὁ δ' εἶπεν, Ἑψόμεθά σοι, ὦ Ζεῦ μέγιστε. Καὶ ὡρμᾶτο μὲν, ἐν δεξιᾷ ἔχων Χρυσάνταν τὸν ὕπαρχον καὶ τοὺς ἱππέας, ἐν ἀριστερᾷ δὲ Ἀρσάμαν καὶ τοὺς πεζούς. 4. Παρηγγύησε δὲ παρορᾶν πρὸς τὸ σημεῖον, καὶ ἐν ἴσῳ ἕπεσθαι· ἦν δ' αὐτῷ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. Καὶ νῦν δὲ ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει. Πρὶν δὲ ὁρᾶν τοὺς πολεμίους, εἰς τρὶς ἀνέπαυσε τὸ στράτευμα.

5. Ἐπεὶ δὲ προεληλύθεισαν ὡς εἴκοσι σταδίους, ἦρχοντο ἤδη τὸ τῶν πολεμίων στράτευμα ἀντιπροσιὸν παρορᾶν. Ὡς δ' ἐν τῷ καταφανεῖ πάντες ἀλλήλοις ἐγένοντο, καὶ ἔγνωσαν οἱ πολέμιοι πολὺ ἑκατέρωθεν ὑπερφαλαγγοῦντες, στήσαντες τὴν ἑαυτῶν φάλαγγα, (οὐ γάρ ἐστιν ἄλλως κυκλοῦσθαι) ἐπέκαμπτον εἰς κύκλωσιν, ὥσπερ γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσαντες, ὡς πάντοθεν ἅμα μάχοιντο. 6. Κῦρος δὲ ὁρῶν ταῦτα, οὐδέν τι μᾶλλον ἀφίστατο, ἀλλ' ὡσαύτως ἠγεῖτο. Κατανοῶν δὲ, ὡς πρόσω τὸν καμπτῆρα ἑκατέρωθεν ἐποιήσαντο, περὶ ὃν κάμπτοντες ἀνέτεινον τὰ κέρατα, Ἐννοεῖς, ἔφη, ὦ Χρυσάντα, ἔνθα τὴν ἐπικαμπὴν ποιοῦνται; Πάνυ γε, ἔφη ὁ Χρυσάντας, καὶ θαυμάζω γε· πολὺ γάρ μοι δοκοῦσιν ἀποσπᾶν τὰ κέρατα ἀπὸ τῆς ἑαυτῶν φάλαγγος. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, καὶ ἀπό γε τῆς ἡμετέρας. 7. Τί δὴ τοῦτο, Δηλονότι, ἔφη, φοβούμενοι, μὴ, ἢν ἐγγὺς ἡμῶν γένηται τὰ κέρατα, τῆς φάλαγγος ἔτι

πρόσω οὔσης, ἐπιθώμεθα αὐτοῖς. Ἔπειτα, ἔφη ὁ Χρυσάντας, πῶς δυνήσονται ὠφελεῖν οἱ ἕτεροι τοὺς ἑτέρους, οὕτω πολὺ ἀπέχοντες ἀλλήλων; Ἀλλὰ δῆλον, ἔφη ὁ Κῦρος, ὅτι, ἡνίκα ἂν γένηται τὰ κέρατα ἀναβαίνοντα κατ' ἀντιπέρας τῶν πλαγίων τοῦ ἡμετέρου στρατεύματος, στραφέντες ὡς εἰς φάλαγγα ἅμα πάντοθεν ἡμῖν προσίασιν, ὡς ἅμα πάντοθεν μαχούμενοι. 8. Οὐκοῦν, ἔφη ὁ Χρυσάντας, εὖ σοι δοκοῦσι βουλεύεσθαι; Πρός γε ἃ ὁρῶσι· πρὸς δὲ ἃ οὐχ ὁρῶσιν, ἔτι κάκιον, ἢ εἰ κατὰ κέρας προσῄεσαν. Ἀλλὰ σὺ μέν, ἔφη, ὦ Ἀρσάμα, ἡγοῦ τῷ πεζῷ ἡμῶν, ὥσπερ ἐμὲ ὁρᾷς· καὶ σύ, ὦ Χρυσάντα, ἐν ἴσῳ τούτῳ τὸ ἱππικὸν ἔχων συμπαρέπου. Ἐγὼ δὲ ἅπειμι ἐκεῖσε, ὅθεν μοι δοκεῖ καιρὸς εἶναι ἄρχεσθαι τῆς μάχης· ἅμα δὲ παριὼν ἐπισκέψομαι ἕκαστα, πῶς ἡμῖν ἔχει. 9. Ἐπειδὰν δὲ ἐκεῖ γένωμαι, ὅταν ἤδη ὁμοῦ προσιόντες ἀλλήλοις γιγνώμεθα, παιᾶνα ἐξάρξω, ὑμεῖς δὲ ἐφέπεσθε. Ἡνίκα δ' ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε μέν, (οὐ γάρ, οἶμαι, ὀλίγος θόρυβος ἔσται) ὁρμήσεται δὲ τηνικαῦτα Ἀβραδάτας ἤδη σὺν τοῖς ἅρμασιν εἰς τοὺς ἐναντίους· οὕτω γὰρ αὐτῷ εἰρήσεται· ὑμᾶς δὲ χρὴ ἕπεσθαι ἐχομένους ὅτι μάλιστα τῶν ἁρμάτων· οὕτω γὰρ μάλιστα τοῖς πολεμίοις τεταραγμένοις ἐπιπεσούμεθα. Παρέσομαι δὲ καὶ ἐγὼ, ἢ ἂν δύνωμαι τάχιστα διώκων τοὺς ἄνδρας, ἢν οἱ θεοὶ ἐθέλωσι.

10. Ταῦτα εἰπὼν, καὶ σύνθημα παρεγγυήσας, ΖΕΥΣ ΣΩΤΗΡ ΚΑΙ ΗΓΕΜΩΝ, ἐπορεύετο. Μεταξὺ δὲ

τῶν ἁρμάτων καὶ τῶν θωρακοφόρων διαπορευόμενος, ὁπότε προσβλέψειέ τινας τῶν ἐν ταῖς τάξεσι, τοτὲ μὲν εἶπεν ἄν, Ὦ ἄνδρες, ὡς ἡδὺ, ὑμῶν τὰ πρόσωπα θεάσασθαι, τοτὲ δ' αὖ ἐν ἄλλοις ἂν ἔλεξεν, Ἆρα ἐντοσοῦτε, ἄνδρες, ὅτι ὁ νῦν ἀγὼν ἐστιν οὐ μόνον περὶ τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν, ἣν ἐνικήσατε, καὶ περὶ πάσης εὐδαιμονίας; 11. Ἐν ἄλλοις δ' ἂν προϊὼν εἶπεν· Ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε οὐδέν ποτε θεοὺς αἰτιατέον ἔτι ἔσται· παραδεδώκασι γὰρ ἡμῖν πολλά τε καὶ μεγάλα ἀγαθὰ κτήσασθαι. Ἀλλ', ὦ ἄνδρες, ἀγαθοὶ γενώμεθα. 12. Κατ' ἄλλους δ' αὖ τοιάδε· Ὦ ἄνδρες, εἰς τίνα ποτ' ἂν καλλίονα ἔραν ον ἀλλήλους παρακαλέσαιμεν, ἢ εἰς τόνδε, νῦν γὰρ ἔξεστιν ἀγαθοῖς ἀνδράσι γενομένοις πολλὰ ἀγαθὰ ἀλλήλοις εἰσενεγκεῖν. 13. Κατ' ἄλλους δ' αὖ· Ἐπίστασθε μὲν, οἶμαι, ὦ ἄνδρες, ὅτι νῦν ἆθλα πρόκειται τοῖς νικῶσι μὲν διώκειν, παίειν, καταπαίνειν, ἀγαθὰ ἔχειν, καλὰ ἀκούειν, ἐλευθέροις εἶναι, ἄρχειν· τοῖς δὲ κακοῖς δηλονότι τἀναντία τούτων. Ὅστις οὖν ἑαυτὸν φιλεῖ, μετ' ἐμοῦ μαχέσθω· ἐγὼ γὰρ οὐδὲν κακὸν, οὐδ' αἰσχρὸν ἑκὼν εἶναι προήσομαι. 14. Ὁπότε δ' αὖ γένοιτο καὶ τινας τῶν πρόσθεν συμμαχεσαμένων, εἶπεν ἄν· Πρὸς δὲ ὑμᾶς τί δεῖ λέγειν, ὦ ἄνδρες; ἐπίστασθε γάρ, οἵαν τε οἱ ἀγαθοὶ ἐν ταῖς μάχαις ἡμέραν ἄγουσι, καὶ οἵαν οἱ κακοί.

15. Ὡς δὲ παριὼν κατὰ Ἀβραδάταν ἐγένετο, ἔστη· καὶ ὁ Ἀβραδάτας, παραδοὺς τῷ ὑφηνιόχῳ τὰς ἡνίας, προσῆλθεν αὐτῷ· προσέδραμον δὲ καὶ οἱ ἄλλοι τῶν

πλησίον τεταγμένων καὶ πεζῶν καὶ ἁρματηλατῶν. Ὁ δ' αὖ Κῦρος ἐν τοῖς παραγεγενημένοις ἔλεξε τοιάδε· Ὁ μὲν Θεὸς, ὦ Ἀβραδάτα, ὥσπερ σὺ ἠξίους, συνηξίωσε σὲ καὶ τοὺς σὺν σοὶ πρωτοστάτας εἶναι τῶν συμμάχων· σὺ δὲ τοῦτο μέμνησο, ὅταν δέῃ σε ἤδη ἀγωνίζεσθαι, ὅτι Πέρσαι οὔ τε Θεασόμενοι ὑμᾶς ἥκουσι, καὶ οἱ ἑψόμενοι ὑμῖν, καὶ οὐκ ἐάσοντες ἐρήμους ὑμᾶς ἀγωνίζεσθαι. 16. Καὶ ὁ Ἀβραδάτας εἶπεν, Ἀλλὰ τὰ μὲν καθ' ἡμᾶς ἔμοιγε δοκεῖ, ὦ Κῦρε, καλῶς ἔχειν· ἀλλὰ τὰ πλάγια λυπεῖ με, ὅτι τὰ μὲν τῶν πολεμίων κέρατα ἰσχυρὰ ὁρῶ ἀνατεινόμενα καὶ ἅρμασι καὶ παντοδαπῇ στρατιᾷ· ἡμέτερον δ' οὐδὲν ἄλλο αὐτοῖς ἀντιτέτακται, ἢ ἅρματα· ὥστ' ἐγώ, ἔφη, εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ἡσχυνόμην ἂν ἐνθάδε ὤν· οὕτω πολύ μοι δοκῶ ἐν ἀσφαλεστάτῳ εἶναι. 17. Καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ' εἰ τὰ παρὰ σοὶ καλῶς ἔχει, θάρρει ὑπὲρ ἐκείνων· ἐγὼ γάρ σοι, σὺν Θεοῖς, ἔρημα τῶν πολεμίων τὰ πλάγια ταῦτα ἀποδείξω. Καὶ σὺ μὴ πρότερον ἔμβαλλε τοῖς πολεμίοις, διαμαρτύρομαι, πρὶν ἂν φεύγοντας τούτους, οὓς νῦν φοβῇ, θεάσῃ· (τοιαῦτα δ' ἐμεγαληγόρει, μελλούσης τῆς μάχης γίγνεσθαι· ἄλλως δ' οὐ μάλα μεγαληγορος ἦν) ὅταν μέντοι, ἔφη, τούτους ἴδῃς φεύγοντας, ἐμέ τε ἤδη παρεῖναι νόμιζε, καὶ ὅρμα εἰς τοὺς ἄνδρας· καὶ σὺ γὰρ τότε τοῖς μὲν ἐναντίοις κακίστοις ἂν χρήσαιο, τοῖς δὲ μετὰ σαυτοῦ ἀρίστοις. 18. Ἀλλ' ἕως ἐστί σοι σχολὴ, ὦ Ἀβραδάτα, πάντως παρελάσας πρὸ τὰ σαυτοῦ ἅρματα, παρακάλει

τοὺς σὺν σοι εἰς τὴν ἐμβολὴν, τῷ μὲν προσώπῳ παραθαῤῥύνων, ταῖς δ' ἐλπίσιν ἐπικουφίζων. Ὅπως δὲ κράτιστοι φανεῖσθε τῶν ἐπὶ τοῖς ὅπλοις, φιλονεικίαν αὐτοῖς ἔμβαλλε· καὶ γὰρ, εὖ ἴσθι, ἢν τάδε εὖ γένηται, πάντες ἐροῦσι τολοιπὸν μηδὲν εἶναι κερδαλεώτερον ἀρετῆς. Ὁ μὲν δὴ Ἀβραδάτας ἀναβὰς παρῄνεσε, καὶ ταῦτα ἐποίει.

19. Ὁ δ' αὖ Κῦρος παριὼν, ὡς ἐγένετο πρὸς τῷ εὐωνύμῳ, ἔνθα Ὑστάσπας τοὺς ἡμίσεις ἔχων ἦν τῶν Περσῶν ἱππέων, ὀνομάσας αὐτὸν, εἶπεν, Ὦ Ὑστάσπα, νῦν ὁρᾷς ἔργον τῆς σῆς ταχυεργίας· νῦν γὰρ, εἰ φθάσομεν τοὺς πολεμίους κατακτανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται. 20. Καὶ ὁ Ὑστάσπας ἐπιγελάσας εἶπεν, Ἀλλὰ περὶ μὲν τῶν ἐξ ἐναντίας ἡμῖν μελήσει· τοὺς δ' ἐκ πλαγίου σὺ ἄλλοις πρόσταξον, ὅπως μηδ' οὗτοι σχολάζωσι. Καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ' ἐπί γε τούτους ἐγὼ αὐτὸς ἀπέρχομαι· ἀλλ', ὦ Ὑστάσπα, τόδε μέμνησο· ὅτῳ ἂν ἡμῶν ὁ θεὸς νίκην διδῷ, ἦν τί που μένῃ πολέμιον, πρὸς τὸ μαχόμενον ἀεὶ συμβάλλωμεν. 21. Ταῦτα εἰπὼν προῆει. Ἐπεὶ δὲ κατὰ τὸ πλευρὸν προῖών ἐγένετο, καὶ κατὰ τὸν ἄρχοντα τῶν ταύτῃ ἁρμάτων, πρὸς τοῦτον ἔλεξεν, Ἐγὼ δ' ἔρχομαι ὑμῖν ἐπικουρήσων· ἀλλ' ὁπόταν αὖσθησθε ἡμᾶς ἐπιτιθεμένους κατ' ἄκρον, τότε καὶ ὑμεῖς πειρᾶσθε ὅμα διὰ τῶν πολεμίων ἐλαύνειν· πολὺ γὰρ ἐν ἀσφαλεστέρῳ ἔσεσθε, ἔξω γενόμενοι, ἢ ἔνδον ἀπολαμβανόμενοι. 22. Ἐπεὶ δ' αὖ παριὼν ἐγένετο ὄπισθεν τῶν ἁρμαμαξῶν, Ἀρταγέρσαν μὲν καὶ Φαρνοῦχον

ἐκέλευσεν, ἔχοντας τὴν τε τῶν πεζῶν χιλιοστὺν καὶ τὴν τῶν ἱππέων, μένειν αὐτοῦ. Ἐπειδὰν δὲ, ἔφη, αἰσθάνησθε ἐμοῦ ἐπιτιθεμένου τοῖς κατὰ τὸ δεξιὸν κέρας, τότε καὶ ὑμεῖς τοῖς καθ' ὑμᾶς ἐπιχειρεῖτε· μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ᾗπερ ἀσθενέστερον στράτευμα γίγνεται, φάλαγγα δ' ἔχοντες, ᾗπερ ἰσχυρότεροι ἂν εἶητε. Καὶ εἰσὶ μὲν, ὡς ὁρᾶτε, τῶν πολεμίων ἱππεῖς οἱ ἔσχατοι· πάντως δὲ πρόσεστε πρὸς αὐτοὺς τὴν τῶν καμήλων τάξιν, καὶ εὖ ἴστε, ὅτι καὶ πρὶν μάχεσθαι γελοίους τοὺς πολεμίους θεάσεσθε.

23. Ὁ μὲν δὴ Κῦρος ταῦτα διαπραξάμενος ἐπὶ τὸ δεξιὸν παρῆει· ὁ δὲ Κροῖσος, νομίσας ἤδη ἐγγύτερον εἶναι τῶν πολεμίων τὴν φάλαγγα, σὺν ᾗ αὐτὸς ἐπορεύετο, ἢ τὰ ἐπανατεινόμενα κέρατα, ᾗπερ τοῖς κερασι σημεῖον, μηκέτι ἄνω πορεύεσθαι, ἀλλ' αὐτοῦ ἐν τῇ χώρᾳ στραφῆναι. Ὡς δ' ἔστησαν ἀντία πρὸς τὸ τοῦ Κύρου στράτευμα ὁρῶντες, ἐσήμαινεν αὐτοῖς πορεύεσθαι πρὸς τοὺς πολεμίους. 24. Καὶ οὕτω προσῆεσαν τρεῖς φάλαγγες ἐπὶ τὸ Κύρου στράτευμα· ἡ μὲν μία, κατὰ πρόσωπον· τὼ δὲ δύο, ἡ μὲν κατὰ τὸ δεξιόν, ἡ δὲ κατὰ τὸ εὐώνυμον· ὥστε πολὺν φόβον παρεῖναι πάσῃ τῇ Κύρου στρατιᾷ. Ὥσπερ γὰρ μικρὸν πλινθίον ἐν μεγάλῳ τεθὲν, οὕτω καὶ τὸ Κύρου στράτευμα πάντοθεν περιείχετο ὑπὸ τῶν πολεμίων, καὶ ἱππεῦσι, καὶ ὁπλίταις, καὶ πελτοφόροις, καὶ τοξόταις, καὶ ἅρμασι, πλὴν ἐξόπισθεν. 25. Ὅμως δὲ καὶ ὁ Κῦρος ἐπεὶ παρήγγειλεν, ἐστράφησαν πάντες

ἀντιπρόσωποι τοῖς πολεμίοις· καὶ ἦν μὲν πολλὴ πανταχόθεν σιγὴ ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν· ἡνίκα δὲ ἔδοξε τῷ Κύρῳ καιρὸς ἤδη εἶναι, ἐξῆρχε παιᾶνα, συνεπῄχησε δὲ πᾶς ὁ στρατός. 26. Μετὰ δὲ τοῦτο τῷ Ἐνυαλίῳ ἅμα ἐπηλάλαξαν, καὶ ἐξανίσταται ὁ Κῦρος, καὶ εὐθὺς μὲν μετὰ τῶν ἱππέων, λαβὼν πλαγίους τοὺς πολεμίους, ὁμόσε αὐτοῖς τὴν ταχίστην συνεμίγνυεν· οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι ταχὺ ἐφείποντο, καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν, ὥστε πολὺ ἐπλεονέκτει. Φάλαγγι γὰρ κατὰ κέρας προσέβαλλεν· ὥστε ταχὺ ἰσχυρὰ φυγὴ ἐγένετο τοῖς πολεμίοις.

27. Ὡς δ' ἤσθετο ὁ Ἀρταγέρσης ἐν ἔργῳ ὄντα τὸν Κῦρον, ἐπιτίθεται καὶ αὐτὸς κατὰ τὰ εὐώνυμα, προεὶς τὰς καμήλους, ὥσπερ Κῦρος ἐκέλευεν. Οἱ δὲ ἵπποι αὐτὰς ἐκ πάνυ πολλοῦ οὐκ ἐδέχοντο, ἀλλ' οἱ μὲν ἔκφρονες γιγνόμενοι ἔφευγον, οἱ δ' ἐξήλλοντο, οἱ δ' ἐνέπιπτον ἀλλήλοις. Τοιαῦτα γὰρ πάσχουσιν ἵπποι ὑπὸ καμήλων. 28. Ὁ δὲ Ἀρταγέρσης, συντεταγμένους ἔχων τοὺς μεθ' ἑαυτοῦ, ταραττομένοις ἐπέκειτο, καὶ τὰ ἅρματα δὲ τὰ κατὰ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον ἅμα ἐνέβαλλε. Καὶ πολλοὶ μὲν τὰ ἅρματα φεύγοντες ὑπὸ τῶν κατὰ κέρας ἑπομένων ἀπεθνῄσκον, πολλοὶ δὲ τούτους φεύγοντες ὑπὸ τῶν ἁρμάτων ἠλίσκοντο.

29. Καὶ ὁ Ἀβραδάτας δὲ οὐκέτι ἔμελλεν, ἀλλὰ ἰσχυρῶς ἀναβοήσας, Ἄνδρες φίλοι, ἕπεσθε, ἐνίει, οὐδὲν φειδόμενος τῶν ἵππων, ἀλλὰ ἐξαιμάττων κατὰ πολὺ τῷ κέντρῳ. Συνεξώρμησαν δὲ καὶ οἱ ἄλλοι

ἁρματηλάται· καὶ τὰ μὲν ἅρματα ἔφευγεν αὐτοὺς εὐθὺς, τὰ μὲν καὶ ἀναλαβόντα τοὺς παραιβάτας, τὰ δὲ καὶ ἀπολιπόντα. 30. Ὁ δὲ Ἀβραδάτας ἀντικρὺ δι' αὐτῶν εἰς τὴν τῶν Αἰγυπτίων φάλαγγα ἐμβάλλει· συνεισέβαλον δὲ αὐτῷ καὶ οἱ ἐγγύτατα τεταγμένοι. Πολλαχοῦ μὲν οὖν καὶ ἄλλοθι δῆλον, ὡς οὐκ ἔστιν ἰσχυροτέρα φάλαγξ, ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν. Οἱ μὲν γὰρ ἑταῖροί τε αὐτοῦ καὶ ὁμοτράπεζοι συνεισέβαλον· οἱ δὲ ἄλλοι ἡνίοχοι, ὡς εἶδον ὑπομένοντας πολλῷ στίφει τοὺς Αἰγυπτίους, ἐξέκλιναν κατὰ τὰ φεύγοντα ἅρματα, καὶ τούτοις ἐφείποντο. 31. Οἱ δὲ ἀμφὶ Ἀβραδάταν, ἢ μὲν ἐνέβαλον, ἅτε οὐ δυναμένων διαχάσασθαι τῶν Αἰγυπτίων, (διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν αὐτῶν) τοὺς μὲν ὀρθοὺς τῇ ῥύμῃ τῇ τῶν ἵππων παίοντες ἀνέτρεπον, τοὺς δὲ πίπτοντας κατηλόων, καὶ αὐτοὺς καὶ ὅπλα, καὶ ἵπποις καὶ τροχοῖς. Ὅτου δὲ ἐπιλάβοιτο τὰ δρέπανα, πάντα βίᾳ διεκόπτετο, καὶ ὅπλα καὶ σώματα. 32. Ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ, ὑπὸ τῶν παντοδαπῶν σωρευμάτων ἐξαλλομένων τῶν τροχῶν, ἐκπίπτει ὁ Ἀβραδάτας καὶ ἄλλοι δὲ τῶν συνεισβαλόντων. Καὶ οὗτοι μὲν ἐνταῦθα, ἄνδρες ἀγαθοὶ γενόμενοι, κατεκόπησαν καὶ ἀπέθανον· οἱ δὲ Πέρσαι συνεπισπόμενοι, ἢ μὲν ὁ Ἀβραδάτας ἐνέβαλε καὶ οἱ σὺν αὐτῷ, ταύτῃ ἐπεισπεσόντες, τεταραγμένους ἐφόνευον· ἢ δὲ ἀπαθεῖς ἐγένοντο οἱ Αἰγύπτιοι, (πολλοὶ δὲ οὗτοι ἦσαι) ἐχώρουν ἐναντίοι τοῖς Πέρσαις.

33. Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ πλήθει καὶ τοῖς ὅπλοις. Τά τε γὰρ δόρατα ἰσχυρά τε καὶ μακρὰ, (ἃ ἔτι καὶ νῦν ἔχουσι) αἵ τε ἀσπίδες πολὺ μᾶλλον τῶν θωράκων καὶ τῶν γέρρων καὶ στεγάζουσι τὰ σώματα, καὶ πρὸς τὸ ὠθεῖσθαι συνεργάζονται, πρὸς τοῖς ὤμοις οὖσαι. Συγκλείσαντες οὖν τὰς ἀσπίδας ἐχώρουν καὶ ἐώθουν. 34. Οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέχειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέρρα ἔχοντες, ἀλλ' ἐπὶ πόδα ἀνεχάζοντο παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ ταῖς μηχαναῖς ἐγένοντο. Ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον, ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν πύργων· καὶ οἱ ἐπὶ πᾶσι δὲ οὐκ εἶων φεύγειν οὔτε τοὺς τοξότας, οὔτε τοὺς ἀκοντιστὰς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠνάγκαζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. 35. Ἦν δὲ πολὺς μὲν ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παντοδαπῶν, πολλὴ δὲ βοὴ, τῶν μὲν ἀνακαλούντων ἀλλήλους, τῶν δὲ παρακελευομένων, τῶν δὲ θεοὺς ἐπικαλουμένων.

36. Ἐν δὲ τούτῳ Κῦρος, οἷα ὢν τοὺς καθ' ἑαυτὸν, παραγίνεται. Ὡς δὲ εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας ἐωσμένους, ἤλγησέ τε, καὶ γνοὺς, ὅτι οὐδαμῶς ἂν θᾶττον σχοίη τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου, ἢ εἰ εἰς τὸ ὄπισθεν περιελάσειεν αὐτῶν, παραγγείλας ὄπισθαι τοῖς μεθ' ἑαυτοῦ, περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰσπεσόντες παίουσιν ἀφορῶντας, καὶ πολλοὺς κατακαίνουσιν. 37. Οἱ δὲ Αἰγύπτιοι ὡς ἤσθοντο, ἐβόων τε, ὅτι ὄπισθεν οἱ πολέμιοι, καὶ

ἐστρέφοντο ἐν ταῖς πληγαῖς. Καὶ ἐνταῦθα δὴ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς, πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ· ὁ δὲ ἵππος πληγείς, σφαδάζων ἀποσείεται τὸν Κῦρον. 38. Ἔνθα δὴ ἔγνω ἄν τις, ὅσου ἄξιον εἴη τὸ φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν ἀρχομένων. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες, καὶ προσπεσόντες ἐμάχοντο, ἐῶθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. Καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν τοῦ Κύρου ὑπηρετῶν, ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. 39. Ὡς δὲ ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι, καὶ Χρυσάντας. Ἀλλὰ τούτους ἐμβαλεῖν μὲν οὐκέτι εἶα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. Ὡς δὲ ἐγένετο περιελαύνων παρὰ τὰς μηχανάς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ τῶν πύργων τινά, καὶ κατασκέψασθαι, εἴ τί πη καὶ ἄλλοι μένοιεν τῶν πολεμίων καὶ μάχοιντο. 40. Ἐπεὶ δὲ ἀνέβη, κατεῖδε μεσὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων, κρατουμένων· μένον δ' οὐδαμοῦ οὐδὲν ἔτι ἠδύνατο κατιδεῖν, πλὴν τῶν Αἰγυπτίων. Οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, κύκλον ποιησάμενοι, ὥστε δρᾶσθαι πάντοθεν τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.

41. Ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς, καὶ οἰκτείρων, ὅτι ἀγαθοὶ ἄνδρες ὄντες ἀπόλοιντο, ἀνεχώρισέ τε πάν-

τας τοὺς περιμαχουένους, καὶ μάχεσθαι οὐδένα ἔτι εἶα. Πέμπει δὲ πρὸς αὐτοὺς κήρυκα, ἐρωτῶν, πότερα βούλονται ἀπολέσθαι πάντες ὑπὲρ τῶν προδεδωκότων αὐτούς, ἢ σωθῆναι, ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι. Οἱ δ' ἀπεκρίναντο, Πῶς δ' ἂν ἡμεῖς σωθείημεν, ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι; 42. Ὁ δὲ Κῦρος πάλιν ἔλεγεν, Ὅτι ἡμεῖς ὑμᾶς ὁρῶμεν μόνους καὶ μένοντας καὶ μάχεσθαι θέλοντας. Ἀλλὰ τοὐντεῦθεν, ἔφασαν οἱ Λίγυπτιοι, τί καὶ καλὸν ἂν ποιοῦντες σωθείημεν; Καὶ ὁ Κῦρος αὖ πρὸς τοῦτο εἶπεν, Εἰ τῶν τε συμμαχομένων μηδένα προδόντες σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενόμενοι τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι. 43. Ἀκούσαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; Ἀπεκρίνατο ὁ Κῦρος, Εὖ ποιεῖν καὶ εὖ πάσχειν. Ἐπηρώτων πάλιν οἱ Λίγυπτιοι, Τίνα εὐεργεσίαν; Πρὸς τοῦτο εἶπεν ὁ Κῦρος, Μισθὸν ὑμῖν δοίην ἂν πλείονα, ἢ νῦν ἐλαμβάνετε, ὅσον ἂν χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης, τῷ βουλομένῳ ὑμῶν μένειν παρ' ἐμοὶ χώραν τε δώσω, καὶ πόλις, καὶ γυναῖκας, καὶ οἰκέτας. 44. Ἀκούσαντες ταῦτα οἱ Λίγυπτιοι, τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν ὀφλεῖν σφίσιν ἐδεήθησαν· (τοῦτο γὰρ μόνῳ συγγιγνώσκεσθαι ἔφασαν) τὰ δ' ἄλλα συνομολογήσαντες, ἔδοσαν πίστιν καὶ ἔλαβον. 45. Καὶ οἱ Λίγυπτιοί τε, οἳ καταμείναντες τότε, ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι· Κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Λιγυπτίων

καλοῦνται, Λάρισσαν δὲ καὶ Κυλλήνην, παρὰ Κύμην, πλησίον θαλάσσης, ὡς ἔτι καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχουσι. Ταῦτα διαπραξάμενος ὁ Κῦρος, ἤδη σκοταῖος ἀναγαγὼν ἐστρατοπεδεύσατο ἐν Θυμβράροις.

46. Ἐν δὲ τῇ μάχῃ τῶν μὲν πολεμίων Αἰγύπτιοι μόνοι εὐδοκίμησαν· τῶν δὲ σὺν Κύρῳ τὸ Περσῶν ἱππικὸν κράτιστον ἔδοξεν εἶναι· ὥστε ἔτι καὶ νῦν διαμένει ἡ ὅπλισις, ἣν τότε Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. 47. Εὐδοκίμησε δὲ ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα· ὥστε καὶ τοῦτο ἔτι καὶ νῦν διαμένει τὸ πολεμιστήριον τῷ ἀεὶ βασιλεύοντι. 48. Αἱ μέντοι κάμηλοι ἐφόβουν μόνον τοὺς ἵππους, οὐ μέντοι κατέκαινόν γε οὐ ἐπ' αὐτῶν ἱππεῖς, οὐδ' αὐτοί γε ἀπέθνησκον ὑπὸ ἱππέων· οὐδεὶς γὰρ ἵππος ἐπέλαζε. 49. Καὶ χρήσιμον μὲν ἐδόκει εἶναι· ἀλλὰ γὰρ οὔτε τρέφειν οὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον, ὥστ' ἐπιχειρεῖσθαι, οὔτε μελετᾷν, ὡς πολεμίων ἀπὸ τούτων. Οὕτω δὴ ἀπολαβοῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα, ἐν τοῖς σκευοφόροις διάγουσι.

CAP. II.

1. Καὶ οἱ μὲν ἀμφὶ τὸν Κῦρον, δειπνοποιησάμενοι καὶ φύλακας καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθησαν. Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ στρατεύματι· τὰ δ' ἄλλα φῦλα ὅποι ἐδύνατο προσωτάτω ἐν τῇ νυκτὶ τῆς ἐπ' οἶκον ὁδοῦ ἕκαστος ἀπεχώρει. 2. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγεν ὁ Κῦρος. Ὡς δ' ἐγένετο πρὸς τῷ τείχει

τῇ ἐν Σάρδεσι, τάς τε μηχανὰς ἀνίστη, ὡς προσβαλῶν πρὸς τὸ τεῖχος, καὶ κλίμακας παρεσκευάζετο. 3. Ταῦτα δὲ ποιῶν, κατὰ τὰ ἀποτομώτατα δοκοῦντα εἶναι τοῦ Σαρδιανῶν ἑρύματος τῆς ἐπιούσης νυκτὸς ἀναβιβάζει Χαλδαίους τε καὶ Πέρσας. Ἡγήσατο δ' αὐτοῖς ἀνὴρ Πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν, καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. 4. Ὡς δὲ ἐγένετο τοῦτο δῆλον, ὅτι εἵχετο τὰ ἄκρα, πάντες δὴ ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅπη ἠδύνατο ἕκαστος τῆς πόλεως. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσῄει εἰς τὴν πόλιν, καὶ παρήγγειλεν, ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. 5. Ὁ δὲ Κροῖσος, καταλιπόμενος ἐν τοῖς βασιλείοις, Κῦρον ἐβόα· ὁ δὲ Κῦρος τοῦ μὲν Κροίσου φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν, ὡς εἶδε τοὺς μὲν Πέρσας φυλάσσοντας τὴν ἄκραν, ὅσπερ ἔδει, τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, (καταδεδραμήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν) εὐθὺς συνεκάλεσεν αὐτῶν τοὺς ἄρχοντας, καὶ εἶπεν αὐτοῖς, ἀπιέναι ἐκ τοῦ στρατεύματος ὡς τάχιστα. 6. Οὐ γὰρ ἄν, ἔφη, ἀνασχοίμην πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτακτοῦντας. Καὶ εὖ μέν, ἔφη, ἐπίστασθε, ὅτι παρεσκευαζόμην ἐγὼ ὑμῖν τοὺς ἐμοὶ συστρατευομένους πᾶσι Χαλδαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ', ἔφη, μὴ θαυμάζετε, ἢν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ. 7. Ἀκούσαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον παύσασθαι ὀργιζόμενον, καὶ τὰ χρήμα-

τα πάντα ἀποδώσειν ἔφασαν. Ὁ δὲ εἶπεν, ὅτι οὐδὲν αὐτῶν δέοιτο. Ἀλλ' εἴ με, ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε πάντα, ὅσα ἐλάβετε, τοῖς διαφυλάξασι τὴν ἄκραν. Ἦν γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται, ὅτι πλεονεκτοῦσιν οἱ εὐτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει. 8. Οἱ μὲν δὴ Χαλδαῖοι οὕτως ἐποίησαν, ὡς ἐκέλευσεν ὁ Κῦρος· καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα. Ὁ δὲ Κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ, ὅπου ἐδόκει ἐπιτηδειότατον εἶναι τῆς πόλεως, μένειν ἐπὶ τοῖς ὅπλοις παρήγγειλε καὶ ἀριστοποιεῖσθαι.

9. Ταῦτα διαπραξάμενος, ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν Κροῖσον. Ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον, Χαῖρε, ὦ δέσποτα, ἔφη· τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε δίδωσί σοι, καὶ ἐμοὶ, προσαγορεύειν. 10. Καὶ σύ γε, ἔφη, ὦ Κροῖσε· ἐπείπερ ἄνθρωποι ἐσμὲν ἀμφότεροι. Ἀτὰρ, ἔφη, ὦ Κροῖσε, ἆρ' ἄν τί μοι ἐβούλησαις συμβουλεῦσαι; Καὶ βουλοίμην γ' ὦ, ἔφη, ὦ Κῦρε, ἀγαθόν τί σοι εὑρεῖν· τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν καὶ ἐμοὶ γενέσθαι. 11. Ἄκουσον τοίνυν, ἔφη, ὦ Κροῖσε· ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας πολλὰ πεπονηκότας, καὶ πολλὰ κεκινδυνευκότας καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην τῶν ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. Γιγνώσκω γὰρ, ἔφη, ὅτι, ἐὰν μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. Διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βούλομαι· τήν τε γὰρ

πόλιν νομίζω ἂν διαφθαρῆναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ' ὅτι οἱ πονηρότατοι πλεονεκτήσειαν ἄν. 12. Ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν, Ἀλλ' ἐμέ, ἔφη, ἔασον λέξαι, πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγήν, μηδὲ ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην δέ σοι ἀντὶ τούτων, ἢ μὴν παρ' ἑκόντων Λυδῶν ἔσεσθαι πᾶν, ὅ τι καλὸν καγαθόν ἐστιν ἐν Σάρδεσιν. 13. Ἢν γὰρ ταῦτα ἀκούσωσιν, οἶδ', ὅτι ἥξει σοι πᾶν, ὅ τι ἐστὶν ἐνθάδε καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως εἰς νέωτα πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται. Ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἃς πηγὰς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. 14. Ἐξέσται δέ σοι ἰδόντι ταῦτα ἐλθόντα ἔτι καὶ περὶ τῆς ἁρπαγῆς βουλεύσασθαι. Πρῶτον δέ, ἔφη, ἐπὶ τοὺς ἐμοὺς θησαυροὺς πέμπε, καὶ παραλαμβανέτωσαν οἱ σοὶ φύλακες παρὰ τῶν ἐμῶν φυλάκων. Ταῦτα μὲν δὴ ἅπαντα οὕτω συνῆνεσε ποιεῖν ὁ Κῦρος, ὥσπερ ἔλεξεν ὁ Κροῖσος.

15. Τάδε δέ μοι, ἔφη, πάντως, ὦ Κροῖσε, λέξον, πῶς σοι ἀποβέβηκε τὰ ἐκ τοῦ ἐν Δελφοῖς χρηστηρίου· σοὶ γὰρ δὴ λέγεται πάνυ τεθεραπεῦσθαι ὁ Ἀπόλλων, καὶ σὲ πάντα ἐκείνῳ πειθόμενον πράττειν. 16. Ἐβουλόμην γ' ἄν, ὦ Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρχῆς πράττων προσηνέχθην τῷ Ἀπόλλωνι. Πῶς δέ; ἔφη ὁ Κῦρος, δίδασκε· πάνυ γὰρ παράδοξα λέγεις. 17. Ὅτι πρῶτον μέν, ἔφη, ἀμελήσας ἐρωτᾶν τὸν θεὸν, εἴ τι ἐδεόμην, ἀπεπειρώ-

μην αὐτοῦ, εἰ δύναιτο ἀληθεύειν. Τοῦτο δὲ μὴ ὅτι ὁ Θεός, ἔφη, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. 18. Ἐπεὶ μέντοι ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος, καὶ πρόσω Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παίδων. 19. Ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο· ἐπεὶ δ' ἐγὼ πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ δ' ἀργυρᾶ, πάμπολλα δὲ θύων, ἐξιλασάμην ποτὲ αὐτὸν, ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι, τί ἄν μοι ποιήσαντι παῖδες γένοιντο· ὁ δὲ εἶπεν, ὅτι ἔσοιντο. 20. Καὶ ἐγένοντο μὲν, (οὐ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο) γενόμενοι δὲ οὐδὲν ὤνησαν. Ὁ μὲν γὰρ κωφὸς ὢν διατελεῖ· ὁ δὲ, ἄριστος γενόμενος, ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. Πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς, πάλιν πέμπω, καὶ ἐπερωτῶ τὸν Θεὸν, τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο,

Σαυτὸν γιγνώσκων, εὐδαίμων, Κροῖσε, περάσεις.

21. Ἐγὼ δὲ ἀκούσας τὴν μαντείαν ἥσθην· ἐνόμιζον γὰρ, τό γε ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν διδόναι. Ἄλλους μὲν γὰρ γιγνώσκειν τοὺς μὲν οἷόν τ' εἶναι, τοὺς δ' οὔ· ἑαυτὸν δέ, ὅστις ἐστὶ, πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι. 22. Καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις. Ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ' ὑμᾶς στρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον·

ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. Οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν Θεόν. Ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ Θεῷ ἀπῆλθον, καὶ αὐτὸς καὶ οἱ σὺν ἐμοί. 23. Νῦν δ' αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος, καὶ ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι, καὶ ὑπὸ τῶν δώρων, ὧν ἐδίδοσάν μοι, καὶ ὑπ' ἀνθρώπων, οἳ με κολακεύοντες ἔλεγον, ὡς, εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο, καὶ μέγιστος ἂν εἴην ἀνθρώπων· ὑπὸ τοιούτων δὴ λόγων ἀναφυσώμενος, ὡς εἱλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι. 24. ἀγνοῶν ἄρα ἐμαυτόν, ὅτι σοι ἀντιπολεμεῖν ἱκανὸς οὐκ ἦν εἶναι, πρῶτον μὲν ἐκ Θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· τῶν δ' ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα ἅμα τε βασιλέα καὶ ἐλεύθερον γενέσθαι. Ταῦτ' οὖν ἀγνοήσας, δικαίως, ἔφη, ἔχω τὴν δίκην. 25. Ἀλλὰ νῦν γάρ, ἔφη, ὦ Κῦρε, γιγνώσκω μὲν ἐμαυτόν· σὺ δ', ἔφη, δοκεῖς ἔτι ἀληθεύσειν τὸν Ἀπόλλω, ὡς εὐδαίμων ἔσομαι γινώσκων ἐμαυτόν; Σὲ δ' ἐρωτῶ διὰ τοῦτο, ὅτι ὁρῶ' ἄν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ παρόντι· καὶ γὰρ δύνασαι ποιῆσαι.

26. Καὶ ὁ Κῦρος εἶπε, Βουλήν μοι δὸς περὶ τούτου, ὦ Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν, οἰκτείρω τέ σε, καὶ ἀποδίδωμι ἤδη γυναῖκά τε ἔχειν, ἣν ἔχεις, καὶ τὰς θυγατέρας, (ἀκούω γάρ

σοι εἶναι) καὶ τοὺς φίλους, καὶ τοὺς θεράποντας, καὶ τράπεζαν, σὺν οἵπερ ἔζῆτε· μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ. 27. Μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ Κροῖσος, σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας· ἐγὼ γὰρ ἤδη σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς, ἃ σὺ λέγεις, ὅτι, ἢν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν, καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. 28. Καὶ ὁ Κῦρος εἶπε, Τίς δὴ ὁ ἔχων ταύτην τὴν μακρίαν βιοτήν; Ἡ ἐμὴ γυνὴ, εἶπεν, ὦ Κῦρε· ἐκείνη γὰρ τῶν μὲν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφροσυνῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε· φροντίδων δὲ, ὅπως ταῦτα ἔσται, καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. Οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν, ὥσπερ ἐγὼ, ἢν ἐφίλουν μάλιστ' ἀνθρώπων ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ χαριστήρια ὀφειλήσειν. 29. Ἀκούσας δὲ ὁ Κῦρος τοὺς λόγους αὐτοῦ, ἐθαύμασε μὲν τὴν εὐθυμίαν· ἦγετο δὲ τὸ λοιπὸν, ὅποι καὶ αὐτὸς πορεύοιτο· εἴτ' ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος.

CAP. III.

1. Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ καλέσας ὁ Κῦρος τοὺς φίλους καὶ τοὺς ἡγεμόνας τοῦ στρατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυροὺς παραλαμβάνειν, τοὺς δ' ἐκέλευσεν, ὁπόσα παραδοίη Κροῖσος χρήματα, πρῶτον μὲν τοῖς

θεοῖς ἐξελεῖν, ὁποῖα ἂν οἱ μάγοι ἐξηγῶνται, ἔπειτα τὰ ἄλλα χρήματα παραδεχομένους, ἐν ζυγάστροις στήσαντας ἐφ' ἁμαξῶν ἐπισκευάσαι καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν, ὅποιπερ ἂν αὐτοὶ πορεύωνται ὅπα, ὅπη καιρὸς εἴη, διαλαμβάνοιεν ἕκαστοι τὸ ἄξια. 2. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν.

Ὁ δὲ Κῦρος, καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν, Εἰπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάταν; Θαυμάζω γάρ, ἔφη, ὅτι, πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν οὐδαμοῦ φαίνεται. 3. Τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο, ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στίφος εἶδον τὸ τῶν Αἰγυπτίων. 4. Καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ᾗπερ αὐτὴ ᾤχετο, προσκομικέναι αὐτὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. 5. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν, ὡς κάθηται χαμαὶ, κεκοσμηκυῖα, οἷς εἶχε, τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. 6. Ταῦτα ἀκούσας ὁ Κῦρος ἐπαίσατο ὥρα τὸν μηρὸν, καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ πάθος. 7. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν, ὅ τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι μεταδιώκειν· καὶ

ὅστις εἶχε τὰς ἐτομένας ἀγέλας, καὶ βοῦς καὶ ἵππους εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν, ὅπῃ ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτᾳ.

8. Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε, Φεῦ, ὦ ἀγαθὴ καὶ πιστὴ ψυχή, οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς; καὶ ὅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀπεκέκοπτο γὰρ κομίδῃ ὑπὸ τῶν Αἰγυπτίων. 9. Ὁ δὲ, ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη τὴν χεῖρα παρὰ τοῦ Κύρου ἐφίλησέ τε καὶ πάλιν, ὡς οἷόν τ' ἦν, προσῆρμοσε. 10. Καὶ εἶπε, Καὶ τἄλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει· ἀλλὰ τί δεῖ σε ὁρᾶν; Καὶ ταῦτ', ἔφη, οἶδ', ὅτι δὲ ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ Κῦρε, οὐδὲν ἧττον. Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει, ὅ τι πείσοιτο, ἀλλὰ τί ἂν ποιήσας σοι χαρίσοιτο. Καὶ γάρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακάθημαι. 11. Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο· Ἀλλ' οὗτος μὲν δὴ, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ· (παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες) ἔπειτα δ', ἔφη, ἴσθι, ὅτι οὐδὲ τἄλλα ἄτι-

μος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ὑμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ, ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. 12. Καὶ σὺ δέ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ τε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἆλλα τιμήσω, καὶ συστήσω, ὥστις ἀποκομιεῖ σε, ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον, πρὸς ὅντινα χρήζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θαῤῥεῖ, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω, πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.

13. Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῆει, κατοικτείρων τήν τε γυναῖκα, οἵου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι· ἕως ἂν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι, ὡς βούλομαι· τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. 14. Ἡ δὲ τροφὸς πολλὰ ἐκτεύουσα, μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε καὶ καλεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην πάλαι παρεσκευασμένον σπασαμένη ἀφάπτει ἑαυτὴν, καὶ ἐπιθεῖσα ἐπὶ τὸ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστειλεν. 15. Ὁ δὲ Κῦρος, ὡς ἤσθετο τὸ ἔργον τῆς γυναικὸς, ἐκπλαγεὶς ἦεται, εἴ τι δύναιτο βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται, οὕπερ ἔταξεν αὐτοὺς, ἑστηκότες. 16. Ὁ δὲ Κῦρος, ὡς ἐπλη-

σίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῆει· καὶ τούτων μὲν, ἢ εἰκὸς, ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασι. 17. Καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν εὐνούχων κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγεγράφθαι, ΣΚΗΠΤΟΥΧΩΝ.

CAP. IV.

1. Ἐκ δὲ τούτου στασιάζοντες οἱ Κᾶρες καὶ πολεμοῦντες πρὸς ἀλλήλους, ἅτε τὰς οἰκήσεις ἔχοντες ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκαλοῦντο τὸν Κῦρον. Ὁ δὲ Κῦρος αὐτὸς μὲν μένων ἐν Σάρδεσι μηχανὰς ἐποιεῖτο καὶ κριοὺς, ὡς τῶν μὴ πειθομένων κατερείψων τὰ τείχη, Ἀδούσιον δὲ, ἄνδρα Πέρσην, καὶ τἆλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν, πέμπει ἐπὶ τὴν Καρίαν, στράτευμα δούς· καὶ Κίλικες δὲ καὶ Κύπριοι πάνυ προθύμως αὐτῷ συνεστράτευσαν. 2. Ὧν ἕνεκα οὐδ' ἔπεμψε πώποτε Πέρσην σατράπην οὔτε Κιλίκων οὔτε Κυπρίων, ἀλλ' ἤρκουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες· δασμὸν μέντοι ἐλάμβανε, καὶ στρατείας, ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. 3. Ὁ δὲ Ἀδούσιος ἄγων τὸ στράτευμα ἐπὶ τὴν Καρίαν ἦλθε, καὶ ἀπ' ἀμφοτέρων τῶν Καρῶν παρῆσαν πρὸς αὐτὸν, ἕτοιμοι ὄντες δέχεσθαι εἰς τὰ τείχη, ἐπὶ κακῷ τῶν ἀντιστασιαζόντων. Ὁ δὲ Ἀδούσιος

πρὸς ἀμφοτέρους ταὐτὰ ἐποίει· δικαιότερά τε ἔφη λέγειν τούτους, ὁποτέροις διαλέγοιτο, λαθεῖν τε ἔφη δεῖν τοὺς ἐναντίους φίλους σφᾶς γενομένους, ὡς δὴ οὕτως ἂν μᾶλλον ἐπιπεσὼν ἀπαρασκεύους τοῖς ἐναντίοις. Πιστὰ δ' ἠξίου γενέσθαι, καὶ τοὺς μὲν Κᾶρας ὁμόσαι ἀδόλως τε δέξασθαι εἰς τὰ τείχη σφᾶς, καὶ ἐπ' ἀγαθῷ τοῦ Κύρου καὶ Περσῶν· αὐτὸς δὲ ὁμόσαι θέλειν ἀδόλως ἰέναι εἰς τὰ τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. 4. Ταῦτα δὲ ποιήσας, ἀμφοτέροις λάθρα ἑκατέρων νύκτα συνέθετο τὴν αὐτὴν, καὶ ἐν ταύτῃ εἰσῆλθεν εἰς τὰ τείχη, καὶ παρέλιαβε τὰ ἐρύματα ἀμφοτέρων. Ἅμα δὲ τῇ ἡμέρᾳ καθεζόμενος εἰς τὸ μέσον σὺν τῇ στρατιᾷ, ἐκάλεσεν ἑκατέρων τοὺς ἐπικαιρίους. Οἱ δὲ, ἰδόντες ἀλλήλους, ἠχθέσθησαν, νομίζοντες ἐξηπατῆσθαι ἀμφότεροι. 5. Ὁ μέντοι Ἀβραδάτας ἔλεξε τοιάδε. Ἐγὼ ὑμῖν, ὦ ἄνδρες, ὤμοσα ἀδόλως εἰσιέναι εἰς τὰ τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. Εἴπερ οὖν ἀπολῶ ὁποτέρους ὑμῶν, νομίζω ἐπὶ κακῷ εἰσεληλυθέναι Καρῶν· ἢν δὲ εἰρήνην ὑμῖν ποιήσω καὶ ἀσφάλειαν ἐργάζεσθαι ἀμφοτέροις τὴν γῆν, νομίζω ὑμῖν ἐπ' ἀγαθῷ παρεῖναι. Νῦν δὲ χρὴ ἀπὸ τῆσδε τῆς ἡμέρας ἐπιμίγνυσθαί τε ἀλλήλοις φιλικῶς, ἐργάζεσθαί τε τὴν γῆν ἀδεῶς, διδόναι τε τέκνα καὶ λαμβάνειν παρ' ἀλλήλων· ἢν δὲ παρὰ ταῦτα ἀδικεῖν τις ἐπιχειρῇ, τούτοις Κῦρός τε καὶ ἡμεῖς πολέμιοι ἐσόμεθα. 6. Ἐκ τούτου πύλαι μὲν ἀνεῳγμέναι ἦσαν τῶν τειχῶν, μεσταὶ δὲ αἱ ὁδοὶ πορευομένων παρ' ἀλλήλους, μεστοὶ δὲ οἱ χῶροι ἐργα-

ζομένων· ἑορτὰς δὲ κοινῇ ἦγον, εἰρήνης δὲ καὶ εὐφροσύνης πάντα πλέα ἦν. 7. Ἐν δὲ τούτῳ ἦκον οἱ παρὰ Κύρου, ἐρωτῶντες, εἴ τι στρατιᾶς προσδέοιτο, ἢ μηχανημάτων· ὁ δὲ Ἀδούσιος ἀπεκρίνατο, ὅτι καὶ τῇ παρούσῃ ἔχει ἀλλαχόσε χρῆσθαι στρατιᾷ· καὶ ἅμα ταῦτα λέγων ἀπῆγε τὸ στράτευμα, φρουροὺς ἐν ταῖς ἄκραις καταλιπών. Οἱ δὲ Κῦροι ἱκέτευον μένειν αὐτόν· ἐπεὶ δ' οὐκ ἤθελεν, ἔπεμψαν πρὸς τὸν Κῦρον, δεόμενοι πέμψαι Ἀδούσιον σφίσι σατράπην.

8. Ὁ δὲ Κῦρος ἐν τούτῳ ἐπεστάλκει Ὑστάσπαν, στράτευμα ἄγοντα ἐπὶ Φρυγίαν τὴν περὶ Ἑλλήσποντον. Ἐπεὶ δ' ἦκεν ὁ Ἀδούσιος, μετάγειν αὐτὸν ἐκέλευσεν, ἥπερ ὁ Ὑστάσπας προΐχετο, ὅπως μᾶλλον πείθοιντο τῷ Ὑστάσπᾳ, ἀκούσαντες ἄλλο στράτευμα προσιόν. 9. Οἱ μὲν οὖν Ἕλληνες οἱ ἐπὶ Θαλάττῃ οἰκοῦντες, πολλὰ δόντες δῶρα, διεπράξαντο, ὥστε εἰς μὲν τὰ τείχη βαρβάρους μὴ δέχεσθαι, δασμὸν δὲ ἀποφέρειν, καὶ στρατεύειν, ὅποι Κῦρος ἐπαγγέλλοι. 10. Ὁ δὲ τῶν Φρυγῶν βασιλεὺς παρεσκευάζετο μὲν ὡς καθέξων τὰ ἐρυμνά, καὶ οὐ πεισόμενος, καὶ παρήγγειλεν οὕτως· ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρχοι, καὶ ἔρημος ἐγίγνετο, τελευτῶν εἰς χεῖρας ἦλθεν Ὑστάσπα, ἐπὶ τῇ Κύρου δίκῃ. Καὶ ὁ Ὑστάσπας, καταλιπὼν ἐν ταῖς ἄκραις ἰσχυρὰς Περσῶν φρουράς, ἀπῄει ἄγων σὺν τοῖς ἑαυτοῦ καὶ Φρυγῶν πολλοὺς ἱππέας καὶ πελτασιάς. 11. Ὁ δὲ Κῦρος ἐπέστελλε Ἀδουσίῳ, συμμίξαντα πρὸς Ὑστάσπαν, τοὺς μὲν ἑλομένους Φρυγῶν τὰ σφέτερα, σὺν τοῖς ὅπλοις ἄγειν·

τοὺς δ' ἐπιθυμήσαντας πολεμεῖν, τούτων ἀφελομένους τοὺς ἵππους καὶ τὰ ὅπλα, σφενδόνας ἔχοντας πάντας κελεύειν ἕπεσθαι.

12. Οὗτοι μὲν δὴ ταῦτ' ἐποίουν. Κῦρος δὲ ὡρμᾶτο ἐκ Σάρδεων, φρουρὰν μὲν Περσικὴν καταλιπὼν πολλὴν ἐν Σάρδεσι, Κροῖσον δὲ ἔχων, ἄγων δὲ πολλὰς ἁμάξας πολλῶν καὶ παντοδαπῶν χρημάτων. Ἦκε δὲ καὶ ὁ Κροῖσος γεγραμμένα ἔχων ἀκριβῶς, ὅσα ἐν ἑκάστῃ ἦν τῇ ἁμάξῃ· καὶ διδοὺς τῷ Κύρῳ τὰ γράμματα, εἶπε, Ταῦτα, ἔφη, ἔχων, ὦ Κῦρε, εἴσῃ τόν τέ σοι ὀρθῶς ἀποδιδόντα, ἃ ἄγει, καὶ τὸν μή. 13. Καὶ ὁ Κῦρος ἔλεξεν, Ἀλλὰ σὺ μὲν καλῶς ποιεῖς, ὦ Κροῖσε, προνοῶν· ἔμοιγε μέντοι ἄξουσι τὰ χρήματα, οἵπερ καὶ ἔχειν αὐτὰ ἄξιοί εἰσιν· ὥστε, ἢν τι καὶ κλέψωσι, τὰ ἑαυτῶν κλέψονται. Καὶ ἅμα ταῦτα λέγων ἔδωκε τὰ γράμματα τοῖς φίλοις καὶ τοῖς ἄρχουσιν, ὅπως εἰδεῖεν τῶν ἐπιτρόπων οἵ τε οἷα αὐτοῖς ἀποδιδοῖεν, οἵ τε μή. 14. Ἦγε δὲ καὶ Λυδῶν, οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ ὅπλοις καὶ ἵπποις καὶ ἅρμασι, καὶ πάντα πειρωμένους ποιεῖν, ὅ τι ᾤοντο αὐτῷ χαριεῖσθαι, τούτους μὲν σὺν τοῖς ὅπλοις· οὓς δὲ ἑώρα ἀχαρίστως ἑπομένους, τοὺς μὲν ἵππους αὐτῶν παρέδωκε Πέρσαις τοῖς πρώτοις συστρατευσαμένοις, τὰ δὲ ὅπλα κατέκαυσε· σφενδόνας δὲ καὶ τούτους ἠνάγκασεν ἔχοντας ἕπεσθαι. 15. Καὶ πάντας δὲ τοὺς ἀόπλους τῶν ὑποχειρίων γενομένων σφενδονᾶν ἠνάγκαζε μελετᾶν, νομίζων τοῦτο τὸ ὅπλον δουλικώτατον εἶναι· σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἐστὶν ἔνθα ἰσχυρῶς

ὠφελοῦσι σφενδονῆται παρόντες αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται μίνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας σὺν ὅπλοις ἀγχεμάχοις.

16. Προϊὼν δὲ τὴν ἐπὶ Βαβυλῶνος, κατεστρέψατο μὲν Φρύγας τοὺς ἐν τῇ μεγάλῃ Φρυγίᾳ, κατεστρέψατο δὲ Καππαδόκας, ὑποχειρίους δὲ ἐποιήσατο Ἀραβίους· ἐξέπλησε δὲ ἀπὸ πάντων τούτων Περσῶν μὲν ἱππέας οὐ μεῖον ἢ τετρακισμυρίους, πολλοὺς δὲ ἵππους τῶν αἰχμαλώτων καὶ πᾶσι τοῖς συμμάχοις διέδωκε· καὶ πρὸς Βαβυλῶνα ἀφίκετο παμπόλλους μὲν ἱππέας ἄγων, παμπόλλους δὲ τοξότας καὶ ἀκοντιστὰς, σφενδονήτας δὲ ἀναρίθμους.

CAP. V.

1. Ἐπεὶ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιεστησε μὲν πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν σὺν τοῖς φίλοις τε καὶ ἐπικαιρίοις τῶν συμμάχων. 2. Ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ, ὁπότε ἀπάγοι τὸ στράτευμα· καταθεωμένοις γὰρ, ἔφη, αὐτοῖς ἀπὸ τοῦ τείχους ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ. Καὶ οὐδὲν θαυμαστὸν ἦν οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλουμένοις ἀνάγκη ἦν ἐπ' ὀλίγον τὸ βάθος γενέσθαι τὴν φάλαγγα. 3. Ἀκούσας οὖν ὁ Κῦρος ταῦτα, στὰς κατὰ μέσον τῆς αὐτοῦ στρατιᾶς σὺν τοῖς περὶ αὐτὸν, παρήγγειλεν, ἀπὸ τοῦ ἄκρου ἑκατέρωθεν

τοὺς ὁπλίτας ἀναπτύσσοντας τὴν φάλαγγα ἀπιέναι παρὰ τὸ ἑστηκὸς τοῦ στρατεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ ἄκρον καθ' ἑαυτὸν καὶ κατὰ τὸ μέσον. 4. Οὕτως οὖν ποιούντων, οἵ τε μένοντες εὐθὺς θαῤῥαλεώτεροι ἐγίγνοντο, ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι· οἵ τ' ἀπιόντες ὥσαὐτως θαῤῥαλεώτεροι· εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν πρὸς τοῖς πολεμίοις ἐγίγνοντο. Ἐπεὶ δὲ πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα, ἔστησαν ἰσχυρότεροι γεγενημένοι, οἵ τε ἀπεληλυθότες, διὰ τοὺς ἔμπροσθεν, οἵ τ' ἔμπροσθεν, διὰ τοὺς ὄπισθεν προσγεγενημένους. 5. Ἀναπτυχθείσης δ' οὕτω τῆς φάλαγγος, ἀνάγκη τοὺς πρώτους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς κακίστους τετάχθαι· ἡ δ' οὕτως ἔχουσα τάξις καὶ πρὸς τὸ μάχεσθαι ἐδόκει εὖ παρεσκευάσθαι, καὶ πρὸς τὸ μὴ φεύγειν. Καὶ οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆται ὅσῳ ἀπὸ τῶν κεράτων ἀεὶ ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος, τοσούτῳ ἡ φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλουμένη. 6. Ἐπεὶ δὲ οὕτω συνεσπειράθησαν, ἀπῆεσαν, ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ τείχους, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στραφέντες, καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετεβάλλοντο ἐπ' ἐσπίδα, καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέποντες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανύτερον μετεβάλλοντο. Ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.

7. Ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ

Κῦρος τοὺς ἐπικαιρίους, καὶ ἔλεξεν· Ἄνδρες σύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δέ, ὅπως μὲν ἄν τις τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι, οὐκ ἐνορᾷν μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσὶν, ἐπείπερ οὐ μάχονται ἑξιόντες, τοσούτῳ ἂν θᾶττον λιμῷ αὐτοὺς ἡγοῦμαι ἁλῶναι. Εἰ μή τινα οὖν ἄλλον τρόπον ἔχετε λέγειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς ἄνδρας. 8. Καὶ ὁ Χρυσάντας εἶπεν· Ὁ δὲ ποταμὸς, ἔφη, οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ, πλάτος ἔχων πλεῖον, ἢ ἐπὶ δύο στάδια; Ναὶ μὰ Δί, ἔφη ὁ Γωβρύας· καὶ βάθος γε, ὡς οὐδ' ἂν δύο ἄνδρες, ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου ἑστηκώς, τοῦ ὕδατος ὑπερέχοιεν· ὥστε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐστὶν ἡ πόλις, ἢ τοῖς τείχεσι. 9. Καὶ ὁ Κῦρος, Ταῦτα μὲν, ἔφη, ὦ Χρυσάντα, ἴσμεν, ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως· διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστου ἡμῶν, ὀρύττειν τάφρον ὡς πλατυτάτην καὶ βαθυτάτην, ὅπως ὅτις ἐλαχίστων ἡμῖν τῶν φυλάκων δέοι. 10. Οὕτω δὴ κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυσεν ἔνθεν καὶ ἔνθεν τοῦ τείχους τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτούς. 11. Καὶ πρῶτον μὲν πύργους ἐπὶ τῷ ποταμῷ ᾠκοδόμει, φοίνιξι θεμελιώσας οὐ μεῖον ἢ πλεθριαίοις· (εἰσὶ γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες· καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρους ἄνω κυρτοῦνται, ὥσπερ οἱ ὄνοι οἱ κανθήλιοι·) 12. τούτους δ' ὑπετίθη

τούτου ἕνεκα, ὅπως ὅτι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τοὺς πύργους. Ἵστη δὲ καὶ ἄλλους πολλοὺς πύργους ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη. 13. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν· οἱ δὲ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον ἢ εἰκοσιν ἐτῶν. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, τὸ στράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον τὸ μέρος φυλάξον. 14. Οἱ δὲ αὖ Βαβυλώνιοι, ἀκούσαντες ταῦτα, πολὺ ἔτι μᾶλλον κατεγέλων, ἐννοούμενοι, εἰ σφᾶς Φρύγες καὶ Λυδοὶ καὶ Ἄραβιοι καὶ Καππαδόκαι φυλάξοιεν, οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ Πέρσαις.

15. Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. Ὁ δὲ Κῦρος, ἐπεὶ ἑορτὴν τοιαύτην ἐν Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες οἱ Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ἐν ταύτῃ, ἐπεὶ τάχιστα συνεσκότασε, λαβὼν πολλοὺς ἀνθρώπους, ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν ποταμόν. 16. Ὡς δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί· ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδὸς πορεύσιμος ἀνθρώποις ἐγίγνετο. 17. Ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο, παρήγγυησεν ὁ Κῦρος Πέρσαις χιλιάρχοις καὶ παξῶν καὶ ἱππέων, εἰς δύο ἄγοντας τὴν χιλιοστύν παρεῖναι πρὸς αὐτόν, τοὺς δ' ἄλλους συμμάχους καὶ σφῶν τούτων ἕπεσθαι, ἧπερ πρόσθεν τεταγμένους. 18. Οἱ μὲν δὴ παρῆσαν· ὁ δὲ, καταβι-

βάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. 19. Ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι πορεύσιμον εἴη, ἐνταῦθα δὴ, συγκαλέσας τοὺς ἡγεμόνας τῶν πεζῶν καὶ τῶν ἱππέων, ἔλεξε τοιάδε·

20. Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακεχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαῤῥοῦντες εἰσίωμεν δὴ εἴσω, ἐννοούμενοι, ὅτι οὗτοι, ἐφ' οὓς νῦν πορευσόμεθα, ἐκεῖνοί εἰσιν, οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς ἔχοντας, καὶ ἐγρηγορότας ἅπαντας καὶ νήφοντας, καὶ ἐξωπλισμένους καὶ συντεταγμένους ἐνικῶμεν· 21. νῦν δ' ἐπ' αὐτοὺς ἴμεν, ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ' αὐτῶν μεθύουσι, πάντες δὲ ἀσύντακτοί εἰσιν· ὅταν δὲ καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ νῦν ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. 22. Εἰ δέ τις τοῦτο ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰσιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλωσιν ἔνθεν καὶ ἔνθεν, τοῦτο μάλιστα θαῤῥεῖτε· ἦν γὰρ ἀναβῶσί τινες ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. Εὔφλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκαύματι κεχρισμέναι. 23. Ἡμεῖς δ' αὖ πολλὴν μὲν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ τέξεται, πολλὴν δὲ πίτταν καὶ στυππεῖον, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα· ὥστε ἀνάγκην εἶναι, ἢ φεύγειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν, ἢ ταχὺ κατακεκαῦσθαι. 24. Ἀλλ' ἄγετε, λαμ-

βάνετε τὰ ὅπλα· ἡγήσομαι δὲ ἐγὼ σὺν τοῖς θεοῖς. Ὑμεῖς δ', ἔφη, ὦ Γαδάτα καὶ Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δὲ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. 25. Καὶ μήν, ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν ἄν εἴη θαυμαστόν, εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν· ὡς ἐν κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί. Φυλακὴ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ αἰεὶ τεταγμένη. Οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ Κῦρος, ἀλλ' ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας.

26. Ἐπεὶ δὲ ταῦτα ἐρρήθη, ἐπορεύοντο· τῶν δὲ ἀπαντώντων οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ' ἔφευγον πάλιν ὀπίσω, οἱ δ' ἐβόων. Οἱ δ' ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς, ὡς κωμασταὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύναντο ὡς τάχιστα ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. 27. Καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλεισμένας εὑρίσκουσι τὰς πύλας τοῦ βασιλείου· οἱ δ' ἐπὶ τοὺς φύλακας ταχθέντες ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι πρὸς φῶς πολύ, καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο αὐτοῖς. 28. Ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι, τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. 29. Οἱ δ' ἀμφὶ τὸν Γαδάταν ὡς εἶδον τὰς πύλας χαλώσας, εἰσπίπτουσι, καὶ τοῖς πάλιν φεύγουσιν εἴσω ἑπόμενοι, καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα· καὶ ἤδη ἑστηκότα αὐτὸν καὶ σπασάμενον

ὃν εἶχεν, ἀκινάκην εὑρίσκουσι. 30. Καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ πολλοὶ ἐχειροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον, ὁ μὲν προβαλλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ ἀμυνόμενος ὅτῳ ἐδύνατο. 31. Ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδούς· καὶ προεῖπεν, οὓς μὲν ἔξω λαμβάνοιεν κατακαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κηρύττειν τοὺς Συριστὶ ἐπισταμένους ἔνδον μένειν· εἰ δέ τις ἐξωληφθήσοιτο, ὅτι θανατώσοιτο.

32. Οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας ἦκον· καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βασιλέα, ἔπειτα δὲ Κύρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες ἅμα χαρᾷ καὶ εὐφραινόμενοι. 33. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ἤσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἁλωκυῖάν τε τὴν πόλιν καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. 34. Ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρελάμβανε, καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας ἀνέπεμπε· τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προσήκουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν, ἀποφέρειν πάντας τὰ ὅπλα Βαβυλωνίους· ὅπου δὲ ληφθήσοιτο ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀποθανοῖντο. Οἱ μὲν δὴ ἀπέφερον· ὁ δὲ Κῦρος ταῦτα μὲν εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε δέοι χρῆσθαι. 35. Ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, πρῶτον μὲν τοὺς μάγους καλέσας, ὡς δορυαλώτου τῆς πόλεως οὔσης, ἀκροθίνια τοῖς θεοῖς καὶ τιμὴν ἐκέλευσεν ἐξελεῖν·

ἐκ τούτου δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις, οἵπερ κοινωνοὺς ἐνόμιζε τῶν καταπεπραγμένων· οὕτω δὲ διένειμεν, ὥσπερ ἐδέδοκτο, τὰ κράτιστα τοῖς ἀρίστοις. Εἰ δέ τις οἴοιτο μεῖον ἔχειν, διδάσκειν προϊόντα ἐκέλευε. 36. Προεῖπε δὲ, Βαβυλωνίοις μὲν τὴν γῆν ἐργάζεσθαι, καὶ τοὺς δασμοὺς ἀποφέρειν, καὶ θεραπεύειν τούτους, οἷς ἕκαστοι αὐτῶν ἐδόθησαν· Πέρσας δὲ τοὺς κοινωνοῦντας, καὶ τῶν συμμάχων, ὅσοι μένειν ἠροῦντο παρ' αὐτῷ, ὡς δεσπότας ὧν ἔλαβον προηγόρευε διαλέγεσθαι.

37. Ἐκ δὲ τούτου ἐπιθυμῶν ὁ Κῦρος ἤδη κατασκευάσασθαι καὶ αὐτὸς, ὡς βασιλεῖ ἠγεῖτο πρέπειν, ἔδοξεν αὐτῷ τοῦτο σὺν τῇ τῶν φίλων γνώμῃ ποιῆσαι, ὡς ὅτι ἥκιστα ἂν ἐπιφθόνως σπάνιός τε καὶ σεμνὸς φανείη. Ὧδε οὖν ἐμηχανᾶτο τοῦτο· ἅμα τῇ ἡμέρᾳ στὰς, ὅπου ἐδόκει ἐπιτήδειον εἶναι, προσεδέχετο τὸν βουλόμενον λέγειν τι, καὶ ἀποκρινόμενος ἀπέπεμπεν. 38. Οἱ δ' ἄνθρωποι, ὡς ἔγνωσαν, ὅτι προσδέχοιτο, ἦκον ἀμήχανοι τὸ πλῆθος· καὶ ὠθουμένων περὶ τοῦ προσελθεῖν, μηχανή τε πολλὴ καὶ μάχη ἦν. Οἱ δὲ ὑπηρέται ὡς ἠδύναντο διακρίνοντες, προσίεσαν. 39. Ὁπότε δέ τις καὶ τῶν φίλων διωσάμενος τὸν ὄχλον προφανείη, προτείνων ὁ Κῦρος τὴν χεῖρα προσήγετο αὐτοὺς, καὶ οὕτως ἔλεγεν, Ἄνδρες φίλοι, περιμένετε, ἕως τὸν ὄχλον διωσώμεθα· ἔπειτα δὲ καθ' ἡσυχίαν συγγενησόμεθα. Οἱ μὲν δὴ φίλοι περιέμενον, ὁ δ' ὄχλος πλείων καὶ πλείων ἐπέρρει, ὥστ' ἔφθασεν ἑσπέρα γενομένη, πρὶν τοῖς φίλοις αὐτὸν

σχολάσαι καὶ συγγενέσθαι. 40. Οὕτω δὴ ὁ Κῦρος λέγει, Ἆρα, ἔφη, ὦ ἄνδρες, νῦν μὲν καιρὸς διαλυθῆναι· αὔριον δὲ πρωῒ ἔλθετε· καὶ γὰρ ἐγὼ βούλομαι ὑμῖν τι διαλεχθῆναι. Ἀκούσαντες ταῦτα οἱ φίλοι, ἄσμενοι ᾤχοντο ἀποθέοντες, δίκην δεδωκότες ὑπὸ πάντων τῶν ἀναγκαίων. Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν.

41. Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Κῦρος παρῆν εἰς τὸ αὐτὸ χωρίον· ἀνθρώπων δὲ πολὺ πλεῖον πλῆθος περιειστήκει, βουλομένων προσιέναι, καὶ πολὺ πρότερον, ἢ οἱ φίλοι παρῆσαν. Ὁ οὖν Κῦρος περιστησάμενος τῶν ξυστοφόρων Περσῶν κύκλον μέγαν, εἶπε μηδένα παριέναι ἄλλον, ἢ τοὺς φίλους τε καὶ ἄρχοντας τῶν Περσῶν τε καὶ τῶν συμμάχων. 42. Ἐπεὶ δὲ συνῆλθον αὐτοί, ἔλεξεν ὁ Κῦρος αὐτοῖς τοιάδε· Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς οὐδὲν ἂν ἔχοιμεν μέμψασθαι, τὸ μὴ οὐχὶ μέχρι τοῦδε πάντα, ὅσα εὐχόμεθα, καταπεπραχέναι· εἰ μέντοι τοιοῦτον ἔστιν τὸ μεγάλα πράσσειν, ὥστε μὴ οἷόν τε εἶναι, μήτε ἅμα αὐτὸν σχολὴν ἔχειν, μήτε μετὰ τῶν φίλων ὑφανθῆναι, ἐγὼ μὲν χαίρειν ταύτην τὴν εὐδαιμονίαν κελεύω. 43. Ἐνενοήσατε γάρ, ἔφη, καὶ χθὲς δήπου, ὅτι ἕωθεν ἀρξάμενοι ἀκούειν τῶν προσιόντων, οὐκ ἔληξαμεν πρόσθεν ἑσπέρας· καὶ νῦν ὁρᾶτε τούτους, καὶ ἄλλους πλείονας τῶν χθὲς παρόντων, ὡς πράγματα ἡμῖν παρέξοντας. 44. Εἰ οὖν τις τούτοις ὑφέξει ἑαυτὸν λογίζομαι μικρὸν μέν τι ὑμῖν μέρος ἐμοῦ μετεσόμενον, μικρὸν δέ τι ἐμοὶ ὑμῶν· ἐμαυτοῦ μέντοι σαφῶς οἶδ' ὅτι οὐδ' ὁτιοῦν μοι μετέσται. 45. Ἔτι δ', ἔφη, καὶ

ἄλλο ὁρῶ γελοῖον πρᾶγμα. Ἐγὼ γὰρ δήπου ὑμῖν μὲν, ὥσπερ εἰκὸς, διάκειμαι· τούτων δὲ τῶν περιεστηκότων ἢ τινα ἢ οὐδένα οἶδα, καὶ οὗτοι πάντες οὕτω παρεσκευασμένοι εἰσὶν, ὡς, ἢν νικῶσιν ὑμᾶς ὠθοῦντες, πρότεροι ἃ βούλονται ὑμῶν παρ' ἐμοῦ διαπραξόμενοι. Ἐγὼ δὲ ἠξίουν τούτους, εἴ τίς τι ἐμοῦ δέοιτο, θεραπεύειν ὑμᾶς τοὺς ἐμοὺς φίλους δεομένους προσαγωγῆς. 46. Ἴσως ἂν οὖν εἴποι τις, τί δῆτα οὐχ οὕτως ἐξ ἀρχῆς παρεσκευασάμην, ἀλλὰ παρεῖχον ἐν τῷ μέσῳ ἐμαυτόν; Ὅτι τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον ὄντα, ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα, μήτε τὸ εἰδέναι, ἃ δεῖ, μήτε τὸ πράττειν, ἃ ἂν καιρὸς ᾖ· τοὺς δὲ σπανίους ἰδεῖν στρατηγοὺς πολλὰ ἐνόμιζον, ὧν δεῖ πραχθῆναι, παριέναι. 47. Νῦν δ' ἐπεὶ καὶ ὁ φιλοπονώτατος πόλεμος ἀναπέπαυται, δοκεῖ μοι καὶ ἡ ἐμὴ ψυχὴ ἀναπαύσεώς τινος ἀξιοῦν τυγχάνειν. Ὡς οὖν ἐμοῦ ἀπροῦντος, ὅ τι ἂν τύχωμι ποιῶν, ὥστε καλῶς ἔχειν τά τε ἡμέτερα καὶ τὰ τῶν ἄλλων, ὧν ἡμᾶς δεῖ ἐπιμελεῖσθαι, συμβουλευέτω ὅ τι τις ὁρᾷ συμφορώτατον.

48. Κῦρος μὲν οὕτως εἶπεν· ἀνίσταται δ' ἐπ' αὐτῷ Ἀρτάβαζος, ὁ συγγενὴς ποτε φήσας εἶναι, καὶ εἶπεν, Ἦ καλῶς, ἔφη, ἐποίησας, ὦ Κῦρε, ἄρξας τοῦ λόγου. Ἐγὼ γὰρ, ἔτι νέου μὲν ὄντος σοῦ πάνυ, ἀρξάμενος ἐπεθύμουν φίλος γενέσθαι, ὁρῶν δέ σε οὐδὲν δεόμενον ἐμοῦ, κατώκνουν σοι προσιέναι. 49. Ἐπεὶ δὲ ἔτυχές ποτε καὶ ἐμοῦ δεηθεὶς, προθύμως ἐξαγγεῖλαι πρὸς Μήδους τὰ παρὰ τοῦ Κυαξάρους, ἐλο-

γιζόμην, εἰ ταῦτα προθύμως σοι συλλάβοιμι, ὡς οἰκεῖός τέ σοι ἐσοίμην, καὶ ἐξέσοιτό μοι, διαλέγεσθαί σοι, ὁπόσον ἂν χρόνον βουλοίμην. 50. Καὶ ἐκεῖνα μὲν δὴ ἐπράχθη, ὥστε σε ἐπαινεῖν. Μετὰ δὲ τοῦτο Ἀρκάνιοι μὲν πρῶτοι φίλοι ἡμῖν ἐγένοντο, καὶ μάλα πεινῶσι συμμάχων· ὥστε μόνον οὐκ ἐν ταῖς ἀγκάλαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. Μετὰ δὲ τοῦτο, ἐπεὶ ἐάλω τὸ πολέμιον στρατόπεδον, οὐκ, οἶμαι, σχολή σοι ἦν ἀμφ' ἐμὲ ἔχειν· καὶ ἐγώ σοι συνεγίγνωσκον. 51. Ἐκ δὲ τούτου Γωβρύας ἡμῖν φίλος ἐγένετο, καὶ ἐγὼ ἔχαιρον· καὶ αὖθις Γαδάτας· καὶ ἤδη ἔργον σου ἦν μεταλαβεῖν. Ἐπεί γε μέντοι καὶ Σάκαι καὶ Καδούσιοι σύμμαχοι ἐγεγένηντο, θεραπεύειν ἔδει τούτους εἰκότως· καὶ γὰρ οὗτοί σε ἐθεράπευον. 52. Ὡς δ' ἤλθομεν πάλιν, ἔνθεν ὡρμήθημεν, ὁρῶν σε ἀμφ' ἵππους ἔχοντα, ἀμφ' ἅρματα, ἀμφὶ μηχανάς, ἡγούμην, ἐπεὶ ἀπὸ τούτου σχολάσαις, τότε σε καὶ ἀμφ' ἐμὲ ἕξειν σχολήν. Ὡς γε μέντοι ἦλθεν ἡ δεινὴ ἀγγελία, τὸ πάντας ἀνθρώπους ἐφ' ἡμᾶς συλλέγεσθαι, ἐγίγνωσκον, ὅτι ταῦτα μέγιστα εἴη· εἰ δὲ ταῦτα καλῶς γένοιτο, εὖ ἤδη ἐδόκουν εἰδέναι, ὅτι πολλὴ ἔσοιτο ἀρθονία τῆς ἐμῆς καὶ τῆς σῆς συνουσίας. 53. Καὶ νῦν δὴ νενικήκαμέν τε τὴν μεγάλην μάχην, καὶ Σάρδεις καὶ Κροῖσον ὑποχείριον ἔχομεν, καὶ Βαβυλῶνα ἠρήκαμεν, καὶ πάντα κατεστράμμεθα· καὶ μὰ τὸν Μίθρην ἐγώ τοι ἐχθές, εἰ μὴ πολλοῖς διεπύκτευσα, οὐκ ἂν ἐδυνάμην σοι προσελθεῖν. Ἐπεί γε μέντοι ἐδεξιώσω με, καὶ παρά σοι ἐκέλευσας μένειν, ἤδη

περίβλεπτος ἦν, ὅτι μετὰ σοῦ ἄσιτος καὶ ἄποτος διημέρευον. 54. Νῦν οὖν, εἰ μὲν ἔσται πη, ὅπως οἱ πλείστου ἄξιοι γεγενημένοι πλεῖστόν σου μέρος μεθέξομεν· εἰ δὲ μή, πάλιν αὖ ἐγὼ ἐθέλω παρὰ σοῦ ἐξαγγέλλειν ἀπιέναι πάντας ἀπὸ σοῦ, πλὴν ἡμῶν τῶν ἐξ ἀρχῆς φίλων.

55. Ἐπὶ τούτῳ ἐγέλασε μὲν ὁ Κῦρος καὶ ἄλλοι πολλοί· Χρυσάντας δὲ ἀνέστη ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε· Ἀλλὰ τὸ μὲν πρόσθεν, ὦ Κῦρε, εἰκότως ἐν τῷ φανερῷ σαυτὸν παρεῖχες, διὰ ἃ τε αὐτὸς εἶπες, καὶ ὅτι οὐχ ἡμᾶς σοι μάλιστα ἦν θεραπευτέον. Ἡμεῖς μὲν γὰρ καὶ ἡμῶν αὐτῶν ἕνεκα παρῆμεν· τὸ δὲ πλῆθος ἀνακτᾶσθαι ἔδει ἐκ παντὸς τρόπου, ὅπως ὅτι ἥδιστα συμπονεῖν καὶ συγκινδυνεύειν ἡμῖν ἐθέλοιεν. 56. Νῦν δ' ἐπειδὴ οὐχ οὕτω τρόπου μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλους ἀνακτᾶσθαι δύνασαι, οὓς καιρὸς εἴη, ἤδη καὶ οἰκίας σε τυχεῖν ἄξιον· ἢ τί ἀπολαύσαις ἂν τῆς ἀρχῆς, εἰ μόνος ἄμοιρος εἴης ἑστίας, οὗ οὔτε ὁσιώτερον χωρίον ἐν ἀνθρώποις, οὔτε ἥδιον, οὔτε οἰκειότερόν ἐστιν οὐδέν; Ἔπειτα δ', ἔφη, οὐκ ἂν οἶει καὶ ἡμᾶς αἰσχύνεσθαι, εἰ σὲ μὲν ὁρῴημεν ἔξω καρτεροῦντα, αὐτοὶ δ' ἐν οἰκίαις εἴημεν, καὶ σοῦ δοκοίημεν πλεονεκτεῖν; 57. Ἐπεὶ δὲ Χρυσάντας ταῦτα ἔλεξε, συνηγόρευον αὐτῷ κατὰ ταὐτὰ πολλοί. Ἐκ τούτου δὴ εἰσέρχεται εἰς τὰ βασίλεια, καὶ τὰ ἐκ Σάρδεων χρήματα ἐνταῦθ' οἱ ἄγοντες ἀπέδοσαν. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Κῦρος, πρῶτον μὲν Ἑστίᾳ ἔθυσεν, ἔπει-

τα Διΐ βασιλεῖ, καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο.

58. Ποιήσας δὲ ταῦτα, τὰ ἄλλα ἤδη ἤρχειν διοικεῖν. Ἐννοῶν δὲ τὸ αὐτοῦ πρᾶγμα, ὅτι ἐπιχειροίη μὲν ἄρχειν πολλῶν ἀνθρώπων, παρασκευάζοιτο δὲ οἰκεῖν ἐν πόλει τῇ μεγίστῃ τῶν φανερῶν, αὕτη δὲ οὕτως ἔχοι αὐτῷ, ὡς ἂν πολεμιωτάτη γένοιτο ἀνδρὶ πόλις, ταῦτα δὴ λογιζόμενος, φυλακῆς περὶ τὸ σῶμα ἡγήσατο δεῖσθαι. 59. Γνοὺς δ', ὅτι οὐδαμοῦ ἄνθρωποι εὐχειρωτότεροί εἰσιν, ἢ ἐν σίτοις καὶ ποτοῖς καὶ λουτροῖς καὶ κοίτῃ καὶ ὕπνῳ, ἐσκόπει, τίνας ἂν ἐν τούτοις περὶ ἑαυτὸν πιστοτάτους ἔχοι. Ἐνόμισε δὲ, μὴ ἂν γενέσθαι ποτὲ πιστὸν ἄνθρωπον, ὅστις ἄλλον μᾶλλον φιλήσει τοῦ τῆς φυλακῆς δεομένου. 60. Τοὺς μὲν οὖν ἔχοντας παῖδας ἢ γυναῖκας συναρμοζούσας, ἢ παιδικά, ἔγνω φύσει συνηναγκάσθαι ταῦτα μάλιστα φιλεῖν· τοὺς δὲ εὐνούχους ὁρῶν πάντων τούτων στερομένους, ἡγήσατο τούτους ἂν περὶ πλείστου ποιεῖσθαι, οἵτινες δύνανται πλουτίζειν μάλιστα αὐτούς, καὶ βοηθεῖν, εἴ τι ἀδικοῖντο, καὶ τιμὰς περιάπτειν αὐτοῖς· τούτους δὲ εὐεργετοῦντα ὑπερβάλλειν αὐτὸν οὐδὲν ἂν ἡγεῖτο δύνασθαι. 61. Πρὸς δὲ τούτοις, ἄδοξοι ὄντες οἱ εὐνοῦχοι παρὰ τοῖς ἄλλοις ἀνθρώποις, καὶ διὰ τοῦτο δεσπότου ἐπικούρου προσδέονται· οὐδεὶς γὰρ ἂν ἦν, ὅστις οὐκ ἂν ἀξιώσειεν εὐνούχου πλέον ἔχειν ἐν παντὶ, εἰ μή τι ἄλλο κρεῖττον ἀπείργοι· δεσπότῃ δὲ πιστὸν ὄντα οὐδὲν κωλύει πρωτεύειν καὶ τὸν εὐνοῦχον.

62. Ὁ δ' ἂν μάλιστά τις οἰηθείη, ἀνάλκιδας τοὺς εὐνούχους γίγνεσθαι, οὐδὲ τοῦτο ἐφαίνετο αὐτῷ. Ἐτεμαίρετο δὲ καὶ ἐκ τῶν ἄλλων ζώων, ὅτι οἵτε ὕβρισταὶ ἵπποι ἐκτεμνόμενοι τοῦ μὲν δάκνειν καὶ ὑβρίζειν ἀποπαύονται, πολεμικοὶ δὲ οὐδὲν ἧττον γίγνονται· οἵτε ταῦροι ἐκτεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ὑφίενται, τοῦ δ' ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκονται· καὶ οἱ κύνες δὲ ὥσαύτως τοῦ μὲν ἀπολείπειν τοὺς δεσπότας ἀποπαύονται ἐκτεμνόμενοι, φυλάττειν δὲ καὶ θηρᾶν οὐδὲν κακίους γίγνονται. 63. Καὶ οἵ γε ἄνθρωποι ὡσαύτως ἠρεμέστεροι γίγνονται, στερισκόμενοι ταύτης τῆς ἐπιθυμίας, οὐ μέντοι ἀμελέστεροί γε τῶν προσταττομένων, οὐδ' ἧττόν τι ἱππικοί, οὐδὲ ἧττόν τι ἀκοντιστικοί, οὐδὲ ἧττόν τι φιλότιμοι. 64. Κατάδηλοι δὲ γίγνονται ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς θήραις, ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν ταῖς ψυχαῖς. Τοῦ δὲ πιστοὶ εἶναι ἐν τῇ φθορᾷ τῶν δεσποτῶν μάλιστα βάσανον ἐδίδοσαν· οὐδένες γὰρ πιστότερα ἔργα ἀπεδείκνυντο ἐν ταῖς δεσποτικαῖς συμφοραῖς τῶν εὐνούχων. 65. Εἰ δέ τι ἄρα τῆς τοῦ σώματος ἰσχύος μειοῦσθαι δοκοῦσιν, ὁ σίδηρος ἀνισοῖ τοὺς ἀσθενεῖς τοῖς ἰσχυροῖς ἐν τῷ πολέμῳ. Ταῦτα δὴ γιγνώσκων, ἀρξάμενος ἀπὸ τῶν θυρωρῶν, πάντας τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεραπευτῆρας ἐποιήσατο εὐνούχους.

66. Ἡγησάμενος δὲ οὐχ ἱκανὴν εἶναι τὴν φυλακὴν ταύτην πρὸς τὸ πλῆθος τῶν δυσμενῶς ἐχόντων, ἐσκόπει, τίνας τῶν ἄλλων ἂν πιστοτάτους περὶ τὸ βασίλειον φύλακας λάβοι. 67. Εἰδὼς οὖν Πέρσας τοὺς οἴκοι κα-

κοβιωτάτους μὲν ὄντας διὰ πενίαν, ἐπιπονώτατα δὲ ζῶντας διὰ τὴν τῆς χώρας τραχύτητα, καὶ διὰ τὸ αὐτουργοὺς εἶναι, τούτους ἐνόμισε μάλιστ' ἂν ἀγαπᾷν τὴν παρ' ἑαυτῷ δίαιταν. 68. Λαμβάνει οὖν τούτων μυρίους δορυφόρους, οἳ κύκλῳ μὲν νυκτὸς καὶ ἡμέρας ἐφύλαττον περὶ τὰ βασίλεια, ὁπότε ἐπὶ χώρας εἴη· ὁπότε δὲ ἐξίοι που, ἔνθεν καὶ ἔνθεν τεταγμένοι ἐπορεύοντο. 69. Νομίσας δὲ, καὶ Βαβυλῶνος ὅλης φύλακας δεῖν εἶναι ἱκανοὺς, εἴτ' ἐπιδημῶν αὐτὸς τυγχάνοι, εἴτε καὶ ἀποδημῶν, κατέστησε καὶ ἐν Βαβυλῶνι φρουροὺς ἱκανούς· μισθὸν δὲ καὶ τούτοις Βαβυλωνίοις ἔταξε παρέχειν, βουλόμενος αὐτοὺς ὡς ἀμηχανωτάτους εἶναι, ὅπως ὅτι ταπεινότατοι καὶ εὐκαθεκτότατοι εἶεν.

70. Αὕτη μὲν δὴ περὶ αὐτόν τε φυλακὴ καὶ ἡ ἐν Βαβυλῶνι τότε κατασταθεῖσα καὶ νῦν ἔτι οὕτως ἔχουσα διαμένει. Σκοπῶν δ', ὅπως ἂν καὶ ἡ πᾶσα ἀρχὴ κατέχοιτο, καὶ ἄλλη ἔτι προσγίγνοιτο, ἡγήσατο, τοὺς μὲν μισθοφόρους τούτους οὐ τοσοῦτον βελτίονας τῶν ὑπηκόων εἶναι, ὅσον ἐλάττονας· τοὺς δ' ἀγαθοὺς ἄνδρας ἐγίγνωσκε συνεκτέον εἶναι, οἵπερ σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρέσχον, καὶ ἐπιμελητέον, ὅπως μὴ ἀνήσουσι τὴν τῆς ἀρετῆς ἄσκησιν. 71. Ὅπως δὲ μὴ ἐπιτάττειν αὐτοῖς δοκοίη, ἀλλὰ γνόντες καὶ αὐτοὶ ταῦτα ἄριστα εἶναι, οὕτως ἐμμένοιέν τε καὶ ἐπιμελοῖντο τῆς ἀρετῆς, συνέλεξε τούς τε ὁμοτίμους, καὶ πάντας, ὁπόσοι ἐπικαίριοι ἦσαν, καὶ ἀξιοχρεώτατοι αὐτῷ ἐδόκουν κοινωνοὶ εἶναι καὶ πόνων καὶ ἀγαθῶν. 72. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη χάρις, ὅτι ἔδοσαν ἡμῖν τυχεῖν, ὧν ἐνομίζομεν ἄξιοι εἶναι. Νῦν μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθήν, καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς· ἔχομεν δὲ καὶ οἰκίας, καὶ ἐν ταύταις κατασκευάς. 73. Καὶ μηδείς γε ὑμῶν ἔχων ταῦτα νομισάτω ἀλλότρια ἔχειν· νόμος γὰρ ἐν πᾶσιν ἀνθρώποις ἀΐδιός ἐστιν, ὅταν πολεμούντων πόλις ἁλῷ, τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα. Οὔκουν ἀδικίᾳ γε ἕξετε, ὅ τι ἂν ἔχητε, ἀλλὰ φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε, ἣν τε ἔδετε ἔχειν αὐτούς. 74. Τὸ μέντοι ἐκ τοῦδε οὕτως ἐγὼ γιγνώσκω, ὅτι, εἰ μὲν τρεφόμεθα ἐπὶ ῥᾳδιουργίαν καὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν, (οὓς νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιοτεύειν ἡδυπάθειαν) ταχὺ ἡμᾶς φημὶ ὀλίγου ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι, καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι. 75. Οὐ γάρ τοι τὸ ἀγαθοὺς ἄνδρας γενέσθαι, τοῦτο ἀρκεῖ, ὥστε καὶ διατελεῖν ὄντας ἀγαθούς, ἢν μή τις αὐτοῦ διὰ τέλους ἐπιμελῆται· ἀλλὰ ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι μείονος ἄξιαι γίγνονται, καὶ τὰ σώματά γε αὐτὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τούτου εἰς τὴν πονηρίαν πάλιν τρέπεται. 76. Οὔκουν δεῖ μέλλειν, οὐδ' ἐπὶ τὸ αὔριον ἡδὺ προϊέναι αὐτούς. Μέγα μὲν γάρ, οἶμαι, ἔργον καὶ τὸ ἀρχὴν καταπρᾶ-

ξαι, πολὺ δ' ἔτι μεῖζον, τὸ λαβόντα διασώσασθαι. Τὸ μὲν γὰρ λαβεῖν πολλάκις τῷ τόλμαν μόνον παρασχομένῳ ἐγένετο· τὸ δὲ λαβόντα κατέχειν, οὐκέτι τοῦτο ἄνευ σωφροσύνης, οὐδ' ἄνευ ἐγκρατείας, οὐδ' ἄνευ πολλῆς ἐπιμελείας γίγνεται. 77. Ἀχρὴ γιγνώσκοντας, νῦν πολὺ μᾶλλον ἀσκεῖν τὴν ἀρετὴν, ἢ πρὶν τάδε ταγαθὰ κτήσασθαι· εὖ εἰδότας, ὅτι, ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι καὶ φθονοῦσι καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται, ἄλλως τε κἂν παρ' ἀκόντων τά τε κτήματα καὶ τὴν θεραπείαν, ὥσπερ ἡμεῖς, ἔχῃ. Τοὺς μὲν οὖν θεοὺς οἰεσθαι χρὴ σὺν ἡμῖν ἕσεσθαι· οὐ γὰρ ἐπιβουλεύσαντες ἀδίκως ταῦτα ἔχομεν, ἀλλ' ἐπιβουλευθέντες ἐτιμωρησάμεθα. 78. Τὸ μέντοι μετὰ τοῦτο κράτιστον ἡμῖν αὐτοῖς παρασκευαστέον· τοῦτο δέ ἐστι, τὸ βελτίονας ὄντας τῶν ἀφομένων ἄρχειν ἀξιοῦν. Θάλπους μὲν οὖν καὶ ψύχους καὶ σίτων καὶ ποτῶν καὶ πόνων καὶ ὕπνου ἀνάγκη καὶ τοῖς δούλοις μεταδιδόναι· μεταδιδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν τούτοις πρῶτον βελτίονας αὐτῶν φαίνεσθαι. 79. Πολεμικῆς δ' ἐπιστήμης καὶ μελέτης παντάπασιν οὐ μεταδοτέον τούτοις, οὕστινας ἐργάτας τε ἡμετέρους καὶ δασμοφόρους βουλόμεθα καταστήσασθαι, ἀλλ' αὐτοὺς δεῖ τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν, γιγνώσκοντας, ὅτι ἐλευθερίας ταῦτα ὄργανα καὶ εὐδαιμονίας οἱ θεοὶ τοῖς ἀνθρώποις ἀπέδειξαν· καὶ ὥσπερ γε ἐκείνους τὰ ὅπλα ἀφῃρήμεθα, οὕτως ἡμᾶς αὐτοὺς δεῖ μὴ τῶν ὅπλων ποτ' ἐρήμους γίγνεσθαι, εὖ εἰδότας, ὅτι τοῖς

ἀεὶ ἐγγυτάτω τῶν ὅπλων οὖσι, τούτοις καὶ οἰκειότατά ἐστιν, ἃ ἂν βούλωνται. 80. Εἰ δέ τις τοιαῦτα ἐννοεῖται, τί δῆτα ἡμῖν ὄφελος καταπρᾶξαι, ἃ ἐπεθυμοῦμεν, εἰ ἔτι δεήσει καρτερεῖν καὶ πεινῶντας καὶ διψῶντας καὶ πονοῦντας καὶ ἐπιμελομένους; ἐκεῖνο δεῖ καταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ μᾶλλον εὐφραίνει, ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ' αὐτὰ ἀπίοι· (οἱ γὰρ πόνοι ὄψον τοῖς ἀγαθοῖς) ἄνευ δὲ τοῦ δεόμενον τυγχάνειν τινὸς, οὐδὲν οὕτω πολυτελῶς παρασκευασθείη ἂν, ὥσθ' ἡδὺ εἶναι. 81. Εἰ δὲ, ὧν μὲν μάλιστα ἄνθρωποι ἐπιθυμοῦσιν, ὁ δαίμων ἡμῖν ταῦτα συμπαρεισκεύακεν, ὡς δ' ἂν ἥδιστα ταῦτα φαίνοιτο, αὐτός τις αὐτῷ ταῦτα παρασκευάσει, ὁ τοιοῦτος ἀνὴρ τοσούτῳ πλεονεκτήσει τῶν ἐνδεεστέρων βίου, ὅσῳ πεινήσας τῶν ἡδίστων σίτων τεύξεται, καὶ διψήσας τῶν ἡδίστων ποτῶν ἀπολαύσεται, καὶ δεηθεὶς ἀναπαύσεως, ἥδιστον ἀναπαύσεται. 82. Ὧν ἕνεκα φημὶ χρῆναι νῦν ἐπιτεθῆναι ἡμᾶς εἰς ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν, ἧ ἄριστον καὶ ἥδιστον, ἀπολαύσωμεν, καὶ ὅπως τοῦ πάντων χαλεπωτάτου ἄπειροι γενώμεθα. Οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω χαλεπόν, ὥσπερ τὸ λαβόντα στερηθῆναι λυπηρόν. 83. Ἐννοήσατε δὲ καὶ κεῖνο, τίνα πρόφασιν ἔχοντες ἂν προσιέμεθα κακίονες, ἢ πρόσθεν, γενέσθαι. Πότερον ὅτι ἄρχομεν; Ἀλλ' οὐ δήπου τὸν ἄρχοντα τῶν ἀρχομένων πονηρότερον προσήκει εἶναι. Ἀλλ' ὅτι εὐδαιμονέστεροι δοκοῦμεν νῦν, ἢ πρότερον, εἶναι; Ἔπειτα τῇ εὐδαιμονίᾳ φήσει τις τὴν κακίαν ἐπιπρέ-

πειν; Ἀλλ' ὅτι, ἐπεὶ κεκτήμεθα δούλους, τούτους κολάσομεν, ἢν πονηροὶ ὦσι; Καὶ τί προσήκει, αὐτὸν ὄντα πονηρὸν πονηρίας ἕνεκα ἢ βλακείας ἄλλους κολάζειν; 84. Ἐννοεῖτε δ' ἔτι καὶ τοῦτο, ὅτι τρέφειν μὲν παρεσκευάσμεθα πολλοὺς καὶ τῶν ἡμετέρων οἰκων φύλακας καὶ τῶν σωμάτων· αἰσχρὸν δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν; Καὶ μὴν εὖ γε δεῖ εἰδέναι, ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ τοιαύτη, οἵα αὐτόν τινα καλὸν κἀγαθὸν ὑπάρχειν· τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν· τῷ δ' ἀρετῆς ἐρήμῳ οὐδὲ ἄλλο καλῶς ἔχειν οὐδὲν προσήκει. 85. Τί οὖν φημι χρῆναι ποιεῖν, καὶ ποῦ τὴν ἀρετὴν ἀσκεῖν, καὶ ποῦ τὴν μελέτην ποιεῖσθαι; Οὐδὲν καινόν, ὦ ἄνδρες, ἐρῶ· ἀλλ' ὥσπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, οὕτω καὶ ἡμᾶς φημὶ χρῆναι ἐνθάδε ὄντας τοὺς ὁμοτίμους πάντας ἅπερ καὶ ἐκεῖ ἐπιτηδεύειν, καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας, εἰ ἐπιμελόμενος, ὧν δεῖ, διάξω· ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἐπιτηδεύοντας, τούτους τιμήσω. 86. Καὶ τοὺς παῖδας δὲ, οἳ ἂν ἡμῖν γίγνωνται, ἐνθάδε παιδεύωμεν· αὐτοί τε γὰρ βέλτιονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα ἡμᾶς αὐτοὺς παρέχειν· οἵ τε παῖδες, οὐδ' ἂν εἰ βούλοιντο, ῥᾳδίως πονηροὶ γένοιντο, αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Η.

ΚΕΦ. Α.

ΚΥΡΟΣ μὲν οὖν οὕτως εἶπεν· ἀνέστη δ' ἐπ' αὐτῷ Χρυσάντας, καὶ εἶπεν ὧδε· Ἀλλὰ πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει, Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοίημεν. 2. Ὃ δέ μοι δοκεῖ ἐνδεέστερον, ἢ ὡς ἐχρῆν, δηλῶσαι, τοῦτο ἐγὼ πειράσομαι τοὺς μὴ εἰδότας διδάξαι. Ἐννοήσατε γὰρ δή, τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη· τίς δ' ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη· ποῖον δ' ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι· πῶς δ' ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς αὑτοῦ σωτηρίας βουλεύεσθαι· τί δὲ ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ τῶν μὴ πειθομένων τοῖς κρείττοσι· ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν· ἢ ποῖοι οἶκοι σωθείησαν· πῶς δ' ἂν νῆες, ὅποι δεῖ, ἀφίκοιντο. 3. Ἡμεῖς δὲ, ἃ νῦν ἀγαθὰ ἔχο-

μεν, διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν, ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; Διὰ τοῦτο γὰρ καὶ νυκτὸς καὶ ἡμέρας ταχὺ μὲν, ὅποι ἔδει, παρεγιγνόμεθα, ἀθρόοι τε τῷ ἄρχοντι ἑπόμενοι, ἀνυπόστατοι ἦμεν, τῶν δ' ἐπιταχθέντων οὐδὲν ἡμιτελὲς κατελείπομεν. Εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τἀγαθὰ, εὖ ἴστε, ὅτι τὸ αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν, ἃ δεῖ, μέγιστον ἀγαθόν ἐστι. 4. Καὶ πρόσθεν μὲν δὴ πολλοὶ ἡμῶν ἦρχον οὐδενὸς, ἤρχοντο δὲ· νῦν δὲ κατεσκεύασθε οὕτω πάντες οἷ παρόντες, ὥστε ἄρχετε οἱ μὲν πλειόνων, οἱ δὲ μειόνων. Ὥσπερ τοίνυν αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα, οἷς ἂν ἡμῖν καθήκοι. Τοσοῦτον δὲ διαφέρειν ἡμᾶς δεῖ τῶν δούλων, ὅσον οἱ μὲν δοῦλοι ἄκοντες τοῖς δεσπόταις ὑπηρετοῦσιν· ἡμᾶς δὲ, εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν, ὅ τι πλείστου ἄξιον φαίνεται εἶναι. Εὑρήσετε δὲ, ἔφη, καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται, τὴν μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσαν πείθεσθαι, ταύτην ἥκιστα τῶν πολεμίων ἀναγκαζομένην ὑπακούειν. 5. Παρῶμέν τε οὖν, ὥσπερ Κῦρος κελεύει, ἐπὶ τόδε τὸ ἀρχεῖον, ἀσκῶμέν τε, δι' ὧν μάλιστα δυνησόμεθα κατέχειν, ἃ δεῖ, παρέχωμέν τε ἡμᾶς αὐτοὺς χρῆσθαι Κύρῳ, ὅ τι ἂν δέῃ. Καὶ τοῦτο γὰρ εὖ εἰδέναι χρὴ, ὅτι οὐ μὴ δύνηται Κῦρος εὑρεῖν, ὅ τι αὐτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ· ἐπείπερ τά γε αὐτὰ ἡμῖν συμφέρει, καὶ οἱ αὐτοί εἰσιν ἡμῖν πολέμιοι.

6. Ἐπεὶ δὲ ταῦτα εἶπε Χρυσάντας, οὕτω δὴ καὶ ἄλλοι ἀνίσταντο πολλοὶ καὶ Περσῶν καὶ τῶν συμμάχων συνεροῦντες· καὶ ἔδοξε τοὺς ἐντίμους ἀεὶ παρεῖναι ἐπὶ θύρας, καὶ παρέχειν αὐτοὺς χρῆσθαι, ὅ τι βούληται, ἕως ἂν ἀφίῃ Κῦρος. Ὡς δὲ τότε ἔδοξεν, οὕτω καὶ νῦν ἔτι ποιοῦσιν οἱ κατὰ τὴν Ἀσίαν ὑπὸ βασιλεῖ ὄντες, θεραπεύουσί τε τὰς τῶν ἀρχόντων θύρας. 7. Ὅσα δ' ἐν τῷ λόγῳ δεδήλωται Κῦρος καταστησάμενος εἰς τὸ διαφυλάττειν ἑαυτῷ τε καὶ Πέρσαις τὴν ἀρχὴν, ταῦτα καὶ οἱ μετ' ἐκεῖνον βασιλεῖς νόμιμα ἔτι καὶ νῦν διατελοῦσι ποιοῦντες. 8. Οὕτω δ' ἔχει καὶ ταῦτα, ὥςπερ καὶ τἄλλα· ὅταν μὲν ὁ ἐπιστάτης βελτίων γένηται, καθαρώτερον τὰ νόμιμα πράττεται· ὅταν δὲ χείρων, φαυλότερον. Ἐφοίτων μὲν οὖν ἐπὶ τὰς θύρας Κύρου οἱ ἔντιμοι σὺν τοῖς ἵπποις καὶ ταῖς αἰχμαῖς, συνδόξαν πᾶσι τοῖς ἀρίστοις τῶν συγκαταστρεψαμένων τὴν ἀρχήν.

9. Κῦρος δ' ἐπὶ μὲν τἄλλα καθίστη ἄλλους ἐπιμελητὰς, καὶ ἦσαν αὐτῷ καὶ προσόδων ἀποδεκτῆρες, καὶ δαπανημάτων δοτῆρες, καὶ ἔργων ἐπιστάται, καὶ κτημάτων φύλακες, καὶ τῶν εἰς τὴν δίαιταν ἐπιτηδείων ἐπιμεληταί· καὶ ἵππων δὲ καὶ κυνῶν ἐπιμελητὰς καθίστη, οὓς ἐνόμιζε καὶ ταῦτα τὰ βοσκήματα βέλτιστ' ἂν παρέχειν αὐτῷ χρῆσθαι. 10. Οὓς δὲ συμφύλακας τῆς εὐδαιμονίας οἱ ᾠετο χρῆναι ἔχειν, τούτους, ὅπως ὡς βέλτιστοι ἔσονται, αὐτὸς ἐσκόπει, καὶ οὐκέτι τούτου τὴν ἐπιμέλειαν ἄλλοις προσέταττεν, ἀλλ' αὐτοῦ ἐνόμιζε τοῦτο ἔργον εἶναι. Ἤιδει γάρ,

ὅτι, εἴ τι μάχης ποτὲ δεήσοι, ἐκ τούτων αὐτῷ καὶ παρασκευάσας καὶ ἐπιστάτας ληπτέον εἴη, σὺν οἷσπερ οἱ μέγιστοι κίνδυνοι· καὶ ταξιάρχους δὲ καὶ πεζῶν καὶ ἱππέων ἐγίγνωσκεν ἐκ τούτων καταστατέον εἶναι. 11. Εἰ δέοι δὲ καὶ στρατηγῶν που ἄνευ αὐτοῦ, ᾔδει, ὅτι ἐκ τούτων πεμπτέον εἴη· καὶ πόλεων δὲ καὶ ὅλων ἐθνῶν φύλαξε καὶ σατράπαις ᾔδει ὅτι τούτων τισὶν εἴη χρηστέον, καὶ πρέσβεις γε τούτων τινὰς πεμπτέον· ὅπερ ἐν τοῖς μεγίστοις ἡγεῖτο εἶναι εἰς τὸ ἄνευ πολέμου τυγχάνειν ὧν δέοιτο. 12. Μὴ ὄντων μὲν οὖν, οἷον δεῖ, δι' ὧν αἱ μέγισται καὶ πλεῖσται πράξεις ἔμελλον εἶναι, κακῶς ἡγεῖτο τὰ αὐτοῦ ἕξειν· εἰ δ' οὗτοι εἶεν, οἵους δέοι, πάντα ἐνόμιζε καλῶς ἔσεσθαι. Ἐνέδυ μὲν οὖν, οὕτω γνούς, εἰς ταύτην τὴν ἐπιμέλειαν· ἐνόμιζε δὲ τὴν αὐτὴν καὶ αὐτῷ ἄσκησιν εἶναι τῆς ἀρετῆς. Οὐ γὰρ ᾤετο οἷόν τε εἶναι, μὴ αὐτόν τινα ὄντα, οἷον δεῖ, ἄλλους παρορμᾶν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἔργα.

13. Ὡς δὲ ταῦτα διενοήθη, ἠγήσατο σχολῆς πρῶτον δεῖν, εἰ μέλλοι δυνήσεσθαι τῶν κρατίστων ἐπιμελεῖσθαι. Τὸ μὲν οὖν προσόδων ἀμελεῖν οὐκ οἷόν τε ἐνόμισεν εἶναι, προνοῶν, ὅτι πολλὰ καὶ τελεῖν ἀνάγκη ἔσοιτο εἰς μεγάλην ἀρχήν· τὸ δ' αὖ, πολλῶν κτημάτων ὄντων, ἀμφὶ ταῦτα αὐτὸν ἀεὶ ἔχειν, ᾔδει, ὅτι ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι. 14. Οὕτω δὴ σκοπῶν, ὅπως ἂν τά τε οἰκονομικὰ καλῶς ἔχοι, καὶ ἡ σχολὴ γένοιτο, κατενόησέ πως τὴν στρατιωτικὴν σύνταξιν. Ὡς γὰρ τὰ πολλὰ

δεκάδαρχοι μὲν δεκαδέων ἐπιμέλονται, λοχαγοὶ δὲ δεκαδάρχων, χιλίαρχοι δὲ λοχαγῶν, μυρίαρχοι δὲ χιλιάρχων· καὶ οὕτως οὐδεὶς ἀτημέλητος γίγνεται, οὐδ' ἦν πάνυ πολλαὶ μυριάδες ἀνθρώπων ὦσι καὶ ὅταν ὁ στρατηγὸς βούληται χρήσασθαί τι τῇ στρατιᾷ, ἀρκεῖ, ἢν τοῖς μυριάρχοις παραγγείλῃ. 15. Ὥσπερ οὖν ταῦτα ἔχει, οὕτω καὶ ὁ Κῦρος συνεκεφαλαιώσατο τὰς οἰκονομικὰς πράξεις· ὥστε καὶ τῷ Κύρῳ ἐγένετο, ὀλίγοις διαλεγομένῳ, μηδὲν τῶν οἰκείων ἀτημελήτως ἔχειν· καὶ ἐκ τούτου ἤδη σχολὴν ἦγε πλείω, ἢ ἄλλος μιᾶς οἰκίας καὶ μιᾶς νεὼς ἐπιμελόμενος. Οὕτω δὲ καταστησάμενος τὰ αὑτοῦ, ἐδίδαξε καὶ τοὺς περὶ αὐτὸν ταύτῃ τῇ καταστάσει χρῆσθαι.

16. Τὴν μὲν δὴ σχολὴν οὕτω κατεσκευάσατο ἑαυτῷ τε καὶ τοῖς περὶ αὐτόν. Ἤρχετο δ' ἐπιστατεῖν τοῦ οἵους δεῖ εἶναι τοὺς κοινῶνας. Πρῶτον μὲν οὖν ὁπόσοι ὄντες ἱκανοὶ ἄλλων ἐργαζομένων τρέφεσθαι μὴ παρεῖεν ἐπὶ τὰς θύρας, τούτους ἐπεζήτει· νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν ἐθέλειν οὔτε κακὸν οὔτε αἰσχρὸν οὐδὲν ἂν πράττειν, καὶ διὰ τὸ παρὰ ἄρχοντι εἶναι, καὶ διὰ τὸ εἰδέναι, ὅτι ὁρῷντ' ἄν, ὅ τι πράττοιεν, ὑπὸ τῶν βελτίστων· οἳ δὲ μὴ παρεῖεν, τούτους ἡγεῖτο ἢ ἀκρατείᾳ τινὶ ἢ ἀδικίᾳ ἢ ἀμελείᾳ ἀπεῖναι. 17. Τοῦτο οὖν πρῶτον ἡγησάμενος, προσηνάγκαζε τοὺς τοιούτους παρεῖναι· τῶν γὰρ παρ' ἑαυτῷ μάλιστα φίλων ἐκέλευσεν ἄν τινα λαβεῖν τὰ τοῦ μὴ φοιτῶντος, φάσκοντα λαμβάνειν τὰ ἑαυτοῦ. Ἐπεὶ οὖν τοῦτο γένοιτο, ἦκον ἂν εὐθὺς οἱ στερό-

μενοι, ὡς ἠδικημένοι. 18. Ὁ δὲ Κῦρος πολὺν μὲν χρόνον οὐκ ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν· ἐπεὶ δὲ ἐκούσειεν αὐτῶν, πολὺν χρόνον ἀνεβάλλετο τὴν διαδικασίαν. Ταῦτα δὲ ποιῶν ἡγεῖτο προσεθίζειν αὐτοὺς θεραπεύειν, ἧττον δὲ ἐχθρῶς, ἢ εἰ αὐτὸς κολάζων ἠνάγκαζε παρεῖναι. 19. Εἷς μὲν διδασκαλίας τρόπος ἦν αὐτῷ οὗτος τοῦ παρεῖναι· ἄλλος δέ, τὸ τὰ ῥᾷστα καὶ κερδαλεώτατα τοῖς παροῦσι προστάττειν· ἄλλος δέ, τὸ μηδέν ποτε τοῖς ἀποῦσι νέμειν. 20. Ὁ δὲ δὴ μέγιστος τρόπος τῆς ἀνάγκης ἦν, εἴ τις τούτων μηδενὸς ὑπακούοι, ἀφελόμενος ἂν τοῦτον, ἃ ἔχοι, ἄλλῳ ἐδίδου, ὃν ᾤετο δύνασθαι ἂν ἐν τῷ δέοντι παρεῖναι· καὶ οὕτως ἐγίγνετο αὐτῷ φίλος χρήσιμος ἀντὶ ἀχρήστου. Ἐπιζητεῖ δὲ καὶ ὁ νῦν βασιλεὺς, ἤν τις ἀπῇ, οἷς παρεῖναι καθήκει.

21. Τοῖς μὲν δὴ μὴ παροῦσιν οὕτω προσεφέρετο. Τοὺς δὲ παρέχοντας ἑαυτοὺς ἐνόμισε μάλιστ' ἂν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἐπαίρειν, ἐπείπερ ἄρχων αὐτῶν ἐνόμιζε δικαίως εἶναι, εἰ αὐτὸς ἑαυτὸν ἐπιδεικνύειν πειρῷτο τοῖς ἀρχομένοις πάντων μάλιστα κεκοσμημένον τῇ ἀρετῇ. 22. Αἰσθάνεσθαι μὲν γὰρ ἐδόκει, καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους γιγνομένους ἀνθρώπους· τὸν δὲ ἀγαθὸν ἄρχοντα, βλέποντα νόμον ἀνθρώποις ἐνόμιζεν, ὅτι καὶ τάττειν ἱκανός ἐστι, καὶ ὁρᾶν τὸν ἀτακτοῦντα καὶ κολάζειν. 23. Οὕτω δὴ γιγνώσκων, πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς μᾶλλον ἐκπονοῦντα ἐπεδείκνυεν ἑαυτὸν ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ εὐδαιμονέστερος ἦν. Καὶ τότε πρῶτον

κατεστάθησαν οἱ μάγοι, ὕμνει τε ἀεὶ ἅμα τῇ ἡμέρᾳ τοὺς θεούς, καὶ ἔθυε ἂν ἑκάστην ἡμέραν, οἷς οἱ μάγοι θεοῖς εἰποιεν. 24. Οὕτω δὴ τὰ τότε καταστάθεντα ἔτι καὶ νῦν διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ. Ταῦτα οὖν πρῶτον ἐμιμοῦντο αὐτὸν καὶ οἱ ἄλλοι Πέρσαι, νομίζοντες καὶ αὐτοὶ εὐδαιμονέστεροι ἔσεσθαι, ἢν θεραπεύωσι τοὺς θεούς, ὥςπερ ὁ εὐδαιμονέστατός τε ὢν καὶ ἄρχων· καὶ Κύρῳ δ' ἂν ἡγοῦντο ταῦτα ποιοῦντες ἀρέσκειν.

25. Ὁ δὲ Κῦρος τὴν τῶν μεθ' αὑτοῦ εὐσέβειαν καὶ ἑαυτῷ ἀγαθὸν ἐνόμιζε, λογιζόμενος, ὥςπερ οἱ πλεῖν αἱρούμενοι μετὰ τῶν εὐσεβῶν μᾶλλον, ἢ μετὰ τῶν ἠσεβηκέναι τι δοκούντων. Πρὸς δὲ τούτοις ἐλογίζετο, εἰ πάντες οἱ κοινῶνες θεοσεβεῖς εἶεν, ἧττον ἂν αὐτοὺς ἐθέλειν περί τε ἀλλήλους ἀνόσιόν τι ποιεῖν καὶ περὶ αὐτὸν, εὐεργέτης νομίζων εἶναι τῶν κοινώνων. 26. Ἐμφανίζων δὲ καὶ τοῦτο, ὅτι περὶ πολλοῦ ἐποιεῖτο, μηδένα μήτε φίλον ἀδικεῖν, μήτε σύμμαχον, ἀλλὰ τὸ δίκαιον ἰσχυρῶς ὁρῶν, μᾶλλον καὶ τοὺς ἄλλους ᾤετ' ἂν τῶν μὲν αἰσχρῶν κερδῶν ἀπέχεσθαι, διὰ τοῦ δικαίου δ' ἐθέλειν πορίζεσθαι. 27. Καὶ αἰδοῦς δ' ἂν ἡγεῖτο μᾶλλον πάντας ἐμπιπλάναι, εἰ αὐτὸς φανερὸς εἴη πάντας οὕτως αἰδούμενος, ὡς μήτ' εἰπεῖν ἂν μήτε ποιῆσαι μηδὲν αἰσχρόν. 28. Ἐτεκμαίρετο δὲ τοῦτο οὕτως ἔξειν ἐκ τοῦδε· μὴ γὰρ ὅτι ἄρχοντα, ἀλλὰ καὶ οὓς οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους αἰδοῦνται τῶν ἀναιδῶν οἱ ἄνθρωποι· καὶ γυναῖκας δὲ, ἃς ἂν αἰδουμένας αἰσθάνωνται, ἀνταιδεῖσθαι μᾶλλον ἐθέ-

λουσιν ὁρῶντες. 29. Τὸ δ' αὖ πείθεσθαι οὕτω μάλιστ' ἂν ᾤετο ἔμμονον εἶναι τοῖς περὶ αὐτὸν, εἰ τοὺς ἀπροφασίστως πειθομένους φανερὸς εἴη μᾶλλον τιμῶν τῶν τὰς μεγίστας ἀρετὰς καὶ ἐπιπονωτάτας δοκούντων παρέχεσθαι. Γιγνώσκων δ' οὕτω καὶ ποιῶν διετέλει. 30. Καὶ σωφροσύνην δ' αὐτοῦ ἐπιδεικνὺς, μᾶλλον ἐποίει καὶ ταύτην πάντας ἀσκεῖν. Ὅταν γὰρ ὁρῶσιν, ᾧ μάλιστα ἔξεστιν ὑβρίζειν, τοῦτον σοφρονοῦντα, οὕτω μᾶλλον οἵ γε ἀσθενέστεροι ἐθέλουσιν οὐδὲν ὑβριστικὸν ποιοῦντες φανεροὶ εἶναι. 31. Λήρει δὲ αἰδὼ καὶ σωφροσύνην τῇδε, ὡς τοὺς μὲν αἰδουμένους τὰ ἐν τῷ φανερῷ αἰσχρὰ φεύγοντας, τοὺς δὲ σώφρονας καὶ τὰ ἐν τῷ ἀφανεῖ. 32. Καὶ ἐγκράτειαν δὲ οὕτω μάλιστ' ἂν ᾤετο ἀσκεῖσθαι, εἰ αὐτὸς ἐπιδεικνύοι ἑαυτὸν μὴ ὑπὸ τῶν παραυτίκα ἡδονῶν ἑλκόμενον ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ προπονεῖν ἐθέλοντα πρῶτον σὺν τῷ καλῷ τῶν εὐφροσυνῶν. 33. Τοιγαροῦν τοιοῦτος ὢν ἐποίησεν ἐπὶ ταῖς θύραις πολλὴν μὲν τῶν χειρόνων εὐταξίαν, ὑπεικόντων τοῖς ἀμείνοσι, πολλὴν δ' αἰδὼ καὶ εὐκοσμίαν πρὸς ἀλλήλους. Ἐπέγνως δ' ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ, οὔτε χαίροντα ὑβριστικῶς γέλωτι· ἀλλὰ ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι εἰς κάλλος ζῆν.

34. Τοιαῦτα μὲν δὴ ποιοῦντες καὶ ὁρῶντες ἐπὶ θύραις διῆγον. Τῆς πολεμικῆς δ' ἕνεκα ἀσκήσεως ἐπὶ θήραν ἐξῆγεν, οὗσπερ ἀσκεῖν ταῦτα ᾤετο χρῆναι· ταύτην ἡγούμενος καὶ ὅλως ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι, καὶ ἱππικῆς δὲ ἀληθεστάτην. 35. Καὶ γὰρ

ἐπόχους ἐν παντοδαποῖς χωρίοις αὖτη μάλιστα ἀποδείκνυσι, διὰ τὸ θηρίοις φεύγουσιν ἐφέπεσθαι· καὶ ἀπὸ τῶν ἵππων ἐνεργοὺς αὖτη μάλιστα ἀπεργάζεται, διὰ τὴν τοῦ λαμβάνειν φιλοτιμίαν καὶ ἐπιθυμίαν. 36. Καὶ τὴν ἐγκράτειαν δέ, καὶ πόνους, καὶ ψύχη καὶ θάλπη, καὶ λιμὸν καὶ δίψος δύνασθαι φέρειν, ἐνταῦθα μάλιστα προσεἰθιζε τοὺς κοινῶνας. Καὶ νῦν δ' ἔτι βασιλεὺς, καὶ οἱ ἄλλοι οἱ περὶ βασιλέα, ταῦτα ποιοῦντες διατελοῦσιν. 37. Ὅτι μὲν οὖν οὐκ ᾤετο προσήκειν οὐδενὶ ἀρχῆς, ὅστις μὴ βελτίων εἴη τῶν ἀρχομένων, καὶ τοῖς προειρημένοις πᾶσι δῆλον· καὶ ὅτι, οὕτως ἀσκῶν τοὺς περὶ ἑαυτὸν, πολὺ μάλιστα αὐτὸς ἐξεπόνει καὶ τὴν ἐγκράτειαν, καὶ τὰς πολεμικὰς τέχνας καὶ τὰς μελέτας. 38. Καὶ γὰρ ἐπὶ θήραν τοὺς μὲν ἄλλους ἐξῆγεν, ὁπότε μὴ μένειν ἀνάγκη τις εἴη· αὐτὸς δὲ καὶ ὁπότε ἀνάγκη εἴη, οἷκοι ἐθήρα τὰ ἐν τοῖς παραδείσοις θηρία τρεφόμενα· καὶ οὔτε αὐτός ποτε, πρὶν ἱδρῶσαι, δεῖπνον ἤρεῖτο, οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε· συμπαρεκάλει δὲ καὶ εἰς ταύτην τὴν θήραν τοὺς περὶ αὐτὸν σκηπτοὺχους. 39. Τοιγαροῦν πολὺ μὲν αὐτὸς διέφερεν ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, πολὺ δὲ οἱ περὶ ἐκεῖνον, διὰ τὴν ἀεὶ μελέτην. Παράδειγμα μὲν δὴ τοιόνδε ἑαυτὸν παρείχετο. Πρὸς δὲ τούτῳ, καὶ τῶν ἄλλων οὕστινας μάλιστα ὁρᾷη τὰ καλὰ διώκοντας, τούτους καὶ δώροις καὶ ἀρχαῖς καὶ ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν· ὥστε πολλὴν πᾶσι φιλοτιμίαν ἐνέβαλλεν, ὅπως ἕκαστος ὅτι ἄριστος φανήσοιτο Κύρῳ.

40. Καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν, ὡς οὐ τούτῳ μόνῳ ἐνόμιζε χρῆναι τοὺς ἄρχοντας τῶν ἀρχομένων διαφέρειν, τῷ βελτίονας αὐτῶν εἶναι, ἀλλὰ καὶ καταγοητεύειν ᾤετο χρῆναι αὐτούς. Στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐτός τε φορεῖν, καὶ τοὺς κοινῶνας ταύτην ἔπεισεν ἐνδύεσθαι· αὕτη γὰρ αὐτῷ συγκρύπτειν ἐδόκει, εἴ τίς τι ἐν τῷ σώματι ἐνδεὲς ἔχοι, καὶ καλλίστους καὶ μεγίστους ἐπιδεικνύναι τοὺς φοροῦντας. 41. Καὶ γὰρ τὰ ὑποδήματα τοιαῦτα ἔχουσιν, ἐν οἷς μάλιστα λαθεῖν ἔστι καὶ ὑποτιθεμένους τι, ὥστε δοκεῖν μείζονες εἶναι, ἢ εἰσί. Καὶ ὑποχρίεσθαι δὲ τοὺς ὀφθαλμοὺς προσίετο, ὡς εὐοφθαλμότεροι φαίνοιντο, ἢ εἰσί· καὶ ἐντρίβεσθαι, ὡς εὐχροώτεροι ὁρῷντο, ἢ πεφύκασιν. 42. Ἐμελέτησε δὲ καὶ ὡς μηδὲ πτύοντες, μηδὲ ἀπομυττόμενοι φανεροὶ εἶεν· μηδὲ μεταστρεφόμενοι ἐπὶ θέαν μηδενός, ὡς οὐδὲν θαυμάζοντες. Πάντα δὲ ταῦτα ᾤετο φέρειν τι εἰς τὸ δυσκαταφρονητοτέρους φαίνεσθαι τοῖς ἀρχομένοις.

43. Οὓς μὲν δὴ ἄρχειν ᾤετο χρῆναι, δι' ἑαυτοῦ οὕτω κατεσκεύασε καὶ μελέτῃ καὶ τῷ σεμνῶς προεστάναι αὐτῶν· οὓς δ' αὖ κατεσκεύαζεν εἰς τὸ δουλεύειν, τούτους οὔτε μελετᾶν τῶν ἐλευθερίων πόνων οὐδένα παρώρμα, οὔτε ὅπλα κεκτῆσθαι ἐπέτρεπεν· ἐπεμελεῖτο δ', ὅπως μήτε ἄσιτοι μήτε ἄποτοί ποτε ἔσοιντο ἐλευθερίων ἕνεκα μελετημάτων. 44. Καὶ γὰρ ὁπόταν ἐλαύνοιεν τὰ θηρία τοῖς ἱππεῦσιν εἰς τὰ πεδία, φέρεσθαι σῖτον εἰς θήραν τούτοις ἐπέτρεπε, τῶν δὲ ἐλευθέρων οὐδενί· καὶ ὁπότε πορεία εἴη, ἦγεν αὖ-

τοὺς πρὸς τὰ ὕδατα, ὥςπερ τὰ ὑποζύγια. Καὶ ὁπότε δὲ ὥρα εἴη ἀρίστου, ἀνέμενεν αὐτούς, ἔςτ' ἂν φάγοιέν τι, ὡς μὴ βουλιμιῶεν· ὥςτε καὶ οὗτοι ἑαυτὸν, ὥςπερ οἱ ἄριστοι, πατέρα ἐκάλουν, ὅτι ἐπεμέλετο αὐτῶν, ὅπως ἀναμφιλόγως ἀεὶ ἀνδράποδα διατελοῖεν.

45. Τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ οὕτω τὴν ἀσφάλειαν κατεσκεύαζεν. Ἑαυτῷ δὲ ὅτι μὲν οὐχ ὑπὸ τῶν καταστραφέντων κίνδυνος εἴη παθεῖν τι, ἰσχυρῶς ἐθάρρει· καὶ γὰρ ἀνάλκιδας ἡγεῖτο εἶναι αὐτούς, καὶ ἀσυντάκτους ὄντας ἑώρα, καὶ πρὸς τούτοις οὐδὲ ἐπλησίαζε τούτων οὐδεὶς αὐτῷ οὔτε νυκτὸς οὔτε ἡμέρας. 46. Οὓς δὲ κρατίστους τε ἡγεῖτο, καὶ ὡπλισμένους καὶ ἀθρόους ὄντας ἑώρα, καὶ τοὺς μὲν αὐτοὺς ἤδει ἱππέων ἡγεμόνας ὄντας, τοὺς δὲ πεζῶν· πολλοὺς δὲ αὐτῶν καὶ φρονήματα ἔχοντας ἠσθάνετο, ὡς ἱκανοὺς ὄντας ἄρχειν· καὶ τοῖς φύλαξι δὲ αὐτοῦ οὗτοι μάλιστα ἐπλησίαζον, καὶ αὐτῷ δὲ Κύρῳ τούτων πολλοὶ πολλάκις συνεμίγνυσαν· (ἀνάγκη γὰρ ἦν, ὅτι καὶ χρῆσθαι ἔμελλεν αὐτοῖς) ὑπὸ τούτων οὖν καὶ κίνδυνος ἦν αὐτὸν μάλιστα παθεῖν τι κατὰ πολλοὺς τρόπους. 47. Σκοπῶν οὖν, ὅπως ἂν αὐτῷ καὶ τὰ ἀπὸ τούτων ἀκίνδυνα γένοιτο, τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπολέμους ποιῆσαι, ἀπεδοκίμασε, καὶ ἄδικον ἡγούμενος, καὶ κατάλυσιν τῆς ἀρχῆς τοῦτο νομίζων· τὸ δ' αὖ μὴ προσίεσθαι αὐτοὺς, καὶ τὸ ἀπιστοῦντα φανερὸν εἶναι, ἀρχὴν ἡγήσατο πολέμου· 48. ἓν δ' ἀντὶ πάντων τούτων ἔγνω καὶ κράτιστον εἶναι

πρὸς τὴν αὐτοῦ ἀσφάλειαν καὶ κάλλιστον, εἰ δύναιτο ποιῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλοις. Ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι.

CAP. II.

1. Πρῶτον μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἠδύνατο μάλιστα ἐνεφάνιζεν· ἡγούμενος, ὥσπερ οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας, οὐδ' εὐνοεῖν τοῖς κακονόοις, οὕτω καὶ τοὺς γνωσθέντας, ὡς φιλοῦσι καὶ εὐνοοῦσιν, οὐκ ἂν δύνασθαι μισεῖσθαι ὑπὸ τῶν φιλεῖσθαι ἡγουμένων. 2. Ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐεργετεῖν, τῷ τε προνοεῖν τῶν συνόντων, καὶ τῷ προπονεῖν, καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς, τούτοις ἐπειρᾶτο τὴν φιλίαν θηρεύειν· ἐπειδὴ δὲ ἐγένετο αὐτῷ, ὥστε χρήμασιν εὐεργετεῖν, δοκεῖ ἡμῖν γνῶναι, πρῶτον μέν, ὡς εὐεργέτημα ἀνθρώποις πρὸς ἀλλήλους οὐδέν ἐστιν ἀπὸ τῆς αὐτῆς δαπάνης ἐπιχαριτώτερον, ἢ σίτων καὶ ποτῶν μετάδοσις. 3. Τοῦτο δ' οὕτω νομίσας, πρῶτον μὲν ἐπὶ τὴν αὐτοῦ τράπεζαν συνέταξεν, ὅπως, οἷς αὐτὸς σιτοῖτο σίτοις, τούτοις ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ, ἱκανὰ παμπόλλοις ἀνθρώποις· ὅσα δὲ παρατεθείη, ταῦτα πάντα, πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο, διεδίδου οἷς ἀεὶ βούλοιτο τῶν φίλων μνήμην ἐνδείκνυσθαι ἢ φιλοφροσύνην. Διέπεμπε δὲ καὶ τούτοις, οἷς ἀγασθείη,

НБ ОНУ імені І. Мечникова

ἢ ἐν φυλακαῖς ἢ ἐν Θεραπείαις ἢ ἐν αἰχμαλωσίαις πράξειν· ἐνσημαινόμενος τοῦτο, ὅτι οὐκ ἂν λανθάνοιεν χαρίζεσθαι βουλόμενοι. 4. Ἐτίμα δὲ καὶ τῶν οἰκετῶν ἀπὸ τῆς τραπέζης ὁπότε τινὰ ἐπαινέσειε· καὶ τὸν πάντα δὲ σῖτον τῶν οἰκετῶν ἐπὶ τὴν αὐτοῦ τράπεζαν ἐπετίθετο, οἰόμενος, ὥσπερ καὶ τοῖς κυσὶν, ἐμποιεῖν τινα καὶ τοῦτο εὔνοιαν. Εἰ δὲ καὶ Θεραπεύεσθαί τινα βούλοιτο τῶν φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τραπέζης· καὶ νῦν γὰρ ἔτι οἷς ἂν ὁρῶσι πεμπόμενα ἀπὸ τῆς βασιλέως τραπέζης, τούτους πάντες μᾶλλον Θεραπεύουσι· νομίζοντες αὐτοὺς ἐντίμους εἶναι, καὶ ἱκανοὺς διαπράττειν, ἤν τι δέωνται. Ἔτι δὲ καὶ οὐ τούτων μόνον ἕνεκα τῶν εἰρημένων εὐφραίνει τὰ πεμπόμενα παρὰ βασιλέως, ἀλλὰ τῷ ὄντι καὶ ἡδονῇ πολὺ διαφέρει τὰ ἀπὸ τῆς βασιλέως τραπέζης. 5. Καὶ τοῦτο μέντοι οὕτως ἔχειν οὐδέν τι θαυμαστόν· ὥσπερ γὰρ καὶ ἄλλαι τέχναι διαφερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσὶ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ διαφερόντως ἐκπεπόνηται. Ἐν μὲν γὰρ ταῖς μικραῖς πόλεσιν οἱ αὐτοὶ ποιοῦσι κλίνην, θύραν, ἄροτρον, τράπεζαν· πολλάκις δ' ὁ αὐτὸς οὗτος καὶ οἰκοδομεῖ, καὶ ἀγαπᾷ, ἤν καὶ οὕτως ἱκανὸς αὐτὸν τρέφειν ἐργοδότας λαμβάνῃ· ἀδύνατον οὖν πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν. Ἐν δὲ ταῖς μεγάλαις πόλεσι, διὰ τὸ πολλοὺς ἑκάστου δεῖσθαι, ἀρκεῖ καὶ μία ἑκάστῳ τέχνη εἰς τὸ τρέφεσθαι· πολλάκις δὲ οὐδ' ὅλη μία· ἀλλ' ὑποδήματα ποιεῖ ὁ

μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα· ἔστι δὲ ἔνθα καὶ ὑποδήματα ὁ μὲν νευροραφῶν μόνον τρέφεται, ὁ δὲ σχίζων· ὁ δὲ χιτῶνας μόνον συντέμνων, ὁ δέ γε τούτων οὐδὲν ποιῶν, ἀλλὰ συντιθεὶς ταῦτα. Ἀνάγκη οὖν, τὸν ἐν βραχυτάτῳ διατρίβοντα ἔργῳ, τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν. 6. Τὸ αὐτὸ δὲ τοῦτο πέπονθε καὶ τὰ ἀμφὶ τὴν δίαιταν. Ὧι μὲν γὰρ ὁ αὐτὸς κλίνην στρώννυσι, τράπεζαν κοσμεῖ, μάττει, ὄψα ἄλλοτε ἄλλοῖα ποιεῖ, ἀνάγκη, οἶμαι, τούτῳ, ὡς ἂν ἕκαστον προχωρῇ, οὕτως ἔχειν· ὅπου δὲ ἱκανὸν ἔργον ἑνὶ ἕψειν κρέα, ἄλλῳ ὀπτᾶν, ἄλλῳ δὲ ἰχθὺν ἕψειν, ἄλλῳ ὀπτᾶν, ἄλλῳ ἄρτους ποιεῖν, καὶ μηδὲ τούτους παντοδαπούς, ἀλλὰ ἀρκεῖ, ἂν ἓν εἶδος εὐδοκιμοῦν παράσχῃ· ἀνάγκη, οἶμαι, ταῦτα οὕτω ποιούμενα πολὺ διαφιρόντως ἐξειργάσθαι ἕκαστον.

7. Τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ τοιαῦτα ποιῶν πολὺ ὑπερεβάλετο πάντας. Ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι θεραπεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι· πολὺ γὰρ διενεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν, πολὺ ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώποις δωρεῖσθαι. Κατῆρξε μὲν οὖν τούτου Κῦρος· διαμένει δὲ ἔτι καὶ νῦν τοῖς βασιλεῦσιν ἡ πολυδωρία. 8. Τίνι μὲν γὰρ φίλοι πλουσιώτεροι ὄντες φανεροί, ἢ Περσῶν βασιλεῖ; Τίς δὲ κοσμῶν κάλλιον φαίνεται στολαῖς τοὺς περὶ αὐτόν, ἢ βασιλεύς; Τίνος δὲ δῶρα γιγνώσκεται, ὥσπερ ἔνια τῶν βασιλέως,

ψέλλια καὶ στρεπτοὶ καὶ ἵπποι χρυσοχάλινοι;

οὐ γὰρ δὴ ἔξεστιν ἐκεῖ ταῦτα ἔχειν, ᾧ ἂν μὴ βασι-

λεὺς δῷ. 9. Τίς δ' ἄλλος λέγεται δώρων μεγίθει ποιεῖν αἱρεῖσθαι αὐτὸν καὶ ἀντ' ἀδελφῶν καὶ ἀντὶ παίδων; Τίς δ' ἄλλος ἐδυνάσθη ἐχθροὺς ἀπέχοντας πολλῶν μηνῶν ὁδὸν τιμωρεῖσθαι, ὥς Περσῶν βασιλεύς; Τίς δ' ἄλλος, καταστρεψάμενος ἀρχὴν, ὑπὸ τῶν ἀρχομένων πατὴρ καλούμενος ἀπέθανεν, ἢ Κῦρος; Τοῦτο δὲ τοὔνομα δῆλον ὅτι εὐεργετοῦντός ἐστι μᾶλλον, ἢ ἀφαιρουμένου. 10. Κατεμάθομεν δὲ, ὡς καὶ τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς καὶ τὰ βασιλέως ὦτα οὐκ ἄλλως ἐκτήσατο, ἢ τῷ δωρεῖσθαί τε καὶ τιμᾶν· τοὺς γὰρ ἀπαγγείλαντας, ὅσα καιρὸς αὐτῷ εἴη πεπύσθαι, μεγάλως εὐεργετῶν, πολλοὺς ἐποίησεν ἀνθρώπους καὶ ὠτακουστεῖν καὶ κατοπτεύειν, τί ἂν ἀγγείλαντες ὠφελήσειαν βασιλέα. 11. Ἐκ τούτου δὴ καὶ πολλοὶ ἐνομίσθησαν βασιλέως ὀφθαλμοὶ, καὶ πολλὰ ὦτα. Εἰ δέ τις οἴεται, ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται· ὀλίγα γὰρ εἷς γ' ἂν ἴδοι καὶ εἷς ἀκούσειε· καὶ τοῖς ἄλλοις ὥςπερ ἀμελεῖν ἂν παραγγελλόμενον εἴη, εἰ ἑνὶ τοῦτο προτεταγμένον εἴη· πρὸς δὲ καὶ ὄντινα γιγνώσκοιεν ὀφθαλμὸν ὄντα, τοῦτον ἂν εἰδεῖεν ὅτι φυλάττεσθαι δεῖ. Ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ φάσκοντος ἀκοῦσαί τι ἢ ἰδεῖν ἄξιον ἐπιμελείας παντὸς βασιλεὺς ἀκούοι. 12. Οὕτω δὴ πολλὰ μὲν βασιλέως ὦτα, πολλοὶ δὲ ὀφθαλμοὶ νομίζονται· καὶ φοβοῦνται παντα χοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ, ὥςπερ αὐτοῦ ἀκούοντος, καὶ ποιεῖν, ἃ μὴ σύμφορα, ὥςπερ αὐτοῦ παρόντος. Οὐκ οὖν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε πρός

τινα περὶ Κύρου φλαῦρόν τι, ἀλλ' ὡς ἐν ὀφθαλμοῖς πᾶσι καὶ ὡσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν οὕτως ἕκαστος διέκειτο. Τοῦ δὲ οὕτω διακεῖσθαι τοὺς ἀνθρώπους πρὸς αὐτὸν, ἐγὼ μὲν οὐκ οἶδ', ὅ τι ἄν τις αἰτιάσαιτο μᾶλλον, ἢ ὅτι μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν.

13. Καὶ τὸ μὲν δὴ μεγέθει δώρων ὑπερβαλέσθαι, πλουσιώτατον ὄντα, οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι, τοῦτο ἀξιολογώτερον. Ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι μηδενὶ ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος, ὡς φίλων θεραπείᾳ. 14. Καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι, παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ· τόν τε γὰρ νομέα χρῆναι ἅρα ἔφη εὐδαίμονα τὰ κτήνη ποιοῦντα, χρῆσθαι αὐτοῖς, (ἢ δὴ προβάτων εὐδαιμονία) τόν τε βασιλέα ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα, χρῆσθαι αὐτοῖς. Οὐδὲν οὖν θαυμαστὸν, εἴπερ ταύτην εἶχε τὴν γνώμην, τὸ φιλονείκως ἔχειν πάντων ἀνθρώπων θεραπείᾳ περιγίγνεσθαι.

15. Καλὸν δὲ ἐπίδειγμα καὶ τοῦτο λέγεται Κῦρος ἐπιδεῖξαι Κροίσῳ, ὅτε ἐνουθέτει αὐτὸν, ὡς διὰ τὸ πολλὰ διδόναι πένης ἔσοιτο, ἐξὸν αὐτῷ θησαυροὺς χρυσοῦ πλείστους ἐνί γε ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι· καὶ τὸν Κῦρον λέγεται ἐρέσθαι· Καὶ πόσα ἂν ἤδη οἴει μοι χρήματα εἶναι, εἰ συνέλεγον χρυσίον, ὥσπερ σὺ κελεύεις, ἐξ ὅτου ἐν τῇ ἀρχῇ εἰμί; Καὶ τὸν Κροῖσον

εἰπεῖν πολύν τινα ἀριθμόν. 16. Καὶ τὸν Κῦρον πρὸς ταῦτα, Ἄγε δή, φάναι, ὦ Κροῖσε, σύμπεμψον ἄνδρα σὺν Ὑστάσπᾳ τούτῳ, ὅτῳ σὺ πιστεύεις μάλιστα. Σὺ δέ, ὦ Ὑστάσπα, ἔφη, ἐλθὼν πρὸς τοὺς φίλους, λέγε αὐτοῖς, ὅτι δέομαι χρυσίου πρὸς πρᾶξίν τινα· (καὶ γὰρ τῷ ὄντι προσδέομαι) καὶ κέλευε αὐτοὺς, ὁπόσα ἂν ἕκαστος δύναιτο, πορίσαι μοι χρήματα· γράψαντας δὲ καὶ κατασημηναμένους δοῦναι τὴν ἐπιστολὴν τῷ Κροίσου θεράποντι φέρειν. 17. Ταῦτα δὲ, ὅσα ἔλεγε, καὶ γράψας καὶ σημηνάμενος, ἐδίδου τῷ Ὑστάσπει φέρειν πρὸς τοὺς φίλους, προσενέγραψε δὲ πρὸς πάντας, καὶ Ὑστάσπαν ὡς φίλον αὐτοῦ δέχεσθαι. Ἐπεὶ δὲ περιῆλθε, καὶ ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς ἐπιστολὰς, ὁ μὲν δὴ Ὑστάσπας εἶπεν· Ὦ Κῦρε βασιλεῦ, καὶ ἐμοὶ ἤδη χρὴ ὡς πλουσίῳ χρῆσθαι· πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα, διὰ τὰ σὰ γράμματα. 18. Καὶ ὁ Κῦρος εἶπεν· Εἷς μὲν τοίνυν καὶ οὗτος ἤδη θησαυρὸς ἡμῖν, ὦ Κροῖσε· τοὺς δὲ ἄλλους καταθεῶ, καὶ λόγισαι, πόσα ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέωμαι χρῆσθαι. Λέγεται δὴ λογιζόμενος ὁ Κροῖσος πολλαπλάσια εὑρεῖν, ἢ ἔφη Κῦρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς ἤδη, εἰ συνέλεγεν. 19. Ἐπεὶ δὲ τοῦτο φανερὸν ἐγένετο, εἰπεῖν λέγεται ὁ Κῦρος, Ὁρᾷς, φάναι, ὦ Κροῖσε, ὡς εἰσὶ καὶ ἐμοὶ θησαυροί; Ἀλλὰ σὺ μὲν κελεύεις με, παρ' ἐμοὶ αὐτοὺς συλλέγοντα, φθονεῖσθαί τε δι' αὐτοὺς καὶ μισεῖσθαι, καὶ, φύλακας αὐτοῖς ἐφιστάντα μισθοφόρους, τοιούτοις πιστεύειν· ἐγὼ δὲ, τοὺς φίλους πλουσίους ποιῶν,

τούτους μοι νομίζω θησαυροὺς καὶ φύλακας ἅμα ἐμοῦ τε καὶ τῶν ἡμετέρων ἀγαθῶν πιστοτέρους εἶναι, ἢ εἰ φρουροὺς μισθοφόρους ἐπεστησάμην. 20. Καὶ ἄλλο δέ σοι ἐρῶ· ἐγὼ γάρ, ὦ Κροῖσε, ὃ μὲν οἱ θεοὶ δόντες εἰς τὰς ψυχὰς τοῖς ἀνθρώποις ἐποίησαν ὁμοίως πένητας πάντας, τούτου μὲν οὐδὲ αὐτὸς δύναμαι περιγενέσθαι, ἀλλ' εἰμὶ ἄπληστος κἀγώ, ὥσπερ οἱ ἄλλοι, χρημάτων· 21. τῆδέ γε μέντοι διαφέρειν μοι δοκῶ τῶν πλείστων, ὅτι οἱ μέν, ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτήσωνται, τὰ μὲν αὐτῶν κατορύττουσι, τὰ δὲ κατασήπουσι, τὰ δὲ ἀριθμοῦντες καὶ μετροῦντες καὶ ἱστάντες καὶ διαψύχοντες καὶ φυλάττοντες πράγματα ἔχουσι, καὶ ὅμως, ἔνδον ἔχοντες τοσαῦτα, οὔτε ἐσθίουσι πλείω, ἢ δύνανται φέρειν, (διαῤῥαγεῖεν γὰρ ἄν) οὔτ' ἀμφιέννυνται πλείω, ἢ δύνανται φέρειν, (ἀποπνιγεῖεν γὰρ ἄν) ἀλλὰ τὰ περιττὰ χρήματα πράγματα ἔχουσιν. 22. Ἐγὼ δὲ ὑπηρετῶ μὲν τοῖς θεοῖς, καὶ ὀρέγομαι ἀεὶ πλειόνων· ἐπειδὰν δὲ κτήσωμαι, ἃ ἂν ἴδω περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τάς τ' ἐνδείας τῶν φίλων ἐξακοῦμαι, καὶ πλουτίζων καὶ εὐεργετῶν ἀνθρώπους εὔνοιαν ἐξ αὐτῶν κτῶμαι καὶ φιλίαν, καὶ ἐκ τούτων καρποῦμαι ἀσφάλειαν καὶ εὐκλειαν· ἃ οὔτε κατασήπεται, οὔτε ὑπερπληροῦντα λυμαίνεται· ἀλλὰ ἡ εὔκλεια, ὅσῳ ἂν πλείων ᾖ, τοσούτῳ καὶ μείζων καὶ καλλίων καὶ κουφοτέρα φέρειν γίγνεται, πολλάκις δὲ καὶ τοὺς φέροντας αὐτὴν κουφοτέρους παρέχεται. 23. Ὅπως δὲ καὶ τοῦτο εἰδῇς, ἔφη, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάτ

τοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι· (οἱ γὰρ τὰ τείχη φυλάττοντες οὕτω γ' ἂν εὐδαιμονέστατοι εἶησαν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν) ἀλλ' ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύνηται σὺν τῷ δικαίῳ, χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω κατὰ χρήματα. Καὶ ταῦτα μὲν δὴ φανερὸς ἦν, ὥσπερ καὶ ἔλεγε, πράττων.

24. Πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὅτι, ἢν μὲν ὑγιαίνοντας διατελῶσι, παρασκευάζονται, ὅπως ἕξουσι τὰ ἐπιτήδεια, καὶ κατατίθενται τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν· ὅπως δέ, ἢν ἀσθενήσωσι, τὰ σύμφορα παρέσται, τούτου οὐ πάνυ ἐπιμελουμένους ἑώρα· ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι αὐτῷ, τοὺς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὑτὸν, τῷ τελεῖν ἐθέλειν, καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῷ γενέσθαι ἢ φάρμακα ἢ σῖτα ἢ ποτὰ, οὐδὲν τούτων ὅ τι οὐχὶ παρασκευάσας ἐθησαύριζε παρ' αὐτῷ. 25. Καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπισκόπει, καὶ παρεῖχε πάντα, ὅτου ἔδει· καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε τις ἰάσαιτό τινα τῶν παρ' ἐκείνου λαμβάνων.

26. Ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο πρὸς τὸ πρωτεύειν, παρ' οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. Ὧν δὲ προηγόρευέ τε ἀγῶνας, καὶ ἆθλα προὐτίθει, φιλονεικίας ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων, ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν, ὅτι ἐπεμέλετο, ὅπως ἀσκοῖτο ἡ ἀρετὴ· τοῖς

μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗτοι πρὸς ἀλλήλους καὶ ἔριδας καὶ φιλονεικίας ἐνέβαλλον. 27. Πρὸς δὲ τούτοις, ὥςπερ νόμον κατεστήσατο ὁ Κῦρος, ὅσα διακρίσεως δέοιτο εἴτε δίκῃ εἴτε ἀγωνίσματι, τοὺς δεομένους διακρίσεως συντρέχειν τοῖς κριταῖς. Δῆλον οὖν, ὅτι ἐστοχάζοντο μὲν οἱ ἀνταγωνιζόμενοί τι ἀμφότεροι τῶν κρατίστων καὶ τῶν μάλιστα φίλων κριτῶν· ὁ δὲ μὴ νικῶν τοῖς μὲν νικῶσιν ἐφθόνει, τοὺς δὲ μὴ ἑαυτὸν κρίνοντας ἐμίσει· ὁ δ' αὖ νικῶν, τῷ δικαίῳ προεξεποιεῖτο νικᾶν, ὥστε χάριν οὐδενὶ ἠγεῖτο ὀφείλειν. 28. Καὶ οἱ πρωτεύειν δὲ βουλόμενοι φιλίᾳ παρὰ Κύρῳ, ὥςπερ ἄλλοι ἐν πόλεσιν, καὶ οὗτοι ἐπιφθόνως πρὸς ἀλλήλους εἶχον· ὥςθ' οἱ πλέονες ἐκποδὼν ἐβούλοντο ὁ ἕτερος τὸν ἕτερον γενέσθαι μᾶλλον, ἢ συνέπραξαν ἄν τι ἀλλήλοις ἀγαθόν. Καὶ ταῦτα μὲν δεδήλωται, ὡς ἐμηχανᾶτο, τοὺς κρατίστους αὐτὸν μᾶλλον πάντας φιλεῖν ἢ ἀλλήλους.

CAP. III.

1. Νῦν δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων· καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ σεμνότης ἡμῖν δοκεῖ μία τῶν τεχνῶν εἶναι τῶν μεμηχανημένων, τὴν ἀρχὴν μὴ εὐκαταφρόνητον εἶναι. Πρῶτον μὲν οὖν πρὸ τῆς ἐξελάσεως εἰσκαλέσας πρὸς αὑτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς. (καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνέδυσαν) διαδιδούς τε, ἅμα τάδε ἔλεγεν αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς ἐξῃρημένα, καὶ

θῦσαι μετ' ἐκείνων. 2. *Πάρεστε οὖν*, ἔφη, αὔριον ἐπὶ τὰς θύρας, κοσμηθέντες ταῖς στολαῖς ταύταις, πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε, ὡς ἂν ὑμῖν Φεραύλας ὁ Πέρσης ἐξαγγείλῃ παρ' ἐμοῦ· κἂν ἐπειδὰν, ἔφη, ἐγὼ ἡγῶμαι, ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ. Ἦν δ' ἄρα τινὶ δοκῇ ὑμῶν ἄλλῃ κάλλιον εἶναι, ἢ ὡς ἂν νῦν ἐλαύνωμεν, ἐπειδὰν πάλιν ἔλθωμεν, διδασκέτω με· ὅπῃ γὰρ ἂν κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ εἶναι, ταύτῃ ἕκαστα δεῖ καταστήσασθαι. 3. Ἐπὶ δὲ τοῖς κρατίστοις διέδωκε τὰς καλλίστας στολὰς, ἐξέφερε δὴ καὶ ἄλλας Μηδικὰς στολάς· (παμπόλλας γὰρ παρεσκευάσατο, οὔδὲν φειδόμενος, οὔτε πορφυρίδων, οὔτε ὀρφνίνων, οὔτε φοινικίδων, οὔτε καρυκίνων ἱματίων) νείμας δὲ τούτων τὸ μέρος ἑκάστῳ τῶν ἡγεμόνων, ἐκέλευσεν αὐτοὺς τούτοις κοσμεῖν τοὺς αὑτῶν φίλους, ὥσπερ, ἔφη, ἐγὼ ὑμᾶς κοσμῶ. 4. *Καί τις τῶν παρόντων ἐπήρετο αὐτὸν, Σὺ δὲ, ὦ Κῦρε*, ἔφη, *πότε κοσμήσῃ;* Ὁ δ' ἀπεκρίνατο, *Οὐ γὰρ νῦν*, ἔφη, *δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι, ὑμᾶς κοσμῶν;* Ἀμέλει, ἔφη, ἢν δύνωμαι ὑμᾶς τοὺς φίλους εὖ ποιεῖν, ὁποίαν ἂν ἔχων στολὴν τυγχάνω, ἐν ταύτῃ καλὸς φανοῦμαι. 5. Οὕτω δὴ οἱ μὲν ἀπελθόντες, μεταπεμπόμενοι τοὺς φίλους, ἐκόσμουν ταῖς στολαῖς.

Ὁ δὲ Κῦρος, νομίζων, Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν εἶναι, καὶ φιλόκαλον καὶ εὔτακτον, καὶ τοῦ χαρίζεσθαι αὐτῷ οὐκ ἀμελῆ, ὅς ποτε καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε· τοῦτον δὴ καλέσας συνεβουλεύετο αὐτῷ

πῶς ἂν τοῖς μὲν εὖνοις κάλλιστα ἰδεῖν ποιοῖτο τὴν ἔξέλασιν, τοῖς δὲ δυσμενέσι φοβερώτατα. 6. Ἐπεὶ δὲ σκοπούντοιν αὐτοῖν τὰ αὐτὰ ἔδοξεν, ἐκέλευσε τὸν Φεραύλαν ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς ἔχειν. Εἴρηκα δὲ, ἔφη, ἐγὼ, πάντας πείθεσθαί σοι περὶ τῆς ἐν τῇ ἐξελάσει τάξεως· ὅπως δ' ἂν ἥδιον παραγγέλλοντός σου ἀκούωσι, φέρε λαβών, ἔφη, χιτῶνας μὲν τουτουσὶ τοῖς τῶν δορυφόρων ἡγεμόσι, κάσας δὲ τούσδε τοὺς ἐφιππείους τοῖς τῶν ἱππέων ἡγεμόσι δύς, καὶ τῶν ἁρμάτων τοῖς ἡγεμόσιν ἄλλους τουσδὶ χιτῶνας. 7. Ὁ μὲν δὴ ἔφερε λαβών· οἱ δὲ ἡγεμόνες, ἐπεὶ ἴδοιεν αὐτὸν, ἔλεγον, Μέγας δὴ σύ γε, ὦ Φεραύλα, ὁπότε γε καὶ ἡμῖν τάξεις, ἃ ἂν δέοι ποιεῖν. Οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ συσκευοφορήσω· νῦν γοῦν φέρω τῶδε δύω κάσα, τὸν μὲν σοὶ, τὸν δὲ ἄλλῳ· σὺ μέντοι τούτων λάβε, ὁπότερον βούλει. 8. Ἐκ τούτου δὴ ὁ μὲν λαμβάνων τὸν κάσαν τοῦ μὲν φθόνου ἐπελέληστο, εὐθὺς δὲ συνεβουλεύετο αὐτῷ, ὁπότερον λαμβάνοι. Ὁ δὲ συμβουλεύσας ἂν, ὁπότερος βελτίων εἴη, καὶ εἰπὼν, Ἦν μου κατηγορήσῃς, ὅτι αἱρεσίν σοι δέδωκα, εἰσαῦθις ὅταν διακονῶ, ἑτέρῳ χρήσῃ μοι διακόνῳ. Ὁ μὲν δὴ Φεραύλας οὕτω διαδοὺς, ἢ ἐτάχθη, εὐθὺς ἐπεμελεῖτο τῶν εἰς τὴν ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕκαστα ἔξει.

9. Ἡνίκα δὲ ἡ ὑστεραία ἦκε, καθαρὰ μὲν ἦν πάντα πρὸ ἡμέρας, στοῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν

τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται, ἢ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν· ὧν ἐντὸς οὐδενί ἐστιν εἰσιέναι τῶν μὴ τετιμημένων· μαστιγοφόροι δὲ καθέστασαν, οἳ ἔπαιον, εἴ τις ἐνοχλοίη. Ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους, ἔμπροσθεν τῶν πυλῶν, εἰς τέτταρας· διςχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν. 10. Καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων, καὶ διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτιδιείρουσιν, ὅταν ὁρᾷ βασιλεύς. Ἕστασαν δὲ Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ, καὶ τὰ ἅρματα ὡσαύτως τὰ ἡμίσεα ἑκατέρωθεν. 11. Ἐπεὶ δὲ ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διὶ ταῦροι πάγκαλοι εἰς τέσσαρας, καὶ οἷς τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον τεχνίταις χρῆσθαι, ἢ περὶ τἆλλα. 12. Μετὰ δὲ τοὺς βοῦς ἵπποι ἤγοντο, θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα λευκὸν, χρυσόζυγον, ἐστεμμένον, Διὸς ἱερόν· μετὰ δὲ τόδε, Ἡλίου ἅρμα λευκὸν, καὶ τοῦτο ἐστεμμένον, ὥσπερ τὸ πρόσθεν· μετὰ δὲ τοῦτο, ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ' ἐσχάρας μεγάλης ἄνδρες ἔφοντο φέροντες. 13. Ἐπὶ δὲ τούτοις ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προὐφαίνετο ὁ Κῦρος ἐφ' ἅρματος, ὀρθὴν ἔχων τὴν τιάραν, καὶ χιτῶνα πορφυροῦν μεσόλευκον, (ἄλλῳ δ' οὐκ ἔξεστι μεσόλευκον ἔχειν) καὶ περὶ τοῖς σκέλεσιν ἀναξυρίδας ὑσγινοβα-

φεῖς, καὶ κάνδυν ὁλοπόρφυρον. Εἶχε δὲ καὶ διάδημα περὶ τῇ τιάρᾳ· καὶ οἱ συγγενεῖς δὲ αὐτοῦ τὸ αὐτὸ τοῦτο σημεῖον εἶχον, καὶ νῦν τὸ αὐτὸ τοῦτο ἔχουσι· τὰς δὲ χεῖρας ἔξω τῶν χειρίδων εἶχε. 14. Παρωχεῖτο δὲ αὐτῷ ἡνίοχος, μέγας μέν, μείων δ' ἐκείνου, εἴτε καὶ τῷ ὄντι, εἴτε καὶ ὀπωσοῦν· μείζων δὲ ἐφάνη πολὺ Κῦρος. Ἰδόντες δὲ πάντες προσεκύνησαν, εἴτε καὶ ἄρξαι τινὲς κελευσμένοι, εἴτε καὶ ἐκπλαγέντες τῇ παρασκευῇ, καὶ τῷ δόξαι μέγαν τε καὶ καλὸν φανῆναι τὸν Κῦρον· πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦρον προσεκύνει. 15. Ἐπεὶ δὲ προήει τὸ τοῦ Κύρου ἅρμα, προηγοῦντο μὲν οἱ τετρακισχίλιοι, δορυφόροι, παρεῖποντο δὲ οἱ δισχίλιοι ἑκατέρωθεν τοῦ ἅρματος· ἐφεῖποντο δὲ οἱ περὶ αὐτὸν σκηπτοῦχοι ἐφ' ἵππων, κεκοσμημένοι, σὺν τοῖς παλτοῖς, ἀμφὶ τοὺς τριακοσίους. 16. Οἱ δ' αὖ τῷ Κύρῳ τρεφόμενοι ἵπποι παρήγοντο χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ τοὺς διακοσίους· ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι· ἐπὶ δὲ τούτοις, ἱππεῖς οἱ πρῶτοι γενόμενοι, μύριοι, εἰς ἑκατὸν πανταχῇ τεταγμένοι, ἡγεῖτο δὲ αὐτῶν Χρυσάντας· 17. ἐπὶ δὲ τούτοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς τεταγμένοι ὡσαύτως, ἡγεῖτο δὲ αὐτῶν Γοτάσπας· ἐπὶ δὲ τούτοις ἄλλοι μύριοι ὡσαύτως τεταγμένοι, ἡγεῖτο δ' αὐτῶν Λατάμας· ἐπὶ δὲ τούτοις ἄλλοι, ἡγεῖτο δ' αὐτῶν Γαδάτας· 18. ἐπὶ δὲ τούτοις Μῆδοι ἱππεῖς, ἐπὶ δὲ τούτοις Ἀρμένιοι, μετὰ δὲ τούτους Ἑρκάνιοι, μετὰ δὲ τούτους Καδούσιοι, ἐπὶ δὲ τούτοις Σάκαι. Μετὰ δὲ τοὺς ἱππέας ἅρματα ἐπ

τεττάρων τεταγμένα· ἡγεῖτο δὲ αὐτῶν Ἀριαβάτης Πέρσης.

19. Πορευομένου δὲ αὐτοῦ, παρείποντο πάμπολλοι ἄνθρωποι ἔξω τῶν σημείων, δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως. Πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς, οἳ παρείποντο αὐτῷ τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ τούτου ἕνεκα, τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν ὑπάρχων τινά, ὅ τι τὶς βούλοιτο, ἐκείνους δὲ ἔφη πρὸς αὐτὸν ἐρεῖν. Οἱ μὲν δὴ ἀπιόντες εὐθὺς κατὰ τοὺς ἵππέας ἐπορεύοντο, καὶ ἐβουλεύοντο, τίνι ἕκαστος προσίοι. 20. Ὁ δὲ Κῦρος, οὓς ἐβούλετο μάλιστα θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώπων, τούτους, πέμπων τινὰ, πρὸς αὐτὸν ἐκάλει καθ' ἕκαστον, καὶ ἔλεγεν αὐτοῖς οὕτως· Ἤν τις ὑμῖς διδάσκῃ τι τούτων τῶν παρεπομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν· ὃς δ' ἂν δικαίων δεῖσθαι δοκῇ, εἰσαγγέλλετε πρὸς ἐμὲ, ἵνα κοινῇ βουλευόμενοι διαπράττοιμεν αὐτοῖς.

21. Οἱ μὲν δὴ ἄλλοι, ἐπεὶ καλέσειεν, ἀνὰ κράτος ἐλαύνοντες ὑπήκουον, συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ, καὶ ἐνδεικνύμενοι, ὅτι σφόδρα πείθοιντο· Δαϊφάρνης δέ τις ἦν, σολοικότερος ἄνθρωπος τῷ τόπῳ, ὃς ᾤετο, εἰ μὴ ταχὺ ὑπακούοι, ἐλευθερώτερος ἂν φαίνεσθαι. 22. Αἰσθόμενος οὖν ὁ Κῦρος τοῦτο, πρὶν προελθεῖν αὐτὸν καὶ διαλεχθῆναι αὐτῷ, ὑποπέμψας τινὰ τῶν σκηπτούχων, εἰπεῖν ἐκέλευσε πρὸς αὐτὸν, ὅτι οὐδὲν ἔτι δέοιτο· καὶ τοιοῦτον οὐκ ἐκάλει.

23. Ὁ δὲ ὕστερος κληθεὶς αὐτοῦ πρότερος αὐτῷ προσῆλασε, καὶ ὁ Κῦρος ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων, καὶ ἐκέλευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ, ὅπου κελεύσειε. Τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι τοῦτο ἔδοξεν εἶναι, καὶ πολὺ πλείονες ἐκ τούτου αὐτὸν ἐθεράπευον ἀνθρώπων.

24. Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διΐ, καὶ ὁλοκαύτωσαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ, καὶ ὁλοκαύτωσαν τοὺς ἵππους. Ἔπειτα Γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι, ἐποίησαν· ἔπειτα δὲ, ἤρωσι τοῖς Συρίαν ἔχουσι. 25. Μετὰ δὲ ταῦτα, καλοῦ ὄντος τοῦ χωρίου, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε, κατὰ φῦλα ἀνὰ κράτος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους. Σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα· πολὺ μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα· (Κῦρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει) Σύρων δὲ, ὁ προστατῶν· Ἀρμενίων δὲ, Τιγράνης· Ὑρκανίων δὲ, ὁ υἱὸς τοῦ ἱππάρχου· Σακῶν δὲ, ἰδιώτης ἀνὴρ ἀπέλιπεν ἄρα τῷ ἵππῳ τοὺς ἄλλους ἵππους ἐγγὺς τῷ ἡμίσει τοῦ δρόμου. 26. Ἐνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου. Τὸν δ' ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταθέσθαι δεξαίμην ἄν. 27. Καὶ ὁ Κῦρος εἶπε, Καὶ μὴν ἐγὼ δεῖξαί σοι θέλω, ἔνθα, κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. Πάντως τοίνυν, ὁ Σάκας ἔφη, δεῖξόν μοι· ὡς βαλῶ γε

ταύτῃ τῇ βώλῳ, ἔφη ἀνελόμενος. 28. Καὶ ὁ μὲν Κῦρος δείκνυσιν αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων ἴησι τῇ βώλῳ, καὶ παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυχε γὰρ ὁ Φεραύλας παραγγέλλων τι τακτὸς παρὰ τοῦ Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ' ᾤχετο, ἐφ' ὅπερ ἐτάχθη. 29. Ἀναβλέψας δὲ ὁ Σάκας, ἐρωτᾷ, τίνος ἔτυχεν. Οὐ μὰ τὸν Δί', ἔφη, οὐδενὸς τῶν παρόντων. Ἀλλ' οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, σὺ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. Καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται; 30. Καὶ ὁ Κῦρος ἔφη, Μαινόμενος γάρ τίς ἐστιν, ὡς ἔοικεν. Ἀκούσας δὲ ὁ νεανίσκος, ᾤχετο σκεψόμενος, τίς εἴη· καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε κατάπλεων τὸ γένειον καὶ αἵματος· ἐῤῥύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι. 31. Ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτόν, εἰ βληθείη. Ὁ δὲ ἀπεκρίνατο, Ὡς ὁρᾷς. Δίδωμι τοίνυν σοι, ἔφη, τουτονὶ τὸν ἵππον. Ὁ δ' ἐπήρετο, Ἀντὶ τοῦ; Ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα, καὶ τέλος εἶπε· Καὶ οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. 32. Καὶ ὁ Φεραύλας εἶπεν, Ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ ἐσωφρόνεις, ἦ ἐμοί, ἐδίδους· νῦν δὲ κἀγὼ δέξομαι. Ἐπεύχομαι δέ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπὸ σοῦ, δοῦναί μοι ποιῆσαι, μὴ μεταμέλειν σοι τῆς ἐμῆς δωρεᾶς. Καὶ νῦν μέν, ἔφη, ἄπελα, ἀναβὰς ἐπὶ τὸν ἐμὸν ἵππον· αὖθις δὲ ἐγὼ παρέσομαι πρός σέ. Οἱ μὲν δὴ οὕτω διηλλά-

ξαντο. 33. Καδουσίων δὲ ἐνίκα Ῥαθονίκης. Ἄφλει δὲ καὶ τὰ ἅρματα καθ' ἕκαστον· τοῖς δὲ νικῶσι πᾶσιν ἐδίδου βοῦς τε, ὅπως ἂν θύσαντες ἑστιῶντο, καὶ ἐκπώματα. Τὸν μὲν οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικητήριον· τῶν δὲ ἐκπωμάτων τὸ αὐτοῦ μέρος Φεραύλᾳ ἔδωκεν, ὅτι καλῶς ἔδοξεν αὐτῷ τὴν ἐκ τοῦ βασιλείου ἔλασιν διαταγεῦσαι. 34. Οὕτω δὴ ἡ τότε ὑπὸ Κύρου καταστα θεῖσα ἔλασις· οὕτως ἔτι καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις, πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν μὴ θύῃ. Ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν ἐς τὴν πόλιν, καὶ ἐσκήνωσαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μή, ἐν τάξει.

35. Καλέσας δὲ καὶ ὁ Φεραύλας τὸν Σάκαν, τὸν δόντα τὸν ἵππον, ἐξένιζε, καὶ τἆλλα τε παρεῖχεν ἔκπλεω, καὶ ἐπεὶ ἐδεδειπνήκεσαν, τὰ ἐκπώματα αὐτῷ, ἃ ἔλαβε παρὰ Κύρου, ἐκπιμπλὰς προὔπινε καὶ ἐδωρεῖτο. 36. Καὶ ὁ Σάκας ὁρῶν πολλὴν μὲν καὶ καλὴν στρωμνήν, πολλὴν δὲ καὶ καλὴν κατασκευήν, καὶ οἰκέτας δὲ πολλοὺς, Εἰπέ μοι, ἔφη, ὦ Φεραύλα, ἦ καὶ οἶκοι τῶν πλουσίων ἦσθα; 37. Καὶ ὁ Φεραύλας εἶπε, Ποίων πλουσίων; τῶν μὲν οὖν σαφῶς ἀποχειροβιώτων. Ἐμὲ γάρ τοι ὁ πατὴρ τὴν μὲν τῶν παίδων παιδείαν, γλίσχρως αὐτὸς ἐργαζόμενος καὶ τρέφων, ἐπαίδευεν· ἐπεὶ δὲ μειράκιον ἐγενόμην, οὐ δυνάμενος τρέφειν ἀργόν, εἰς ἀγρὸν ἀπαγαγὼν, ἐκέλευσεν ἐργάζεσθαι. 38. Ἔνθα καὶ ἐγὼ ἀντέτρεφον ἐκεῖνον, ἕως ἔζη, αὐτὸς σκάπτων καὶ σπείρων καὶ μάλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ ἂν

λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν· ἤδη δέ ποτε ὑπὸ γενναιότητος καὶ διπλάσια ἀποδέδωκεν, ὧν ἔλαβεν. Οἰκοι μὲν οὖν οὕτως ἔγωγε ἔζων· νῦν δὲ ταῦτα πάντα, ἃ ὁρᾷς, Κύρός μοι ἔδωκε. 39. Καὶ ὁ Σάκας εἶπεν, Ὦ μακάριε σὺ τά τε ἄλλα, καὶ αὐτὸ τοῦτο, ὅτι ἐκ πένητος πλούσιος γεγένησαι· πολὺ γὰρ οἶομαί σε καὶ διὰ τοῦτο ἥδιον πλουτεῖν, ὅτι πεινήσας χρημάτων πεπλούτηκας. 40. Καὶ ὁ Φεραύλας εἶπεν· Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ, ὅσῳ πλείω κέκτημαι; Οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν ἥδιον νῦν, ἢ τότε, ὅτε πένης ἦν. Ὅτι δὲ ταῦτα πολλά ἐστι, τοσοῦτον κερδαίνω· πλείω μὲν φυλάττειν δεῖ, πλείω δὲ ἄλλοις διανέμειν, πλείω δὲ πλειόνων ἐπιμελόμενον πράγματα ἔχειν. 41. Νῦν γὰρ δὴ ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια· οἱ δὲ ἰατρῶν δέονται· ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων, ἢ τῶν βοῶν κατακεκρημνισμένα, ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστ' ἐμοιγε δοκῶ, ἔφη ὁ Φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι, ἢ πρόσθεν διὰ τὸ ὀλίγα ἔχειν. 42. Καὶ ὁ Σάκας, Ἀλλὰ ναὶ μὰ Δία, ἔφη, ὅταν σῶα ᾖ, πολλὰ ὁρῶν, πολλαπλάσια ἐμοῦ εὐφραίνῃ. Καὶ ὁ Φεραύλας εἶπεν, Οὔ τοι, ὦ Σάκα, οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὥσπερ ἀνιαρὸν τὸ ἀποβάλλειν. Γνώσῃ δ', ὅτι ἐγὼ τἀληθῆ λέγω· τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται

ὑφ' ἡδονῆς ἀγρυπνεῖν, τῶν δὲ ἀποβαλλόντων τι οὐδένα ἂν ἴδοις δυνάμενον καθεύδειν ὑπὸ λύπης. 43. Μὰ Δί', ἔφη ὁ Σάκας, οὐδέ γε τῶν λαμβανόντων τι νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. 44. Ἀληθῆ, ἔφη, λέγεις· εἰ γάρ τοι τὸ ἔχειν οὕτως, ὥσπερ τὸ λαμβάνειν, ἡδὺ ἦν, πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. Καὶ ἀνάγκη δέ τοί ἐστιν, ἔφη, ὦ Σάκα, τὸν πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾶν καὶ εἰς Θεοὺς, καὶ εἰς φίλους, καὶ εἰς ξένους· ὅστις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι, τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. 45. Μὰ Δί', ἔφη ὁ Σάκας, ἀλλ' οὐκ ἐγὼ τούτων εἰμὶ, ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. 46. Τί οὖν, ἔφη, πρὸς τῶν Θεῶν, ὁ Φεραύλας, οὐχὶ σὺ γε αὐτίκα μάλα εὐδαίμων ἐγένου, καὶ ἐμὲ εὐδαίμονα ἐποίησας; λαβὼν γὰρ, ἔφη, ταῦτα πάντα κέκτησο, καὶ χρῶ, ὅπως βούλει, αὐτοῖς· ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥσπερ ξένον τρέφε, καὶ ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ μοι, ὅ τι ἂν καὶ σὺ ἔχῃς, τούτων μετέχειν. 47. Παίζεις, ἔφη ὁ Σάκας. Καὶ ὁ Φεραύλας ὀμόσας εἶπεν, ἦ μὴν σπουδῇ λέγειν. Καὶ ἄλλα γέ σοι, ὦ Σάκα, προσδιαπράξομαι παρὰ Κύρου, μήτε θύρας τὰς Κύρου θεραπεύειν, μήτε στρατεύεσθαι. Ἀλλὰ σὺ μὲν πλουτῶν οἴκοι μενεῖς· ἐγὼ δὲ ταῦτα ποιήσω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἐμοῦ· καὶ ἐάν τι ἀγαθὸν προσλαμβάνω διὰ τὴν Κύρου θεραπείαν, ἢ καὶ ἀπὸ στρατείας τινὸς, οἴσω πρὸς σὲ, ἵνα ἔτι πλειόνων ἄρχῃς· μόνον, ἔφη, ἐμὲ

ἀπόλυσον ταύτης τῆς ἐπιμελείας· ἢν γὰρ ἐγὼ σχολὴν ἄγω ἀπὸ τούτων, ἐμοί τέ σε οἶμαι πολλὰ καὶ Κύρῳ χρήσιμον ἔσεσθαι. 48. Τούτων οὕτω ῥηθέντων, ταῦτα συνέθεντο, καὶ ταῦτα ἐποίουν. Καὶ ὁ μὲν ἡγεῖτο εὐδαίμων γεγενῆσθαι, ὅ τι πολλῶν ἦρχε χρημάτων· ὁ δ' αὖ ἐνόμιζε μακαριώτατος εἶναι, ὅτι ἐπίτροπον ἕξει, σχολὴν παρέχοντα πράττειν, ὅ τι ἂν αὐτῷ ἡδὺ εἴη.

49. Ἦν δὲ τοῦ Φεραύλα ὁ τρόπος φιλέταιρός τε, καὶ θεραπεύειν οὐδὲν ἧττον αὐτῷ οὕτως εὐόκει εἶναι, οὐδ' ὠφέλιμον, ὡς ἀνθρώπους. Καὶ γὰρ βέλτιστον πάντων τῶν ζώων ἡγεῖτο ἄνθρωπον εἶναι καὶ εὐχαριστότατον, ὅτι ἑώρα, τούς τε ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως, τοῖς τε χαριζομένοις πειρωμένους ἀντιχαρίζεσθαι· καὶ οὓς γνοῖεν εὐνοϊκῶς ἔχοντας, τούτοις ἀντευνοοῦντας· καὶ οὓς εἰδεῖεν φιλοῦντας αὐτούς, τούτους μισεῖν οὐ δυναμένους· καὶ γονέας δὲ πολὺ μᾶλλον ἀντιθεραπεύειν πάντων τῶν ζώων ἐθέλοντας καὶ ζῶντας καὶ τελευτήσαντας· τὰ δ' ἄλλα πάντα ζῶα καὶ ἀγνωμονέστερα καὶ ἀχαριστότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. 50. Οὕτω δὴ ὅ τε Φεραύλας ὑπερήδετο, ὅτι ἐξέσοιτο αὐτῷ, ἀπαλλαγέντι τῆς τῶν ἄλλων κτημάτων ἐπιμελείας, ἀμφὶ τοὺς φίλους ἔχειν· ὅ τε Σάκας, ὅτι ἔμελλε πολλὰ ἔχων πολλοῖς χρήσεσθαι. Ἐφίλει δὲ ὁ μὲν Σάκας τὸν Φεραύλαν, ὅτι προσίφερέ τι ἀεί· ὁ δὲ τὸν Σάκαν, ὅτι παραλαμβάνειν πάντα ἤθελε, καὶ, ἀεὶ πλειόνων ἐπιμελόμενος, οὐδὲν μᾶλ-

λον αὐτῷ ἀσχολίαν παρεῖχε. Καὶ οὗτοι μὲν δὴ οὕτω διῆγον.

CAP. IV.

1. Θύσας δὲ καὶ ὁ Κῦρος, καὶ νικητήρια ἑστιῶν, ἐκάλεσε τῶν φίλων, οἳ μάλιστ' αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ ἦσαν καὶ τιμῶντες εὐνοϊκώτατα. Συνεκάλεσε δὲ αὐτοῖς καὶ Ἀρτάβαζον τὸν Μῆδον, καὶ Τιγράνην τὸν Ἀρμένιον, καὶ τὸν Ὑρκάνιον ἵππαρχον, καὶ Γωβρύαν. 2. Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ, καὶ ὅπῃ ἐκεῖνος διεκόσμησεν, ἡ πᾶσα ἔνδον δίαιτα καθειστήκει· καὶ ὁπότε μὲν συνδειπνοῖέν τινες, οὐδ' ἐκάθιζε Γαδάτας, ἀλλ' ἐπεμελεῖτο· ὁπότε δὲ αὐτοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο γὰρ αὐτῷ ξυνών· ἀντὶ δὲ τούτων πολλοῖς καὶ μεγάλοις ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου· διὰ δὲ Κῦρον καὶ ὑπ' ἄλλων. 3. Ὡς δ' ἦλθον οἱ κληθέντες ἐπὶ τὸ δεῖπνον, οὐχ ὅπου ἔτυχεν ἕκαστον ἐκάθιζεν, ἀλλ' ὃν μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔσης, ἢ τῆς δεξιᾶς· τὸν δὲ δεύτερον παρὰ τὴν δεξιάν, τὸν δὲ τρίτον πάλιν παρὰ τὴν ἀριστερὰν, τὸν δὲ τέταρτον παρὰ τὴν δεξιάν· καὶ ἦν πλέονες ὦσιν, ὡσαύτως. 4. Σαφηνίζεσθαι δὲ, ὡς ἕκαστον ἐτίμα, τοῦτο ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι· ὅτι, ὅπου μὲν οἴονται οἱ ἄνθρωποι τὸν κρατιστεύοντα μήτε κηρυχθήσεσθαι, μήτε ἆθλα λήψεσθαι, δῆλοί εἰσιν ἐνταῦθα οὐ φιλονείκως πρὸς ἀλλήλους ἔχοντες· ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάντες.

5. Καὶ ὁ Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν τοὺς κρατιστεύοντας παρ' ἑαυτῷ, εὐθὺς ἀρξάμενος ἐξ ἕδρας καὶ παραστάσεως. Οὐ μέντοι ἀθάνατον τὴν ταχθεῖσαν ἕδραν κατεστήσατο, ἀλλὰ νόμιμον ἐποιήσατο, καὶ ἀγαθοῖς ἔργοις προβῆναι εἰς τὴν τιμιωτάτην ἕδραν, καὶ, εἴ τις ῥᾳδιουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. Τὸν δὲ πρωτεύοντα ἐν ἕδρᾳ ἠσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ ἔχοντα παρ' αὐτοῦ φαίνεσθαι. Καὶ ταῦτα δὲ, ἐπὶ Κύρου γενόμενα, οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανόμεθα.

6. Ἐπεὶ δὲ ἐδείπνουν, ἐδύκει τῷ Γωβρύᾳ τὸ μὲν πολλὰ ἕκαστα εἶναι οὐδέν τι θαυμαστὸν παρ' ἀνδρὶ πολλῶν ἄρχοντι· τὸ δὲ τὸν Κῦρον, οὕτω μεγάλα πράττοντα, εἴ τι ἡδὺ δόξειε λαβεῖν, μηδὲν τούτων μόνον καταδαπανᾶν, ἀλλὰ ἔργον ἔχειν δεύμενον τούτου κοινωνεῖν τοὺς παρόντας. Πολλάκις δὲ καὶ τῶν ἀπόντων φίλων ἐστὶν οἷς ἑώρα πέμποντα ταῦτα αὐτόν, οἷς ἡσθεὶς τύχοι· 7. ὥστε ἐπεὶ ἐδεδειπνήκεσαν, καὶ τὰ πάντα πολλὰ ὄντα διαπεπόμφει ὁ Κῦρος ἀπὸ τῆς τραπέζης, εἶπεν ἄρα ὁ Γωβρύας, Ἀλλ' ἐγὼ, ὦ Κῦρε, πρόσθεν μὲν ἠκούμην, τούτῳ σε πλεῖστον διαφέρειν ἀνθρώπων, τῷ στρατηγικώτατον εἶναι· νῦν δὲ θεοὺς ὄμνυμι, ἢ μὴν ἐμοὶ δοκεῖν πλέον σε διαφέρειν φιλανθρωπίᾳ, ἢ στρατηγίᾳ. 8. Νὴ Δί', ἔφη ὁ Κῦρος· καὶ μὲν δὴ καὶ ἐπιδείκνυμαι τὰ ἔργα πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. Πῶς δή; ἔφη ὁ Γωβρύας. Ὅτι, ἔφη, τὰ μὲν, κακῶς ποιοῦντα ἀνθρώπους, δεῖ ἐπιδείκνυσθαι, τὰ δὲ, εὖ.

9 Ἐκ τούτου δή, ἐπεὶ ὑπέπινον, ἤρετο ὁ Ὑστάσπας τὸν Κῦρον, Ἆρ' ἄν, ἔφη, ὦ Κῦρε, ἀχθεσθείης μοι, εἴ σε ἐροίμην, ὃ βούλομαί σου πυθέσθαι; Ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, τοὐναντίον τούτου, ἀχθοίμην ἄν σοι, εἰ αἰσθοίμην σιωπῶντα, ἃ ἂν βούλοιο ἐρέσθαι. Λέγε δή μοι, ἔφη, ἤδη πώποτε καλέσαντός σου οὐκ ἦλθον; Εὐφήμει, ἔφη ὁ Κῦρος. Ἀλλ' ὑπακούων σχολῇ ὑπῆκουσα; Οὐδὲ τοῦτο. Προσταχθὲν δέ τι ἤδη σοι οὐκ ἔπραξα; Οὐκ αἰτιῶμαι, ἔφη. Ὃ δὲ πράττοιμι, ἔστιν ὅ τι πώποτε οὐ προθύμως, ἢ οὐχ ἥδομένως πράττοντά με κατέγνως; Τοῦτο δὴ πάντων ἥκιστα, ἔφη ὁ Κῦρος. 10. Τίνος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κῦρε, Χρυσάντας σε ἔτρεψεν, ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ ἕδραν ἱδρυνθῆναι; Ἢ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη ὁ Ὑστάσπας. Καὶ σὺ αὖ οὐκ ἀχθεσθήσῃ μοι, ἀκούων ταληθῆ; 11. Ἡσθήσομαι μὲν οὖν, ἔφη, ἢν εἰδῶ ὅτι οὐκ ἀδικοῦμαι. Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆσιν ἀνέμενεν, ἀλλὰ, πρὶν καλεῖσθαι, παρῆν τῶν ἡμετέρων ἕνεκα· ἔπειτα δὲ, οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ, ὅ τι αὐτὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο ἔπραττεν. Ὁπότε δ' εἰπεῖν τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν· ἃ δὲ ἐμὲ αἰσθοιτο βουλόμενον μὲν εἰδέναι, τοὺς συμμάχους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν, ταῦτα οὕτως λέγων ὡς ἑαυτοῦ γνώμην ἀπεφαίνετο· ὥστ' ἔν γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ ἐμοὶ κρείττο-

να εἶναι; Καὶ ἑαυτῷ μὲν ἀεὶ φησι πάντα τὰ παρόντα ἀρκεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν, τί ἂν προσγενόμενον ὠνήσειεν· ἐπί τε τοῖς ἐμοῖς καλοῖς πολὺ μᾶλλον ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. 12. Πρὸς ταῦτα δ' Ὑστάσπας εἶπε, Νὴ τὴν Ἥραν, ἔφη, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε ἐρωτήσας. Τί μάλιστα; ἔφη ὁ Κῦρος. Ὅτι κἀγὼ πειράσομαι ταῦτα ποιεῖν· ἓν μόνον, ἔφη, ἀγνοῶ, πῶς ἂν εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πότερον κροτεῖν δεῖ τὼ χεῖρε, ἢ γελᾶν, ἢ τί ποιεῖν· Καὶ ὁ Ἀρτάβαζος εἶπεν· Ὀρχεῖσθαι δεῖ τὸ Περσικόν. Ἐπὶ τούτοις μὲν δὴ γέλως ἐγένετο.

13. Προϊόντος δὲ τοῦ συμποσίου, ὁ Κῦρος τὸν Γωβρύαν ἐπήρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκοίης ἥδιον τῶνδέ τῳ τὴν θυγατέρα δοῦναι, ἢ ὅτε τὸ πρῶτον ἡμῖν συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ ταὐληθῆ λέγω; Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐδεμία ἐρώτησις δεῖται. Εὖ τοίνυν, ἔφη, ἴσθι, ὅτι νῦν ἂν πολὺ ἥδιον. Ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ Κῦρος, εἰπεῖν, διότι; Ἔγωγε. Λέγε δή. 14. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ αὐτοὺς τὰ ἀγαθὰ σωφρόνως φέροντας. Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι, εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. 15. Καὶ ὁ Κῦρος εἶπεν, Ἤκουσας, ὦ Ὑστάσπα, Γωβρύου τὸ ῥῆμα; Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλὰ τοιαῦτά

γε λεγῃ, πολὺ μᾶλλόν με τῆς Θυγατρὸς μνηστῆρα λήψεται, ἢ ἐὰν ἐκπώματα πολλά μοι ἐπιδεικνύῃ. 16. Ἡ μὴν, ἔφη ὁ Γωβρύας, πολλά γέ μοί ἐστι τοιαῦτα συγγεγραμμένα, ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν Θυγατέρα μου γυναῖκα λαμβάνῃς· τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχεσθαί μοι φαίνῃ, οὐκ οἶδ', εἰ Χρυσάντᾳ τούτῳ δῶ, ἐπεὶ καὶ τὴν ἕδραν σου ὑφήρπασε. 17. Καὶ μὲν δὴ, ἔφη ὁ Κῦρος, ὦ Ὑστάσπα, καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τις ὑμῶν γαμεῖν ἐπιχειρήσῃ, γνώσεσθε, ὁποῖός τις καὶ ἐγὼ συνεργὸς ὑμῖν ἔσομαι. 18. Καὶ ὁ Γωβρύας εἶπεν, Ἢν δέ τις ἐκδοῦναι βούληται Θυγατέρα, πρὸς τίνα δεῖ λέγειν; Πρὸς ἐμέ, ἔφη ὁ Κῦρος, καὶ τοῦτο· πάνυ γὰρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέχνην. 19. Ποίαν; ἔφη ὁ Χρυσάντας. Τὸ γνῶναι, ὁποῖος ἂν γάμος ἑκάστῳ συναρμόσειε. Καὶ ὁ Χρυσάντας ἔφη, Λέγε δὴ πρὸς τῶν Θεῶν, ποίαν τινά μοι γυναῖκα οἴει συναρμόσειν κάλλιστα. 20. Πρῶτον μὲν, ἔφη, μικράν· μικρὸς γὰρ καὶ αὐτὸς εἶ· εἰ δὲ μεγάλην γαμεῖς, ἴσως ποτὲ βούλῃ αὐτὴν ὀρθὴν φιλῆσαι, προσάλλεσθαί σε δεήσει, ὡς τὰ κυνάρια. Τοῦτο μὲν δὴ, ἔφη, ὀρθῶς προνοεῖς· καὶ γὰρ οὐδ' ὀπωστιοῦν ἁλτικός εἰμι. 21. Ἔπειτα δ', ἔφη, σιμὴ ἄν σοι ἰσχυρῶς συμφέροι. Πρὸς τί δὴ αὖ τοῦτο; Ὅτι, ἔφη, σὺ γυπὸς εἶ· πρὸς οὖν τὴν σιμότητα σάφ' ἴσθι, ὅτι ἡ γυπότης ἄριστα προσαρμόσει. Λέγεις σὺ, ἔφη, ὡς καὶ τῷ εὖ δεδειπνηκότι, ὥσπερ καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος·

τῶν μὲν γὰρ μεστῶν γρυπὴ ἡ γαστὴρ γίγνεται, τῶν δὲ ἀδεήπνων σιμή. 22. Καὶ ὁ Χρυσάντας ἔφη, Ψυχρῷ δ' ἄν, πρὸς τῶν θεῶν, βασιλεῖ ἔχοις ἂν εἰπεῖν, ποία τις συνοίσει; Ἐνταῦθα μὲν δὴ ὅ τε Κῦρος ἐξεγέλασε καὶ οἱ ἄλλοι ὁμοίως. 23. Γελώντων δὲ ἅμα εἶπεν ὁ Ὑστάσπας, Πολύ γε, ἔφη, μάλιστα τούτου σε, ὦ Κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦρος. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν. Καὶ ὁ Κῦρος εἶπεν· Ἔπειτα οὐκ ἂν πρίαιό γε παμπόλλου, ὥστε σοι ταῦτα εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι, παρ' ᾗ εὐδοκιμεῖν βούλει, ὅτι ἀστεῖος εἶ; Καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτετο.

24. Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσμον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί· Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα· τῷ δὲ Ὑρκανίῳ ἵππον, καὶ ἄλλα πολλὰ καὶ καλὰ ἐδωρήσατο. Σοὶ δέ, ἔφη, ὦ Γωβρύα, δώσω ἄνδρα τῇ θυγατρί. 25. Οὐκοῦν ἐμέ, ἔφη ὁ Ὑστάσπας, δώσεις, ἵνα καὶ τὰ συγγράμματα λάβω. Ἦ καὶ ἔστι σοι, ἔφη ὁ Κῦρος, οὐσία ἀξία τῶν τῆς παιδός; Νὴ Δί', ἔφη, πολλαπλασίων μὲν οὖν χρημάτων. Καὶ ποῦ, ἔφη ὁ Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία; Ἐνταῦθα, ἔφη, ὅπουπερ καὶ σὺ κάθησαι, φίλος ὢν ἐμοί. Ἀρκεῖ μοι, ἔφη ὁ Γωβρύας· καὶ εὐθὺς ἐκτείνας τὴν δεξιάν, Δίδου, ἔφη, ὦ Κῦρε· δέχομαι γάρ. 26. Καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστάσπου δεξιάν, ἔδωκε τῷ Γωβρύᾳ· ὁ δὲ ἐδέξατο. Ἐκ δὲ τούτου πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ,

ὅπως τῇ παιδὶ πέμψειε· Χρυσάνταν δ' ἐφίλησε προσαγαγόμενος. 27. Καὶ ὁ Ἀρτάβαζος εἶπε, Μὰ Δί', ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε χρυσοῦ ἐμοί τε τὸ ἔκπωμα δέδωκας, καὶ Χρυσάντᾳ τὸ δῶρον. Ἀλλὰ καὶ σοί, ἔφη, δώσω. Ἐπήρετο ἐκεῖνος, Πότε; Εἰς τριακοστὸν, ἔφη, ἔτος. Ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρασκευάζου. Καὶ τότε μὲν δὴ οὕτως ἔληξεν ἡ σκηνή· ἐξανισταμένων δ' αὐτῶν ἐξανέστη καὶ ὁ Κῦρος, καὶ ξυμπροὔπεμψεν αὐτοὺς ἐπὶ τὰς Θύρας.

28. Τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γενομένους ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ· τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε, καὶ νῦν ἔτι ἔχουσιν οἱ τῶν καταμεινάντων τούτων τότε ἀπόγονοι· πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων· τοῖς δ' ἀπιοῦσι δωρησάμενος πολλὰ, καὶ ἀμέμπτους ποιησάμενος, καὶ ἄρχοντας καὶ στρατιώτας, ἀπεπέμψατο. 29. Ἐκ τούτου δὲ διέδωκε καὶ τοῖς περὶ αὐτὸν στρατιώταις τὰ χρήματα, ὅσα ἐκ Σάρδεων ἔλαβε· καὶ τοῖς μὲν μυριάρχοις καὶ τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐξαίρετα ἐδίδου πρὸς τὴν ἀξίαν ἑκάστῳ, τὰ δ' ἄλλα διένειμε· καὶ τὸ μέρος ἑκάστῳ δοὺς τῶν μυριάρχων, ἐπέτρεψεν αὐτοῖς διανέμειν, ὥσπερ αὐτὸς ἐκείνοις διένειμεν. 30. Ἐδίδοσαν δὲ τὰ μὲν ἄλλα χρήματα, ἄρχων ἄρχοντας τοὺς ὑφ' ἑαυτῷ δοκιμάζων· τὰ δὲ τελευταῖα οἱ ἑξάδαρχοι, τοὺς ὑφ' ἑαυτοῖς ἰδιώτας δοκιμάσαντες, πρὸς τὴν ἀξίαν ἑκάστῳ ἐδίδοσαν· καὶ οὕτω πάντες εἰλήφεσαν

τὸ δίκαιον μέρος. 31. Ἐπεὶ δὲ εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τινες ἔλεγον περὶ τοῦ Κύρου τοιάδε· Ἦ που αὐτός γε πολλὰ ἔχει, ὅπου γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. Οἱ δέ τινες αὐτῶν ἔλεγον, Ποῖα πολλὰ ἔχει; οὐχ ὁ Κύρου τρόπος τοιοῦτος, οἷος χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται.

32. Αἰσθανόμενος δὲ ὁ Κῦρος τοὺτους τους λόγους καὶ τὰς δόξας τὰς περὶ αὐτοῦ, συνέλεξε τοὺς φίλους τε καὶ τοὺς ἐπικαιρίους ἅπαντας, καὶ ἔλεξεν ὧδε·

Ἄνδρες φίλοι, ἐώρακα μὲν ἤδη ἀνθρώπους, οἳ βούλονται δοκεῖν πλείω κεκτῆσθαι, ἢ ἔχουσιν, ἐλευθεριώτεροι ἂν οἰόμενοι οὕτω φαίνεσθαι· ἐμοὶ δὲ δοκοῦσιν, ἔφη, οὗτοι τοὔμπαλιν οὗ βούλονται ἐφίεσθαι· τὸ γὰρ πολλὰ δοκοῦντα ἔχειν, μὴ καὶ ἄξιαν τῆς οὐσίας φαίνεσθαι ὠφελοῦντα τοὺς φίλους, ἀνελευθερίαν ἔμοιγε δοκεῖ περιάπτειν. 33. Εἰσὶ δ' αὖ, ἔφη, οἳ λεληθέναι βούλονται, ὅσα ἂν ἔχωσι· πονηροὶ οὖν καὶ οὗτοι τοῖς φίλοις ἔμοιγε δοκοῦσιν εἶναι· διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα, πολλάκις δεόμενοι οὐκ ἐπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις, ἀλλ' ἀπατῶνται. 34. Ἁπλουστάτου δὲ μοι, ἔφη, δοκεῖ εἶναι, τὸ τὴν δύναμιν φανερὰν ποιήσαντα, ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκἀγαθίας. Κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν, ὅσα μὲν οἷόν τ' ἐστὶν ἰδεῖν τῶν ἐμοὶ ὄντων, δεῖξαι· ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι. 35. Ταῦτα εἰπὼν, τὰ μὲν ἐδείκνυε πολλά τε καὶ καλὰ κτήματα· τὰ δὲ κείμενα, ὡς μὴ ῥᾴδια εἶναι ἰδεῖν, διηγεῖτο.

τέλος δὲ εἶπεν ὧδε, 36. Ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα δεῖ ὑμᾶς οὐδὲν μᾶλλον ἐμὰ ἡγεῖσθαι, ἢ καὶ ὑμέτερα· ἐγὼ γὰρ, ἔφη, ταῦτα ἀθροίζω, οὔθ' ὅπως αὐτὸς καταδαπανήσω, οὔθ' ὅπως αὐτὸς καταλείψω· (οὐ γὰρ ἂν δυναίμην) ἀλλ' ὅπως ἔχω τῷ τε ἀεὶ ὑμῶν καλόν τι ποιοῦντι διδόναι, καὶ ὅπως, ἤν τις ὑμῶν τινὸς ἐνδεῖσθαι νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν λάβῃ, οὗ ἂν ἐνδεὴς τυγχάνῃ ὤν. Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

CAP. V.

1. Ἡνίκα δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ ἐν Βαβυλῶνι, ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν, καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δὲ ἐνόμισεν ἱκανὰ ἔχειν, ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυε. 2. Διηγησόμεθα δὲ ἤδη καὶ ταῦτα, ὡς πολὺς στόλος ὤν, εὐτάκτως μὲν κατεσκευάζετο, καὶ πάλιν ἀνεσκευάζετο, κατεχωρίζετο δὲ ταχὺ, ὅπου δέοιτο. Ὅπου γὰρ ἂν στρατοπεδεύηται βασιλεὺς, σκηνὰς μὲν δὴ ἔχοντες πάντες οἱ ἀμφὶ βασιλέα στρατεύονται καὶ θέρους καὶ χειμῶνος. 3. Εὐθὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω βλέπουσαν ἵστασθαι τὴν σκηνήν· ἔπειτα ἔταξε πρῶτον μὲν, πόσον δεῖ ἀπολιπόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βασιλικῆς σκηνῆς· ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε τὴν δεξιὰν, ὀψοποιοῖς δὲ τὴν ἀριστερὰν, ἵπποις δὲ τὴν δεξιὰν, ὑποζυγίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστερὰν· καὶ τἆλλα δὲ διετέτακτο, ὥστε εἰδέναι ἕκαστον τὴν

ἑαυτοῦ χώραν καὶ μέτρῳ καὶ τόπῳ. 4. Ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι μὲν ἕκαστος σκεύη, οἷσπερ τέτακται χρῆσθαι, ἀνατίθενται δ' αὖ ἄλλοι ἐπὶ τὰ ὑποζύγια· ὥσθ' ἅμα μὲν πάντες ἔρχονται οἱ σκευαγωγοὶ ἐπὶ τὰ τεταγμένα ἄγειν, ἅμα δὲ πάντες ἀνατιθέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος. Οὕτω δὴ ὁ αὐτὸς χρόνος ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις ἀνῃρῆσθαι. Ὡσαύτως δὲ οὕτως ἔχει καὶ περὶ κατασκευῆς. 5. Καὶ περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια πάντα ἐν καιρῷ ὡσαύτως διατέτακται ἑκάστοις τὰ ποιητέα· καὶ διὰ τοῦτο ὁ αὐτὸς χρόνος ἀρκεῖ ἑνί τε μέρει καὶ πᾶσι πεποιῆσθαι. 6. Ὥσπερ δὲ οἱ περὶ τὰ ἐπιτήδεια θεράποντες χώραν εἶχον τὴν προσήκουσαν ἕκαστοι, οὕτω καὶ οἱ ὁπλοφόροι αὐτῷ ἐν τῇ στρατοπεδεύσει χώριον τε εἶχον, τὴν τῇ ὁπλίσει ἑκάστῃ ἐπιτηδείαν, καὶ ᾔδεσαν ταύτην, ὁποία ἦν, καὶ εἰς ἀναμφισβήτητον πάντες κατεχωρίζοντο. 7. Καλὸν μὲν οὖν ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην· (ὅταν γάρ τίς του δέηται, δῆλόν ἐστιν, ὅπου δεῖ ἐλθόντα λαβεῖν) πολὺ δὲ ἔτι κάλλιον ἐνόμιζε τὴν τῶν στρατιωτικῶν φύλων εὐθημοσύνην εἶναι, ὅσῳ τε ὀξύτεροι οἱ καιροὶ τῶν εἰς τὰ πολεμικὰ χρήσεων, καὶ μείζω τὰ σφάλματα ἀπὸ τῶν ὑστεριζόντων ἐν αὐτοῖς· ἀπὸ δὲ τῶν ἐν καιρῷ παραγιγνομένων πλείστου ἄξια τὰ κτήματα ἐώρα γιγνόμενα ἐν τοῖς πολεμικοῖς· διὰ ταῦτα οὖν καὶ ἐπεμέλετο ταύτης τῆς εὐθημοσύνης μάλιστα. 8. Καὶ αὐτὸς μὲν δὴ πρῶτον ἑαυτὸν ἐν μέσῳ κατετίθετο τοῦ στρατοπέδου, ὡς

ταύτης τῆς χώρας ἐχυρωτάτης οὔσης· ἔπειτα δὲ τοὺς μὲν πιστοτάτους, ὥσπερ εἰώθει, περὶ ἑαυτὸν εἶχε, τούτων δὲ ἐν κύκλῳ ἐχομένους ἱππέας τ' εἶχε καὶ ἁρματηλάτας. 9. Καὶ γὰρ τούτους ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι, ὅτι, σὺν οἷς μάχονται ὅπλοις, οὐδὲν πρόχειρον ἔχοντες τούτων στρατοπεδεύονται, ἀλλὰ πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξόπλισιν, εἰ μέλλουσι χρησίμως ἐξοίσειν. 10. Ἐν δεξιᾷ δὲ καὶ ἐν ἀριστερᾷ αὐτοῦ τε καὶ τῶν ἱππέων πελτασταῖς χώρα ἦν· τοξοτῶν δ' αὖ χώρα ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐτοῦ τε καὶ τῶν ἱππέων. 11. Ὁπλίτας δὲ καὶ τοὺς τὰ μεγάλα γέρρα ἔχοντας κύκλῳ πάντων εἶχεν, ὥσπερ τεῖχος· ὅπως καὶ, εἴ δέοι τι ἐνσκευάζεσθαι τοὺς ἱππέας, οἱ μονιμώτατοι πρόσθεν ὄντες παρέχοιεν αὐτοῖς ἀσφαλῆ τὴν καθόπλισιν. 12. Ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει, ὥσπερ οἱ ὁπλῖται, οὕτω καὶ οἱ πελτασταὶ καὶ οἱ τοξόται· ὅπως καὶ ἐκ τῶν νυκτῶν, εἴ δέοι τι, ὥσπερ καὶ οἱ ὁπλῖται παρεσκευασμένοι εἶσι παίειν τὸν εἰς χεῖρας ἰόντα, οὕτω καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταί, εἴ τινες προσίοιεν, ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν ὑπὲρ τῶν ὁπλιτῶν. 13. Εἶχον δὲ καὶ σημεῖα πάντες οἱ ἄρχοντες ἐπὶ ταῖς σκηναῖς· οἱ δὲ ὑπηρέται, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν οἱ σώφρονες ἴσασι μὲν καὶ τῶν πλείστων τὰς οἰκήσεις, μάλιστα δὲ τῶν ἐπικαιρίων, οὕτω καὶ τῶν ἐν τοῖς στρατοπέδοις τάς τε χώρας, τὰς τῶν ἡγεμόνων, ἠπίσταντο οἱ Κύρου ὑπηρέται, καὶ τὰ σημεῖα ἐγίγνωσκον, ἃ ἑκάστοις ἦν· ὥστε, ὅτου δέοιτο Κῦρος, οὐκ ἐζήτουν,

ἀλλὰ τὴν συντομωτάτην ἐφ' ἕκαστον ἔθεον. 14. Καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι τὰ φῦλα, πολὺ μᾶλλον ἦν δῆλα, καὶ ὁπότε τις εὐτακτοίη, καὶ εἴ τις μὴ πράττοι τὸ προσταττόμενον. Οὕτω δὴ ἐχόντων, ἠγεῖτο, εἴ τις καὶ ἐπίθοιτο νυκτὸς ἢ ἡμέρας, ὥσπερ ἂν εἰς ἐνέδραν εἰς τὸ στρατόπεδον τοὺς ἐπιτιθεμένους ἐμπίπτειν. 15. Καὶ τὸ τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον ἡγεῖτο, εἴ τις ἐκτεῖναι φάλαγγα εὐπόρως δύναιτο, ἢ βαθῦναι, ἢ ἐκ κέρατος εἰς φάλαγγα καταστῆσαι, ἢ ἐκ δεξιᾶς, ἢ ἀριστερᾶς, ἢ ὄπισθεν ἐπιφανέντων τῶν πολεμίων, ὀρθῶς ἐξελίξαι· ἀλλὰ καὶ τὸ διασπᾶν, ὁπότε δέοι, τακτικὸν ἡγεῖτο, καὶ τὸ τιθέναι τὸ μέρος ἕκαστον, ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη, καὶ τὸ ταχύνειν δὲ, ὅπου φθάσαι δέοι, πάντα ταῦτα καὶ τὰ τοιαῦτα τακτικοῦ ἀνδρὸς ἐνόμιζεν εἶναι, καὶ ἐπεμελεῖτο τούτων πάντων ὁμοίως. 16. Καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπίπτον ἀεὶ διατάττων ἐπορεύετο, ἐν δὲ τῇ στρατοπεδεύσει ὡς τὰ πολλὰ, ὥσπερ εἴρηται, κατεχώριζεν.

17. Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικὴν, τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. Ἐπεὶ δὲ ἠσπάσαντο ἀλλήλους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρει, ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα, ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, ὡς εἰς οἰκεῖα κατάγεσθαι· ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ καὶ καλά. 18. Ὁ δὲ Κυαξάρης ταῦτα μὲν ἐδέξατο, προσέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα, στέφανόν τε χρυσοῦν καὶ ψέλλια φέρουσαν,

καὶ στρεπτὸν, καὶ στολὴν Μηδικὴν ὡς δυνατὸν καλλίστην. 19. Καὶ ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν Κῦρον· ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι δέ σοι, ἔφη, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα· καὶ ὁ σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα, ἐξ ἧς σὺ ἐγένου· αὕτη δέ ἐστιν, ἣν σὺ πολλάκις, παῖς ὤν, ὅτε παρ' ἡμῖν ἦσθα, ἐτιθηνήσω· καὶ ὁπότε τις ἐρωτῴη αὐτὴν, τίνι γαμοῖτο, ἔλεγεν, ὅτι Κύρῳ· ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν Μηδίαν τὴν πᾶσαν· οὐδὲ γάρ ἐστί μοι ἄῤῥην παῖς γνήσιος. 20. Ὁ μὲν οὕτως εἶπεν· ὁ δὲ Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ Κυαξάρη, τό τε γένος ἐπαινῶ καὶ τὴν παῖδα καὶ τὰ δῶρα· βούλομαι δὲ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι. Εἶπε μὲν οὕτως ὁ Κῦρος· ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο, ὁπόσα ᾤετο καὶ τῷ Κυαξάρει χαριεῖσθαι. Ταῦτα δὲ ποιήσας, εἰς Πέρσας ἐπορεύετο.

21. Ἐπεὶ δὲ ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, ἱερεῖα μὲν ἄγων, ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἐστιᾶσθαι· δῶρα δ' ἦγεν, οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δὲ ἔπρεπεν ταῖς ἀρχαῖς καὶ τοῖς γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις καὶ Περσίσιν, ὅσαπερ καὶ νῦν ἔτι δίδωσιν, ὅταν περ ἀφίκηται βασιλεὺς εἰς Πέρσας. 22. Ἐκ δὲ τούτου συνέλεξε Καμ-

βίσης τοὺς γεραιτέρους Περσῶν καὶ τὰς ἀρχάς, οἵπερ τῶν μεγίστων κύριοί εἰσι· παρεκάλεσε δὲ καὶ Κῦρον, καὶ ἔλεξε τοιάδε.

Ἄνδρες Πέρσαι, καὶ σὺ, ὦ Κῦρε, ἐγὼ ἀμφοτέροις ὑμῖν εἰκότως εὔνους εἰμί· ὑμῶν μὲν γὰρ βασιλεύω· σὺ δέ, ὦ παῖ Κῦρε, παῖς ἐμὸς εἶ. Δίκαιος οὖν εἰμὶ, ὅσα γιγνώσκειν δοκῶ ἀγαθὰ ἀμφοτέροις, ταῦτα εἰς τὸ μέσον λέγειν. 23. Τὰ μὲν γὰρ παρελθόντα ὑμεῖς μὲν Κῦρον ηὐξήσατε, στράτευμα δόντες, καὶ ἄρχοντα τούτου αὐτὸν καταστήσαντες· Κῦρος δὲ, ἡγούμενος τούτου, συν θεοῖς εὐκλεεῖς μὲν ὑμᾶς, ὦ Πέρσαι, ἐν πᾶσιν ἀνθρώποις ἐποίησεν, ἐντίμους δ' ἐν τῇ Ἀσίᾳ πάσῃ· τῶν δὲ συστρατευσαμένων αὐτῷ τοὺς μὲν ἀρίστους καὶ πεπλούτικε, τοῖς δὲ πολλοῖς μισθὸν καὶ τροφὴν παρεσκεύακεν· ἱππικὸν δὲ καταστήσας Περσῶν, πεποίηκε Πέρσαις καὶ πεδίων εἶναι μετουσίαν. 24. Ἦν μὲν οὖν καὶ τολοιπὸν οὕτω γιγνώσκητε, πολλῶν καὶ ἀγαθῶν αἴτιοι ἀλλήλοις ἔσεσθε· εἰ δὲ ἢ σὺ, ὦ Κῦρε, ἐπαρθεὶς ταῖς παρούσαις τύχαις, ἐπιχειρήσεις καὶ Περσῶν ἄρχειν ἐπὶ πλεονεξίᾳ, ὥσπερ τῶν ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται, φθονήσαντες τούτῳ τῆς δυνάμεως, καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε, ὅτι ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. 25. Ὡς οὖν μὴ ταῦτα γίγνηται, ἀλλὰ τἀγαθὰ, ἐμοὶ δοκεῖ, ἔφη, θύσαντας ὑμᾶς κοινῇ, καὶ θεοὺς ἐπιμαρτυραμένους συνθέσθαι, σὲ μὲν, ὦ Κῦρε, ἦν τις ἢ ἐπιστρατεύηται χώρᾳ Περσίδι, ἢ Περσῶν νόμους διασπᾶν πει-

ρᾶται, βοηθήσειν παντὶ σθένει· ὑμᾶς δὲ, ὦ Πέρσαι, ἢν τις ἢ ἀρχῆς Κῦρον ἐπιχειρῇ καταπαύειν, ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων, βοηθήσειν καὶ ὑμῖν αὐτοῖς καὶ Κύρῳ, καθ' ὅ τι ἂν ἐπαγγέλλῃ. 26. Καὶ ἕως μὲν ἂν ἐγὼ ζῶ, ἐμὴ γίγνεται ἡ ἐν Πέρσαις βασιλεία· ὅταν δ' ἐγὼ τελευτήσω, δῆλον, ὅτι Κύρου, ἐὰν ζῇ. Καὶ ὅταν μὲν οὗτος ἀφίκηται εἰς Πέρσας, ὁσίως ἂν ὑμῖν ἔχοι, τοῦτον θύειν τὰ ἱερὰ ὑπὲρ ὑμῶν, ἅπερ νῦν ἐγὼ θύω· ὅταν δ' οὗτος ἔκδημος ᾖ, καλῶς ἂν οἶμαι ὑμῖν ἔχειν, εἰ ἐκ τοῦ γένους, ὃς ἂν δοκῇ ὑμῖν ἄριστος εἶναι, οὗτος τὰ τῶν θεῶν ἐπιτελοίη. 27. Ταῦτα εἰπόντος Καμβύσου, συνέδοξε Κύρῳ τε καὶ τοῖς Περσῶν τέλεσι· καὶ συνθέμενοι ταῦτα τότε, καὶ θεοὺς ἐπιμαρτυράμενοι, οὕτω καὶ νῦν ἔτι διαμένουσι ποιοῦντες πρὸς ἀλλήλους Πέρσαι τε καὶ βασιλεύς. Τούτων δὲ πραχθέντων, ἀπῆει ὁ Κῦρος.

28. Ὡς δ' ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαντι τῷ πατρὶ καὶ τῇ μητρὶ, γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς παγκάλου γενομένης. (Ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν, ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν· ἀλλὰ γραῦς ἂν καὶ παντάπασιν ἦν ἡ παῖς.) Γήμας δὲ, εὐθὺς ἔχων ἀνεζεύγνυεν.

CAP. VI.

1. Ἐπεὶ δ' ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας ἤδη πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. Τοὺς μέντοι ἐν ταῖς ἄκραις φρουράρχους, καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλάκων οὐκ ἄλλου

ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν· ταῦτα δὲ προεωρᾶτο, ἐννοῶν, ὅπως, εἴ τις τῶν σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρίσειε, καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ. 2. Ταῦτ' οὖν βουλόμενος πρᾶξαι, ἔγνω συγκαλέσαι πρῶτον τοὺς ἐπικαιρίους, καὶ προειπεῖν, ὅπως εἰδεῖεν, ἐφ' οἷς ἴασιν οἱ ἰόντες· ἐνόμιζε γὰρ, οὕτω ῥᾴδιον φέρειν ἂν αὐτούς. Ἐπεὶ δὲ κατασταίη τις ἄρχων, καὶ αἰσθάνοιτο ταῦτα, χαλεπῶς ἂν ἐδόκουν αὐτῷ φέρειν, νομίζοντες δι' ἑαυτῶν ἀπιστίαν ταῦτα γενέσθαι. 3. Οὕτω δὴ συλλέξας, λέγει αὐτοῖς τοιάδε·

Ἄνδρες φίλοι, εἰσὶν ἡμῖν ἐν ταῖς κατεστραμμέναις πόλεσι φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν· καὶ τούτοις ἐγὼ προστάξας ἀπῆλθον, ἄλλο μὲν οὐδὲν πολυπραγμονεῖν, τὰ δὲ τείχη διασώζειν. Τούτους μὲν οὖν οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ καλῶς διαπεφυλάκασι τὰ προσταχθέντα· ἄλλους δὲ σατράπας πέμψαι μοι δοκεῖ, οἵτινες ἄρξουσι τῶν ἐνοικούντων, καὶ τὸν δασμὸν λαμβάνοντες τοῖς τε φρουροῖς δώσουσι μισθὸν, καὶ ἄλλο τελέσουσιν, ὅ τι ἂν δέῃ. 4. Δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε μενόντων ὑμῶν, οἷς ἂν ἐγὼ πράγματα παρέχω, πέμπων πράξοντάς τι ἐπὶ ταῦτα τὰ ἔθνη, χώρας γενέσθαι καὶ οἴκους ἐκεῖ· ὅπως δασμοφορῆται αὐτοῖς δεῦρο, ὅταν τε ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κατάγεσθαι. 5. Ταῦτα εἶπε, καὶ ἔδωκε πολλοῖς τῶν φίλων κατὰ πάσας τὰς καταστραφείσας πόλεις οἴκους καὶ ὑπηκόους· καὶ νῦν ἔτι εἰσὶ τοῖς ἀπογόνοις τῶν τότε λαβόντων αἱ

χῶραι καταμένουσαι, ἄλλαι ἐν ἄλλῃ γῇ· αὐτοὶ δὲ οἰκοῦσι παρὰ βασιλεῖ. 6. Δεῖ δὲ, ἔφη, τοὺς ὄντας σατράπας ἐπὶ ταύτας τὰς χώρας, τοιούτους ἡμᾶς σκοπεῖν, οἵτινες, ὅ τι ἂν ἐν τῇ γῇ ἑκάστῃ καλὸν ἢ ἀγαθὸν ᾖ, μεμνήσονται καὶ δεῦρο ἀποπέμπειν· ὡς μετέχωμεν καὶ οἱ ἐνθάδε ὄντες τῶν παντοῦ γιγνομένων ἀγαθῶν· καὶ γὰρ, ἤν τί που δεινὸν γίγνηται, ἡμῖν ἔσται ἀμυντέον. 7. Ταῦτ' εἰπὼν, τότε μὲν ἔπαυσε τὸν λόγον· ἔπειτα δὲ, οὓς ἐγίγνωσκε τῶν φίλων ἐπὶ τοῖς εἰρημένοις ἐπιθυμοῦντας ἰέναι, ἐκλεξάμενος αὐτῶν τοὺς δοκοῦντας ἐπιτηδειοτάτους εἶναι, ἔπεμπε σατράπας, εἰς Ἀραβίαν μὲν Μεγάβυζον· εἰς Καππαδοκίαν δὲ Ἀραβάταν· εἰς Φρυγίαν δὲ τὴν μεγάλην Ἀρτακάμαν· εἰς Λυδίαν δὲ καὶ Ἰωνίαν Χρυσάνταν· εἰς Καρίαν δὲ Ἀδούσιον, ὅνπερ ἠτοῦντο· εἰς Φρυγίαν δὲ τὴν παρ' Ἑλλήσποντον καὶ Αἰολίδα Φαρνοῦχον. 8. Κιλικίας δὲ καὶ Κύπρου καὶ Παφλαγόνων οὐκ ἔπεμψε Πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν αὐτῷ συστρατεύεσθαι ἐπὶ Βαβυλῶνα· δασμοὺς μέντοι συνέταξεν ἀποφέρειν καὶ τούτους. 9. Ὡς δὲ τότε Κῦρος κατεστήσατο, οὕτως ἔτι καὶ νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις φυλακαὶ, καὶ οἱ χιλίαρχοι τῶν φυλάκων ἐκ βασιλέως εἰσὶ καθεστηκότες, καὶ παρὰ βασιλεῖ ἀπογεγραμμένοι. 10. Προεῖπε δὲ πᾶσι τοῖς ἐκπεμπομένοις σατράπαις, ὅσα ἑώρων ποιοῦντα ἑαυτὸν, πάντα μιμεῖσθαι· πρῶτον μὲν ἱππίας καθιστάναι ἐκ τῶν συνεπομένων Περσῶν καὶ συμμάχων, καὶ ἁρματηλάτας· ὁπόσοι δ' ἂν γῆν καὶ ἀρ-

χεῖα λάβωσιν, ἀναγκάζειν τούτους ἐπὶ θύρας ἰέναι, καὶ σωφροσύνης ἐπιμελουμένους, παρέχειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι, ἤν τι δέηται· παιδεύειν δὲ καὶ τοὺς γιγνομένους παῖδας ἐπὶ θύρας, ὥσπερ παρ' αὐτῷ· ἐξάγειν δὲ ἐπὶ τὴν θήραν τὸν σατράπην τοὺς ἀπὸ θυρῶν, καὶ ἀσκεῖν αὐτόν τε καὶ τοὺς σὺν ἑαυτῷ τὰ πολεμικά. 11. Ὅς δ' ἂν ἐμοὶ, ἔφη, κατὰ λόγον τῆς δυνάμεως πλεῖστα μὲν ἅρματα, πλείστους δὲ καὶ ἀρίστους ἱππέας ἀποδεικνύῃ, τοῦτον ἐγὼ, ὡς ἀγαθὸν σύμμαχον καὶ ὡς ἀγαθὸν συμφύλακα Πέρσαις τε καὶ ἐμοὶ τῆς ἀρχῆς, τιμήσω. Ἔστων δὲ παρ' ὑμῖν καὶ ἕδραις, ὥσπερ παρ' ἐμοὶ, οἱ ἄριστοι προτετιμημένοι· καὶ τράπεζα, ὥσπερ ἡ ἐμὴ, τρέφουσα μὲν πρῶτον τοὺς οἰκέτας, ἔπειτα δὲ καὶ ὡς φίλοις μεταδιδόναι ἱκανῶς κεκοσμημένη, καὶ ὡς τὸν καλόν τι ποιοῦντα καθ' ἡμέραν ἐπιγεραίρειν. 12. Κτᾶσθε δὲ καὶ παραδείσους, καὶ θηρία τρέφετε, καὶ μήτε αὐτοί ποτε ἄπονοι σῖτον παράθεσθε, μήτε ἵπποις ἀγυμνάστοις χόρτον ἐμβάλλετε· οὐ γὰρ ἂν δυναίμην ἐγὼ, εἷς ὤν, ἀνθρωπίνῃ ἀρετῇ τὰ πάντων ὑμῶν ἀγαθὰ διασώζειν, ἀλλὰ δεῖ ἐμὲ μὲν, ἀγαθὸν ὄντα, σὺν ἀγαθοῖς τοῖς παρ' ἐμοῦ ὑμῖν ἐπίκουρον εἶναι· ὑμᾶς δὲ ὁμοίως αὐτοὺς, ἀγαθοὺς ὄντας, σὺν ἀγαθοῖς τοῖς μεθ' ὑμῶν ἐμοὶ συμμάχους εἶναι. 13. Βουλοίμην δ' ἂν ὑμᾶς καὶ τοῦτο κατανοῆσαι, ὅτι τούτων, ὧν νῦν ὑμῖν παρακελεύομαι, οὐδὲν τοῖς δούλοις προστάττω· ἃ δ' ὑμᾶς φημὶ χρῆναι ποιεῖν, ταῦτα καὶ αὐτὸς πειρῶμαι πάντα πράττειν. Ὥσπερ δ' ἐγὼ

ὑμᾶς κελεύω ἐμὲ μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε.

14. Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος, ἔτι καὶ νῦν τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακαὶ ὁμοίως φυλάττονται, πᾶσαι δὲ αἱ τῶν ἀρχόντων θύραι ὁμοίως θεραπεύονται, πάντες δὲ οἱ οἶκοι καὶ μεγάλοι καὶ σμικροὶ ὁμοίως οἰκοῦνται· πᾶσι δὲ οἱ ἄριστοι ὁμοίως τῶν παρόντων ἕδραις προτετίμηνται, πᾶσαι δὲ αἱ πορεῖαι συντεταγμέναι κατὰ τὸν αὐτὸν τρόπον εἰσί, πᾶσι δὲ συγκεφαλαιοῦνται πολλαὶ πράξεις ὀλίγοις ἐπιστάταις. 15. Ταῦτα δ' εἰπὼν ὡς χρὴ ποιεῖν ἑκάστους, καὶ δύναμιν ἑκάστῳ προσθείς, ἐξέπεμπε, καὶ προεῖπεν ἅπασι παρασκευάζεσθαι, ὡς εἰς νέωτα στρατείας ἐσομένης, καὶ ἐπιδείξεως ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων καὶ ἁρμάτων.

16. Κατενοήσαμεν δὲ καὶ τοῦτο ὅτι Κύρου κατάρξαντος, ὥς φασι, καὶ νῦν ἔτι διαμένει· ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ στράτευμα ἔχων· ὃς, ἢν μέν τις τῶν σατραπῶν ἐπικουρίας δέηται, ἐπικουρεῖ· ἢν δέ τις ὑβρίζῃ, σωφρονίζει· ἢν δέ τις ἢ δασμῶν φορᾶς ἀμελῇ, ἢ τῶν ἐνοίκων φυλακῆς, ἢ ὅπως ἡ χώρα ἐνεργὸς ᾖ, ἢ ἄλλο τι τῶν τεταγμένων παραλίπῃ, ταῦτα πάντα κατευτρεπίζει· ἢν δὲ μὴ δύνηται, βασιλεῖ ἀπαγγέλλει· ὁ δὲ ἀκούων βουλεύεται περὶ τοῦ ἀτακτοῦντος. Καὶ οἱ πολλάκις λεγόμενοι, ὅτι βασιλέως υἱὸς καταβαίνει, βασιλέως ἀδελφός, βασιλέως ὀφθαλμός, καὶ ἐνίοτε οὐκ ἐκφαινόμενοι, οὗτοι τῶν

ἐφόδων εἰσίν· ἀποτρέπεται γὰρ ἕκαστος αὐτῶν, ὁπόθεν ἂν βασιλεὺς κελεύῃ.

17. Κατεμάθομεν δὲ αὐτοῦ καὶ ἄλλο μηχάνημα πρὸς τὸ μέγεθος τῆς ἀρχῆς, ἐξ οὗ ταχέως ἠσθάνετο, καὶ τὰ πάμπολυ ἀπέχοντα ὅπως ἔχοι. Σκεψάμενος γὰρ, πόσην ἂν ὁδὸν ἵππος κατανύτοι τῆς ἡμέρας ἐλαυνόμενος, ὥστε διαρκεῖν, ἐποιήσατο ἱππῶνας τοσοῦτον διαλείποντας, καὶ ἵππους ἐν αὐτοῖς κατέστησε, καὶ τοὺς ἐπιμελομένους τούτων· καὶ ἄνδρα ἐφ' ἑκάστῳ τῶν τόπων ἔταξε τὸν ἐπιτήδειον παραδέχεσθαι τὰ φερόμενα γράμματα, καὶ παραδιδόναι, καὶ παραλαμβάνειν τοὺς ἀπειρηκότας ἵππους καὶ ἀνθρώπους, καὶ ἄλλους πέμπειν νεαλεῖς. 18. Ἔστι δ' ὅτε οὐδὲ τὰς νύκτας φασὶν ἵστασθαι ταύτην τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι. Τούτων δὲ οὕτω γιγνομένων, φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν· εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων πεζῇ πορειῶν αὕτη ταχίστη, τοῦτο εὔδηλον. Ἀγαθὸν δὲ, ὡς τάχιστα ἕκαστον αἰσθανόμενον ὡς τάχιστα ἐπιμελεῖσθαι.

19. Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτὸς, συνήγειρε στρατιὰν εἰς Βαβυλῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν ἱππέων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφόρα, πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. 20. Ἐπεὶ δὲ ταῦτα συνεσκευάσατο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατιὰν ἔχων, ἐφ' ἣ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν ἐκβάντι οἶκοι μέχρις ἐρυ-

θρᾷς θαλάσσης. Μετὰ δὲ ταῦτα, ἡ εἰς Αἴγυπτον στρατεία λέγεται γενέσθαι, καὶ καταστρέψασθαι Αἴγυπτον. 21. Καὶ ἐκ τούτου τὴν ἀρχὴν ὥριζεν αὐτῷ πρὸς ἕω μὲν ἡ ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος πόντος, πρὸς ἑσπέραν δὲ Κύπρος καὶ Αἴγυπτος, πρὸς μεσημβρίαν δὲ Αἰθιοπία. Τούτων δὲ τὰ πέρατα τὰ μὲν διὰ θάλπος, τὰ δὲ διὰ ψύχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ δι' ἀνυδρίαν, δυσοίκητα. 22. Αὐτὸς δ' ἐν μέσῳ τούτων τὴν δίαιταν ποιησάμενος, τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· (αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα·) τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους δύο μῆνας ἐν Ἐκβατάνοις· οὕτω δὲ ποιοῦντ' αὐτὸν λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί. 23. Οὕτω δὲ διέκειντο πρὸς αὐτὸν οἱ ἄνθρωποι, ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ Κύρῳ πέμψειεν, ὅ τι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ ἢ φύοιτο ἢ τρέφοιτο ἢ τεχνῷτο· πᾶσα δὲ πόλις ὡσαύτως· πᾶς δὲ ἰδιώτης πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι Κύρῳ χαρίσαιτο· καὶ γὰρ ὁ Κῦρος λαμβάνων παρ' ἑκάστων, ὧν ἀφθονίαν εἶχον οἱ διδόντες, ἀντεδίδου, ὧν σπανίζοντας αὐτοὺς αἰσθάνοιτο.

CAP. VII.

1. Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δή, ὥσπερ εἰκός, ἐτετελευτήκεσαν

αὐτῷ· ὁ δὲ Κῦρος ἐλθὼν ἔθυσε τὰ νομιζόμενα ἱερὰ, καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διέδωκεν, ὥσπερ εἰώθει. 2. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ, ὅναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις, ἢ κατὰ ἄνθρωπον, εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. 3. Εὐθὺς οὖν, λαβὼν ἱρεῖα, ἔθυε Διΐ τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε, καὶ πάντες θεοὶ, δέχεσθε τάδε, καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις, ἃ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς, δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν· ἐμοὶ δὲ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι. 4. Ὁ μὲν δὴ ταῦτα ποιήσας, καὶ οἴκαδε ἀπελθών, ἔδοξεν ἀναπαύσασθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει, καὶ ἔπιεν ἡδέως. 5. Ὡς δὲ

καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ τὰ αὐτὰ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· (οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις.) Ἐκάλεσε δὲ καὶ τοὺς φίλους, καὶ τὰς Περσῶν ἀρχὰς παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

6. Παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· (ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω) ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι· ἐπεί τε ἤβησα, τὰ ἐν νεανίσκοις· τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ἠσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. 7. Καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα, πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτησάμην, οὐδὲν οἶδα, ὅ τι οὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥσπερ ἠὐχόμην· φόβος δέ μοι συμπαρομαρτῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπὸν, οὐκ εἴα τελέως μέγα φρονεῖν, οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. 8. Νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι·

καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; 9. Δεῖ δὲ καὶ τὴν βασιλείαν μεῆδη σαφηνίσαντα καταλιπεῖν· ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. Ἐγὼ οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι, ἐφ' ὅ τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ, καὶ πλειόνων, κατὰ τὸ εἰκός, ἐμπείρῳ. 10. Ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ πολίταις καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν· καὶ ὑμᾶς δέ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε. 11. Καὶ σὺ μέν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί· σοὶ δέ, ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων, καὶ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν. 12. Οποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσει, οὐχ ὁρῶ· ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. Τὸ δὲ δυσκατοπρακτοτέρων τε ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν

καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαροματρεῖν· ἃ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. 13. Οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· (πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἆλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται) ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. 14. Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; 15. Μὴ οὖν, ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα τοῖς ἀδελφοῖς, μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφός, μέγας ὤν, οὕτω καλόν, ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δὴ ἄνδρα μέγα δυνάμενον οὕτως

ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως, ὡς τὸν ἀδελφόν; 16. Μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω, μήτε προθυμότερον παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε τἀγαθὰ οὔτε τὰ δεινὰ ἢ σοί. Ἐννόει δὲ καὶ τάδε, τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν, ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν, ἢ τὸν ἀδελφόν; Μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἀφικνεῖται. 17. Ἀλλὰ πρὸς Θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδὲν εἰμὶ ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἐωρᾶτε, ἀλλ', οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. 18. Τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε, οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; 19. Οὗτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχή, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ γὰρ, ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχὴ, ζῶντα παρέχεται. 20. Οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τοῦ

ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπει-
σμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκ-
κριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι.
Διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπι-
όντα πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς· αὕτη δὲ
μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. 21. Ἐννοή-
σατε δὲ, ἔφη, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θα-
νάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ
τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν
μελλόντων προορᾷ· τότε γὰρ, ὡς ἔοικε, μάλιστα
ἐλευθεροῦται. 22. Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα, ὥσπερ
ἐγὼ οἶομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ
τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε, ἃ ἐγὼ δέο-
μαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ
σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας,
καὶ πάντα δυναμένους, οὓς καὶ τήνδε τὴν τῶν
ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀνα-
μάρτητον, καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον,
τούτους φοβούμενοι, μή ποι ἀσεβὲς μηδὲν, μηδὲ ἀνό-
σιον μήτε ποιήσητε μήτε βουλεύσητε. 23. Μετὰ μέντοι
θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος, τὸ ἀεὶ ἐπιγιγνό-
μενον, αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ
ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν
τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν
ἀδικων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις
ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι φρονήσετε,
ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀπο-
βαλεῖτε· Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν,

οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα. 24. Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω, οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μή, καὶ παρὰ τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκαλία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισὶ, φίλοι δὲ ἀδελφοὶ ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλους ἔπραξαν· ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε. 25. Καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μηδὲ ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους. 26. Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαίνεται ἡ ψυχὴ, ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. 27. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, συνησθησομένους ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἦν μετὰ τοῦ θείου γένωμαι, μήτε ἦν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν

ἔλθωσε, τούτους εὖ ποιήσαντες, ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. 28. Καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον· τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. Καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. Ταῦτ' εἰπὼν, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

CAP. VIII.

1. Ὅτι μὲν δὴ καλλίστη καὶ μεγίστη τῶν ἐν τῇ Ἀσίᾳ ἡ τοῦ Κύρου βασιλεία ἐγένετο, αὐτὴ ἑαυτῇ μαρτυρεῖ. Ὡρίσθη γὰρ πρὸς ἕω μὲν, τῇ ἐρυθρᾷ θαλάττῃ, πρὸς ἄρκτον δὲ τῷ Εὐξείνῳ πόντῳ, πρὸς ἑσπέραν δὲ Κύπρῳ καὶ Αἰγύπτῳ, πρὸς μεσημβρίαν δὲ Αἰθιοπίᾳ. Τοσαύτη δὲ γενομένη μιᾷ γνώμῃ τῇ Κύρου ἐκυβερνᾶτο, καὶ ἐκεῖνός τε τοὺς ὑφ' ἑαυτῷ, ὥσπερ ἑαυτοῦ παῖδας, ἐτίμα τε καὶ ἐθεράπευεν, οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο. 2. Ἐπεὶ μέντοι Κῦρος ἐτελεύτησεν, εὐθὺς μὲν αὐτοῦ οἱ παῖδες ἐστασίαζον, εὐθὺς δὲ πόλεις καὶ ἔθνη ἀφίσταντο, πάντα δ' ἐπὶ τὸ χεῖρον ἐτρέπετο. Ὡς δ' ἀληθῆ λέγω, ἄρξομαι διδάσκων ἐκ τῶν θείων. Οἶδα γὰρ, ὅτι πρότερον μὲν βασιλεὺς καὶ οἱ ὑπ' αὐτῷ καὶ τοῖς τὰ ἔσχατα πεποιηκόσιν, εἴτε ὅρκους ὀμόσαιεν, ἠμπέδουν, εἴτε δεξιὰς δοῖεν, ἐβεβαίουν. 3. Οἳ δὲ μὴ τοιοῦτοι ἦσαν, καὶ τοιαύτην δόξαν εἶχον, ὥσπερ οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι, ἐπεὶ ἔγνωσται ἡ ἀσέβεια αὐ-

τῶν, οὕτως οὐδὲ τότε ἐπίστευσαν ἂν οἱ τῶν σὺν Κύρῳ ἀναβάντων στρατηγοί· νῦν δὲ δὴ τῇ πρόσθεν αὐτῶν δόξῃ πιστεύσαντες, ἐνεχείρισαν ἑαυτοὺς, καὶ ἀναχθέντες πρὸς βασιλέα, ἀπετμήθησαν τὰς κεφαλάς. Πολλοὶ δὲ καὶ τῶν συστρατευσάντων βαρβάρων, ἄλλοι ἄλλαις πίστεσιν ἐξαπατηθέντες, ἀπώλοντο. 4. Πολὺ δὲ καὶ τάδε χείρονες νῦν εἰσι. Πρόσθεν μὲν γὰρ εἴ τις ἢ διακινδυνεύσειε πρὸ βασιλέως, ἢ πόλιν, ἢ ἔθνος ὑποχείριον ποιήσειεν, ἢ ἄλλο τι καλὸν ἢ ἀγαθὸν αὐτῷ διαπράξειεν, οὗτοι ἦσαν οἱ τιμώμενοι· νῦν δὲ καὶ ἤν τις, ὥσπερ Μιθριδάτης τὸν πατέρα Ἀριοβαρζάνην προδοὺς, καὶ ἤν τις, ὥσπερ Ῥεομίθρης τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς τῶν φίλων παῖδας δμήρους παρὰ τῷ Αἰγυπτίῳ ἐγκαταλιπὼν, καὶ τοὺς μεγίστους ὅρκους παραβὰς, βασιλεῖ δόξῃ τι σύμφορον ποιῆσαι, οὗτοί εἰσιν οἱ ταῖς μεγίστοις τιμαῖς γεραιρόμενοι. 5. Ταῦτα οὖν ὁρῶντες οἱ ἐν τῇ Ἀσίᾳ πάντες ἐπὶ τὸ ἀσεβὲς καὶ τὸ ἄδικον τετραμμένοι εἰσίν· ὁποῖοί τινες γὰρ ἂν οἱ προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ὡς ἐπὶ τὸ πολὺ γίγνονται. Ἀθεμιστότεροι δὴ νῦν ἢ πρόσθεν ταύτῃ γεγένηνται.

6. Εἴς γε μὴν χρήματα τῇδε ἀδικώτεροι· οὐ γὰρ μόνον τοὺς πολλὰ ἡμαρτηκότας, ἀλλὰ ἤδη τοὺς οὐδὲν ἠδικηκότας συλλαμβάνοντες, ἀναγκάζουσι πρὸς οὐδὲν δίκαιον χρήματα ἀποτίνειν· ὥστε οὐδὲν ἧττον οἱ πολλὰ ἔχειν δοκοῦντες τῶν πολλὰ ἠδικηκότων φοβοῦνται· καὶ εἰς χεῖρας οὐδ' οὗτοι ἐθέλουσι τοῖς

οὐδαμοῦ γοῦν πλείους ἢ ἐκεῖ οὔτε ἀποθνήσκουσιν οὔτε διαφθείρονται ὑπὸ φαρμάκων.

15. Ἀλλὰ μὴν καὶ θρυπτικώτεροι πολὺ νῦν, ἢ ἐπὶ Κύρου, εἰσί. Τότε μὲν γὰρ ἔτι τῇ ἐκ Περσῶν παιδείᾳ καὶ ἐγκρατείᾳ ἐχρῶντο, τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι· νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν δὲ τῶν Μήδων μαλακίαν διασώζονται. 16. Σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. Ἐκείνοις γὰρ πρῶτον μὲν τὰς εὐνὰς οὐ μόνον ἁρκεῖ μαλακῶς ὑποστρώννυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων ιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ' ὑπείκωσιν αἱ τάπιδες. Καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν ὅσα τε πρόσθεν εὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται, ἄλλα τε ἀεὶ καινὰ ἐπιμηχανῶνται· καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς ἀμφοτέρων τούτων κέκτηνται. 17. Ἀλλὰ μὴν καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἁρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. Ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ' αἱ τῶν δένδρων, οὔθ' αἱ τῶν πετρῶν σκιαί, ἀλλ' ἐν ταύταις ἑτέρας σκιὰς ἄνθρωποι μηχανώμενοι αὐτοῖς παρεστᾶσι. 18. Καὶ μὴν ἐκπώματα ἦν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται· ἢν δ' ἐξ ἀδίκου φανερῶς ᾖ μεμηχανημένα, οὐδὲν τοῦτο αἰσχύνονται· πολὺ γὰρ ἥδηται ἐν αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια.

19. Ἀλλὰ καὶ πρόσθεν μὲν ἦν ἐπιχώριον αὐτοῖς, μὴ

δρᾶσθαι πεζῇ πορευομένοις, οὐκ ἄλλου τινὸς ἕνεκα, ἢ τοῦ ὡς ἱππικωτάτους γίνεσθαι· νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων, ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως, ὥσπερ τοῦ μαλακῶς καθῆσθαι, ἐπιμέλονται. 20. Τά γε μὴν πολεμικὰ πῶς οὐκ εἰκότως νῦν τῷ παντὶ χείρους ἢ πρόσθεν εἰσίν; οἷς ἐν μὲν τῷ παρελθόντι χρόνῳ ἐπιχώριον ἦν, τοὺς μὲν τὴν γῆν ἔχοντας ἀπὸ ταύτης ἱππότας παρέχεσθαι, οἳ δὴ καὶ ἐστρατεύοντο· τοὺς δὲ φρουροῦντας, εἰ δέοι στρατεύεσθαι πρὸ τῆς χώρας, μισθοφόρους εἶναι· νῦν δὲ τούς τε θυρωροὺς καὶ τοὺς σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους καὶ λουτροχόους καὶ παρατιθέντας καὶ ἀναιροῦντας καὶ κατακοιμίζοντας καὶ ἀνιστάντας καὶ τοὺς κοσμητάς, οἳ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτούς, καὶ τὰ ἄλλα ῥυθμίζουσι, τούτους πάντας ἱππέας οἱ δυνάσται πεποιήκασιν, ὅπως μισθοφορῶσιν αὐτοῖς. 21. Πλῆθος μὲν οὖν καὶ ἐκ τούτων φαίνεται, οὐ μέντοι ὄφελός γε οὐδὲν αὐτῶν εἰς πόλεμον· δηλοῖ δὲ καὶ αὐτὰ τὰ γιγνόμενα· κατὰ τὴν χώραν γὰρ αὐτῶν ῥᾷον οἱ πολέμιοι ἢ οἱ φίλοι ἀναστρέφονται. 22. Καὶ γὰρ δὴ ὁ Κῦρος τοῦ μὲν ἀκροβολίζεσθαι ἀποπαύσας, θωρακίσας δὲ καὶ αὐτοὺς καὶ ἵππους, καὶ ἓν παλτὸν ἑκάστῳ δοὺς εἰς χεῖρα, ὁμόθεν τὴν μάχην ἐποιεῖτο· νῦν δὲ οὔτε ἀκροβολίζονται ἔτι οὔτ' εἰς χεῖρας συνιόντες μάχονται.

23. Καὶ οἱ πεζοὶ ἔχουσι μὲν γέρρα καὶ κοπίδας καὶ σαγάρεις, ὥσπερ ἐπὶ Κύρου, τὴν μάχην ποιησόμενοι· εἰς χεῖρας δὲ ἰέναι οὐδ' οὗτοι ἐθέλουσιν. 24. Οὐδε

γε τοῖς δρεπανηφόροις ἅρμασιν ἔτι χρῶνται, ἐφ' ᾧ Κῦρος αὐτὰ ἐποιήσατο. Ὁ μὲν γὰρ, τιμαῖς αὐξήσας τοὺς ἡνιόχους, καὶ ἀγαθοὺς ποιήσας, εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας· οἱ δὲ νῦν οὐδὲ γιγνώσκοντες τοὺς ἐπὶ τοῖς ἅρμασιν, οἴονται σφίσιν ὁμοίους τοὺς ἀνασκήτους τοῖς ἠσκηκόσιν ἔσεσθαι. 25. Οἱ δὲ ὁρμῶσι μὲν, πρὶν δ' ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν ἑκόντες ἐκπίπτουσιν, οἱ δ' ἐξάλλονται· ὥστ' ἄνευ ἡνιόχων γιγνομενα τὰ ζεύγη πολλάκις πλεῖω κακὰ τοὺς φίλους ἢ τοὺς πολεμίους ποιεῖ. 26. Ἐπεὶ μέντοι καὶ αὐτοὶ γιγνώσκουσιν, οἷα σφίσι τὰ πολεμιστήρια ὑπάρχει, ὑφίενται, καὶ οὐδεὶς ἔτι ἄνευ τῶν Ἑλλήνων εἰς πόλεμον καθίσταται, οὔτε ὅταν ἀλλήλοις πολεμῶσιν, οὔτε ὅταν οἱ Ἕλληνες αὐτοῖς ἀντιστρατεύωνται· ἀλλὰ καὶ πρὸς τούτους ἐγνώκασι μεθ' Ἑλλήνων τοὺς πολέμους ποιεῖσθαι.

27. Ἐγὼ μὲν δὴ οἶμαι, ἅπερ ὑπεθέμην, ἀπειργάσθαι μοι. Φημὶ γὰρ Πέρσας καὶ τοὺς σὺν αὐτοῖς καὶ ἀσεβεστέρους περὶ θεοὺς, καὶ ἀνοσιωτέρους περὶ συγγενεῖς, καὶ ἀδικωτέρους περὶ τοὺς ἄλλους, καὶ ἀνανδροτέρους τὰ εἰς τὸν πόλεμον νῦν ἢ πρόσθεν ἀποδεδεῖχθαι· εἰ δέ τις τἀναντία ἐμοὶ γιγνώσκει, τὰ ἔργα αὐτῶν ἐπισκοπῶν, εὑρήσει αὐτὰ μαρτυροῦντα τοῖς ἐμοῖς λόγοις.

НБ ОНУ
87886
07/04/23
НБ ОНУ Инв. № 1948
Н-468790

1/1

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова